3. *τὴν γῆν* non vituperandum est: cum enim dixerit *χαῖρ' ὦ φίλη γῆ*, recte addit non *totam* terram a se salutari, sed exiguam eius particulam, suum agellum. fortasse tamen *γῆν τήνδ'* *hanc meam patriam non totam saluto,* sed agellum. nam *ὅδε* pronomen comici cum substantivo coniungunt et addito articulo et omisso.

14

ὁ πρῶτος εὑρὼν διατροφὴν πτωχῷ τέχνην
πολλοὺς ἐποίησεν ἀθλίους· ἁπλοῦν γὰρ ἦν
τὸν μὴ δυνάμενον ζῆν ἀλύπως ἀποθανεῖν.

Stobaeus Floril. 61, 1 *Μενάνδρου Ἁλιέως* A. Plaut. Trin. 2, 2, 58 *dé mendico mále meretur qui eí dat quod edit aút bibat: | nam ét illud quod dat pérdit et illi pródit* (i. e. producit) *vitam ad míseriam.* (Toeppel. Progr. Neobr. 1857 p. 11.)

15

ὡς δὲ τὴν ἄκραν
κάμπτοντας ἡμᾶς εἶδον, ἐμβάντες ταχὺ
ἀνηγάγοντο.

Bekker. Anecd. 402, 8 *ἀνηγάγοντο· ἀνήχθησαν . . . Μένανδρος Ἁλιεῦσιν κτλ.* *κάμπτοντας* Bekker.] *κάμπτοντες.* *'ut nos promunturium flectentes viderunt, celeriter navem conscenderunt.'*

16

ἐκλελάκτικεν
ὁ χρηστὸς ἡμῖν μοιχός, ἀλλ' ἀντάλλαγος —

Suidas *ἀντάλλαγον καλοῦσι τὸν ἀντὶ ἄλλου ἠλλαγμένον, οὐχὶ ἄνταλλον. Μένανδρος ... ἐν Ἁλιεῖ κτλ.* idem *ἐκλελάκτικεν· ἀποβέβηκεν, ἀπέφυγεν.* Bekker Anecd. 410, 30 *ἀνταλλαῖος* (Mein. *ἀντάλλαγος*)

ἀντὶ τοῦ ἄνταλλος. cf. 254. *ἄνταλλος* Atticis quidem ignotum. manifesto oratio abrupta est.

17

δύ' οἰκίας
φηλοῦν γερόντων, ὡς λέγεις, ἀβελτέρων.

Photius et Suidas *φηλοῦν· ἀπατᾶν. Μένανδρος Ἁλιεῖ κτλ.* Schol. Aristoph. Pac. 1165 *φῆλος ὁ ἀπατεών. Μένανδρος Ἁλιεῖ δύ' — γερόντων. φηλοῦν*] *φίλων* cod. Phot. *φηλῶν* Schol. Arist. et Porson. *φήλων* (adiect.) Naber. — Phot. *φηλώματα· ἐξαπάτας. φηλοῦν γὰρ τὸ ἐξαπατᾶν.* eadem fere Harpocr. *φηλώματα.* Bekker. Anecd. 315, 11 *φηλώματα· αἱ ἀπάται, παρὰ τὸν φήληκα. φήληξ δ' ἐστὶν ὁ ὄλυνθος ὁ φαινόμενος μὲν πέπειρος, οὐκ ὢν δέ* (sic ex Bekkeri emend.). 71, 4 *φήληκες . . . παρὰ τὸ φηλοῦν, ὅ ἐστιν ἀπατᾶν.* Hesych. *φηδῶσαι* (*φηλ.*), *φηλήτησι, φῆλον, φηλωθείς.* — in verbis *δύ' οἰκίας* vitium latere iure suspicabatur Iacobs. not. ms. *δύο σκιὰς φηλῶν — ὡς λέγουσ'* Nauck. Ztschr. Gymnas. X 505. fortasse *δυσηκοΐαν* . . | *φ. γ. φηλῶν* an *φηλοῦν* verum sit discerni non potest.

18

χαλεπόν γε θυγάτηρ κτῆμα καὶ δυσδιάθετον.

Stobaeus Floril. 77, 6 *Μενάνδρου Ἁλιεύς* (i. e. *Ἁλιεῦσι* Mein.) A. cf. 60 et monost. 750. Hesychius *οὐκ εὐδιάθετος· οὐ δυναμένη εὐχερῶς γήμασθαι*, unde Mein. in Menandro *κοὐκ εὐδιάθετον.* 'metaphora a mercibus venum expositis petita. Lycon. Diog. L. 5, 65 *βαρὺ φορτίον πατρὶ κόρη.*' Mein. cf. etiam Cobet. Mnem. n. VIIII 376.

19

δύναται τὸ πλουτεῖν καὶ φιλανθρώπους ποιεῖν.

Stobaeus Floril. 91, 5 *Μένανδρος Ἁλιεῖ* A. idem versus monost. 120 et sine auctoris fabulaeve nomine Hermog. Progymn. p. 8, 1 Spengel. '*interdum divitiae etiam humanum faciunt hominem*'. est enim Stobaei liber *Ἔπαινος πλούτου.*

20

καὶ χρυσολαβὲς καλὸν πάνυ
ἐγχειρίδιον.

Pollux 10, 145 *Εὐριπίδης μὲν ἐν Παλαμήδει λέγει κώπην χρυσόκολλον, Μένανδρος δὲ ἐν Ἁλιεῦσι κτλ. ἐγχειρίδιον* fr. 74, 6 et Hermipp. 46, 5.

21. 22. 23

παχὺς γὰρ ὗς ἔκειτ' ἐπὶ στόμα.

. . . .

ἐτρύφησεν ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.

. . . .

ἴδιον ἐπιθυμῶν μόνος μοι θάνατος οὗτος φαίνεται
εὐθάνατος, ἔχοντα πολλὰς χολλάδας κεῖσθαι παχύν,
ὕπτιον, μόλις λαλοῦντα καὶ τὸ πνεῦμ' ἔχοντ' ἄνω,
ἐσθίοντα καὶ λέγοντα 'σήπομ' ὑπὸ τῆς ἡδονῆς.'

Athenaeus 12, 549 c *μνημονεύει δ' αὐτοῦ* (*Διονυσίου τοῦ Ἡρακλεώτου*) *Μένανδρος ἥκιστά γ'* (τ' A) *ὢν λοίδορος ἐν τοῖς Ἁλιεῦσιν, τὸν μῦθον ὑποστησάμενος ὑπέρ τινων φυγάδων ἐξ Ἡρακλείας* (fr. 21). *καὶ πάλιν* (fr. 22) *καὶ ἔτι κτλ. ἀπέθανε δὲ βιώσας ἔτη πέντε πρὸς τοῖς πεντήκοντα, ὧν ἐτυράννησε τρία καὶ τριάκοντα, ἁπάντων τῶν πρὸ αὐτοῦ τυράννων πρᾳότητι καὶ ἐπιεικείᾳ διενηνοχώς. χολλάδας*, non *χολάδας* A. Bekker. Anecd. 72, 19 *χολλάδες· διὰ δυοῖν λλ, αἱ τῆς γαστρὸς διὰ παχύτητα ἐπιπτύξεις*. Bachmann. Anecd. I 418 *χολλάδας διὰ τῶν δύο λλ, τὰς ἐν ταῖς λαγόσι σάρκας. οὕτως Φερεκράτης* (246). — Athen. 12, 549 ab *Διονύσιος ὁ Κλεάρχου τοῦ πρώτου τυραννήσαντος ἐν Ἡρακλείᾳ υἱός, καὶ αὐτὸς τῆς πατρίδος τυραννήσας ὑπὸ τρυφῆς καὶ τῆς καθ' ἡμέραν ἀδηφαγίας ὑπερσαρκήσας, ὥστε διὰ τὸ πάχος ἐν δυσπνοίᾳ συσχεθῆναι καὶ πνιγμῷ* (i. e. *τὸ πνεῦμα ἔχων ἄνω*, Sosicr. 1, 3). cf. Aelian. V. h. 9, 13 et quae ad Diphili *Amastrin* adnotavimus. Heraclea est Pontica. diversus ab hoc est Dionysius Heracleota philosophus *ὁ Μεταθέμενος* (*Θεοφάντου υἱός* Diog. L. 7, 166).

'induxerat poeta exsules Heracleotas de incredibili Dionysii edacitate querentes'. Mein. '*ut sus iacebat pronus*'. cf. Cratin. 52. fr. 21. 22 desumpta sunt ex narratione exsulum, neque ullo modo, ut putabat Mein. Anal. Ath. 252, pugnant cum v. 23, 3 (*ὕπτιον*): nam tertio fragmento ipsius Dionysii verba continentur.

23, 1 scribendum esse *νὴ Δί' ἐνθυμουμένῳ μοι θ. κτλ.* monui Mus. Rhen. XXX. 408. 9. 3. cf. Horat. C. 1, 15, 25 *sublimi anhelitu.*

24

εὐποροῦμεν, οὐδὲ μετρίως· ἐκ Κυΐνδων χρυσίον,
Περσικαὶ στολαὶ δὲ κεῖνται πορφυραῖ, τορεύματα
ἔνδον ἔστ', ἄνδρες, ποτηρίδια, τορεύματα,
κἀκτυπωμάτων πρόσωπα, τραγέλαφοι, λαβρώνια.

Athenaeus 11, 484 c *λαβρώνια, ἐκπώματος Περσικοῦ εἶδος . . . πλατὺ δ' ἐστὶ τῇ κατασκευῇ καὶ μέγα· ἔχει δὲ καὶ ὦτα μεγάλα. Μένανδρος Ἁλιεῖ κτλ.* v. 4 extr. Athenaeus 11, 500 c *τραγέλαφος· Μένανδρος δ' ἐν Ἁλιεῖ φησι τραγέλαφοι, λαβρώνιοι.* Photius *λαβρώνιον· εἶδος ποτηρίου πλατὺ τῇ κατασκευῇ, καὶ μεγάλα ὦτα ἔχον. οὕτως Μένανδρος.* 1. *εὔπορον μὲν* A. *Κυΐνδων* Mein.] *κυλινδων* A. 2. *δὲ κεῖνται* Heindorf. fil. ap. Mein. addend. ad Men. p. 562] *δ' ἐκεῖναι. τορεύματ'* A. *πορφυρᾶ τε στρώματα* Bentl. 3. *ποτηρίδιά τε καὶ* Bentl. *ποτήρι' Ἰνδικά τε τορ.* Iacobs. Addit. Athen. 261. 4. *κἀκτυπώματ' εὐπρόσωπα* Dobr. Suid. *λαβρώνιον· εἶδος ἐκπώματος. καὶ λαβρώνιος* (Diphil. 80. Hipparch. 3. Poll. 6, 96).

'militem audire mihi videor opes quas ex militia reportasset ambitiose enumerantem'. Mein. fortasse significatur Macedo *τῶν ἀργυρασπίδων*, qui thesauros in isto Ciliciae oppido multos per annos custodiebant. Strab. 14, 672 *ὑπέρκειται δὲ τὰ Κύινδα τῆς Ἀγχιάλης ἔρυμα, ᾧ ἐχρήσαντό ποτε οἱ Μακεδόνες γαζοφυλακίῳ. ἦρε δὲ τὰ χρήματα Εὐμένης ἀποστὰς Ἀντιγόνου.* cf. Diodor. 18, 58. 9. 62. 19, 56. 20, 108. 9 (Ol. 115, 3—119, 3). Plut. Eumen. 13 init. 16. Demetr. 32 init. Droysen. Hellen. I 195 not. 199. 321. 525. 545. 557. — etiam *τραγέλαφοι* hic sunt pocula, ut Diphil. 80.

in v. 2 sequor Bentleium. in v. 3 constat corruptum esse *ποτηρίδια*, quae forma deminutiva neque exstare usquam videtur neque decet militem gloriosum. restituto eo quod in tali rerum pretiosarum indice deesse vix poterat scr. *ποτήρι' ἄλλα τ' ἀργυρώματα.* cf. Antiphan. 224. Menand. 537, 7. Apollod. Gel. 3. neque *πρόσωπα* in v. 4 sanum est: fort. *κἀκτυπωμάτων τὰ πρῶτα.*

25

καὶ θάλαττα βορβορώδης, ἣ τρέφει θύννον μέγαν.

Athenaeus 7, 303 c *μνημονεύει δὲ τοῦ θύννου . . . Μένανδρος Ἁλιεῦσι κτλ. καὶ θάλασσα καὶ* A. alterum *καὶ* eiecit Bentl. *θάλαττα* Mein. *Μένανδρος* add. Dalecamp.

26

ἀναπετῶ τουτὶ προσελθὼν κοὐκ ἀνέξομ' οὐκέτι.

Suidas et Zonaras 204 *ἀναπετῶ· ἀναπετάσω. Μένανδρος Ἁλιεῦσιν κτλ. προσελθὼν* D Suid. et Zon.] *προελθὼν* A K. *Ἁλιεῦσι* Kuster.] *ἄλλοις.* an *Ἁλαεῦσι?* — *τουτί, τὸ θύριον* Dobr.

'suspicor haec ab eo piscatore pronuntiari, qui cistam monumenta puellae condentem recluderet'. Bernhardy. — fort. *ἀναπετῶ* | *τουτὶ κτλ.*

27

ἀμφιβλήστρῳ περιβάλλεται

Μένανδρος ἔφη ἐν Ἁλιεῖ. Poll. 10, 132. *περιβάλληται* vel *περιβέβληται* Mein., 'numeris anapaesticis'. simillime Herodot. 1, 141. cf. 2, 95. Aesch. Ag. 1382. Choeph. 492.

28

ἡδυλίζειν

Photius *ἡδυλισμός· εἶδός τι κολακείας. καὶ Μένανδρος ἐν Ἁλιεῖ κέχρηται τῷ ἡδυλίζειν.* Eustath. 1417, 21 *ἡδυλισμός, ἀφ' οὗ καὶ τὸ ἡδυλίζειν παρὰ Μενάνδρῳ.* Hesych. *ἡδυλίσαι· συνουσιάσαι. ἡδυλισμός· συνουσία.*

29

ἡ λαμπήνη

. . . *ἐν τοῖς Μενάνδρου Ἁλιεῦσιν* Pollux 10, 52. Phot. *λαμπήνη· εἶδος ἅρματος ἁμάξης* (*ἁρμαμάξης* Dobr.). *οὕτω Μένανδρος.* Hesych. *λαμπήνη· εἶδος ἁμάξης ἐφ' ἧς ὀχοῦνται. ἔνιοι ἀπήνη. ἢ ἁρμαμάξης περιφανοῦς βασιλικῆς.* similiter Suid. *λαμπήνη.* cf. Soph. fr. 405 N. Posidipp. 10.

Praeterea cf. fr. 8.

ΑΝΑΤΙΘΕΜΕΝΗ Η ΜΕΣΣΗΝΙΑ

Sic solus Suidas (fr. 32): ceteri aut *Ἀνατιθεμένην* aut *Μεσσηνίαν* commemorant, unde Meinekius fortasse non unam, sed duas fuisse fabulas coniecit. *ἀνατίθεσθαι, sententiam mutare,* saepissime Plato. ac proprie *οἱ πεττεύοντες* dicebantur *ἀνατίθεσθαι.* cf. fr. 86. si Suidas recte titulum coniunctim scripsit, consentaneum est puellam Messeniam dici, 'quae cum amatori nuptiarum spem fecisset, postea sententiam mutarit' (Mein.) nuptiarumque diem simulatione et fallaciis distulerit. — Demetrius De elocut. 153 de artificio Socratis in Nubibus (177 sq.) disputans *ἐκ δύο τόπων ἐνταῦθα ἐγένετο ἡ χάρις. οὐ γὰρ παρὰ προσδοκίαν μόνον ἐπηνέχθη* (cf. 152), *ἀλλ' οὐδ' ἠκολούθει τοῖς προτέροις. ἡ δὲ τοιαύτη ἀνακολουθία καλεῖται γρῖφος . . . καὶ παρὰ Μενάνδρῳ δὲ ὁ πρόλογος τῆς Μεσσηνίας.* cf. Fritzsch. Adversar. I p. 9—11.

30

οἱ δ' ἁρπάσαντες τοὺς κάδους τοὺς στρογγύλους
ὕδρευον ἀνδρειότατα κηπουροὶ πάλιν.
B. 'ἤντλουν' λέγειν δεῖ καὶ 'κάδους' οὐ δεῖ λέγειν,
ἀλλ' 'ἀντλιαντλητῆρας'.

Bekker. Anecd. 411, 12, *ἀντλιαντλητῆρα. Μένανδρος Μεσσηνίᾳ κτλ.* 1. *τοὺς στρ.* Bekker.] *στρ.* 2. *κηπουροὶ* Mein.] *κηπ* . . .

v. 3. 4, quos perperam Meinekius grammatici esse putabat, alteri personae tribuit Buttmann. (Mein. Men. rel. 562). si non essent Menandri, ille *λέξεων χρησίμων* auctor non habebat quo sententiam suam firmaret. nam propter ipsam illam vocem (*ἀντλιαντλ.*) Menandri eclogam attulit. atque haud raro in comoedia qui non satis attice loqui videntur ab altera persona sic castigantur.

31

τίθημ' ἔχειν χολήν σε καλλιωνύμου
πλείω.

Aelianus N. an. 13, 4 (*ὑπὲρ τοῦ καλλιωνύμου*) *'Αριστοτέλης* (H. an. 8, 506 b 10) *λέγει ὅτι ἄρα ἐπὶ τοῦ λοβοῦ τοῦ δεξιοῦ καθημένην ἔχει χολὴν πολλὴν . . . καὶ μαρτυρεῖ τούτοις ὁ Μένανδρος ἐν τῇ Μεσσηνίᾳ οἶμαι λέγων κτλ.* Plin. N. h. 32, 69 *callionymi fel . . . nulli hoc piscium copiosius, ut existimavit Menander quoque in comoediis.* cf. Anaxipp. 2, 2. Athen. 7, 282 cd. — amatoris esse puellae nimiam exprobrantis iracundiam sententia est Fritzschii p. 10.

32

'Αράβιον ἆρ' ἐγὼ κεκίνηκ' ἄγγελον.

Apostolius 3, 71 *'Αράβιος αὐλητής· τίθεται ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων . . . Μένανδρος Μεσσηνίᾳ κτλ. ἄγγελον* Mein.] *αὐλόν.* Suidas *'Αράβιος ἄγγελος· Μένανδρος 'Ανατιθεμένῃ ἢ Μεσσηνίᾳ, παρὰ τὴν παροιμίαν 'Αράβιος αὐλητής.* Proverbia Coisl. 40 p. 124 *ἀπὸ τούτου ἐλήφθη ἡ παροιμία ('Αράβιος αὐλητής), ἣν μεταλλάξας Μένανδρος 'Αράβιον, φησίν, ἐξεύρηκα σύμβουλον, καὶ 'Αράβιον ἐγὼ κεκίνηκ' ἄγγελον.* Hesych. *'Αράβιος ἄγγελος· παροιμία παρὰ τὸ 'Αράβιος αὐλητής παραλαμβανομένη ἐπὶ τῶν ἀπαύστως διαλεγομένων.* cf. 871 et quae adnotavimus ad Canthar. 1, ubi ante 'Dion. Perieg.' add. 'Eustath.'

33

ἡγεῖταί μ' ὅλως
ἐπικόπανόν τι.

Pollux 10, 101 *τράπεζα μαγειρική, ἣν οἱ νεώτεροι ἐπικόπανον. ἔστι δὲ τοὔνομα παρὰ Μενάνδρῳ ἐν Μεσσηνίᾳ κτλ.* idem 6, 90 *ἐπίξηνον, ὅπερ ἡ νέα κωμῳδία ἐπικόπανον καλεῖ. μ'* Hemsterh.] *μὲν.* '*me quidem plane mensam coquinariam quandam existimat:* adeo scilicet me verberibus lacerat.' Bentl. Epist. Hemsterh. 62. puellam de acceptis iniuriis queri arbitratur Fritzsch. p. 10.

34

Suidas *ἀληθέστερα τῶν ἐπὶ Σάγρᾳ· παροιμία ἐπὶ τῶν ἀληθῶν μέν, οὐ πιστευομένων δέ. μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ* (*ἐν Ἀνατιθεμένῃ* om. C). Apost. 2, 12 *ἀλ. τ. ἐπὶ Σ . . . μέμνηται τῆς παροιμίας Μένανδρος ἐν Ἀνατιθεμένῃ.* Zenob. 2, 17 *ἀλ. τ. ἐπὶ Σ. ταύτης μέμνηται Μένανδρος.* cf. Cratin. 442. Alexid. 305.

35

Harpocration 127 *μετοίκιον· Μένανδρος ἐν Ἀνατιθεμένῃ . . . πρὸς ταῖς ιβʹ δραχμαῖς καὶ τριώβολόν φησι τούτους* (i. e. *τοὺς μετοίκους*) *τελεῖν, ἴσως τῷ τελώνῃ* (*τῷ γραμματεῖ* Poll. 3, 55). eadem omissis tamen fabularum titulis et tribus verbis extremis Photius 263, 3 et Suidas. cf. Boeckh. Oec. Att. I 446. Schoemann Ant. gr.[2] I 366.

36

ἴσσα

ἐπίφθεγμα ἐπὶ τῶν ἀπολαχόντων καὶ ὅλως δυσπραγούντων. ἔστι καὶ ἐν Μεσσηνίᾳ Μενάνδρου καὶ ἑτέρωθι. Photius 114, 7 et Suidas (qui *ζ λαχόντων*). cf. Plat. com. 66. Nauck. Aristoph. Byz. 161. — exclamatio hominum alienis malis gaudentium.

37

Photius et Suidas *ψύλλα καὶ ψύλλαι· θηλυκῶς· παρὰ δὲ Ἡροδότῳ* (4, 173) *Ψύλλοι, ἔθνος Λιβύης, καὶ τὸ ἐν τῇ Μεσσηνίᾳ Μενάνδρου κύριον ὄνομα.* 'Psyllus lenonis nomen est in Anthol. Palat. 7, 403'. Mein. Steph. Byz. *Ψύλλοι, καὶ Ψυλλικὸς κόλπος ἐν τῷ Λιβυκῷ κόλπῳ.*

ΑΝΔΡΙΑ

Terent. Andr. prol. 9 *Menánder fecit 'Andriam et Perínthiam: qui utrámvis recte nórit, ambas nóverit; non íta dissimili súnt argumento, át tamen dissímili oratióne sunt factae ét stilo. quae cónvenere in 'Andriam ex Perínthia fatétur transtulísse atque usum pró suis.* Donatus ad v. 10 *prima scaena Perinthiae fere eisdem verbis quibus Andria scripta est; cetera dissimilia sunt, exceptis duobus locis, altero ad versus XI, altero ad versus XX, qui in utraque fabula positi sunt.* idem ad v. 13 *conscius sibi est* (Terentius) *primam scaenam de Perinthia esse translatam, ubi senex ita cum uxore loquitur, ut apud Terentium cum liberto: at in Andria Menandri solus senex est.* ac didascalia: *graeca Menandru.* cf. Grauert. Anal. p. 173 sq. prius a Menandro scriptam esse *Andriam* ut simpliciorem fabulam arbitratur Ihnius (Quaest. Terent. 9), postea

inmutatam orationis forma paucisque scaenis auctam pro uno amore duobus inlatis et Charini Byrrhiaeque personis additis (Donat. 2, 1, 1) *Perinthiae* nomine iteratam. apud Terentium autem nihil praeter scaenas 2, 1. 2. 4, 1. 2. 5, 5. 6 ex Perinthia fluxisse (p. 5—8). cf. etiam quae de Menandreae fabulae dispositione disputavit Dziatzko Mus. Rh. XXXI 235 sq. de Caecilii Statii *Andria* ambigua est quaestio. cf. Ritschl. Parerg. 133. O. Ribbeck. Com. Rom. fr.[2] p. 37. Dziatzko p. 247 n. 1. — scripturas cod. Paris. indic. Dziatzko.

38

Terentius Andr. 1, 2, 33 *nil me fállis.* Donatus (schol. 1) *id est non te ignoro, non me decipis. sic Menander* ΝΥ̇Νδ . ΟΥ̇ΛΕΝ Ͻ–Θ λCΜЄΝλΜ . (schol. 2) *figura* ΛλΗΝΙC aloco . ΟΥЄΝλΙЄ . λλΝΘ λΝΙCλΝ . (schol. 3) *lates, ut sit* ΟΥ̇ΔЄΝΜЄΛЄΛΗΘλC *nihil me fallis.* ex quibus *νῦν δ' οὐ λέληθας μὴν ἐμέ*, *figura* *ἑλληνισμός*, *οὐδέν με λανθάνοις ἄν*, *οὐδέν με λέληθας* exsculpserunt.

39

εὑρετικὸν εἶναί φασι τὴν ἐρημίαν
οἱ τὰς ὀφρῦς αἴροντες.

Terentius 2, 4, 3 *venít meditatus álicunde ex soló loco, orátionem spérat invenísse se.* Donatus *Menander* ЄΥ̇ΡЄΙΚΟΝЄΙΝΑΙΟΛCΙΤΗΝЄΡЄΜΙΑΝΟΙΤλC ΟΦΡΙCλΙponteſ. *οἱ τὰς ὀφρ. αἴρ.* philosophi sunt.

40

Terentius 3, 1, 15 *Iunó Lucina, fér opem.* Donatus *obstetriciam hanc potestatem Iunoni attribuit Terentius, quamquam Menander illam Dianam adpellet.* Eugraphius *hanc* (Iunonem) *quidam tamen potius Dianam esse dixerunt: nam ita Menander ipsam vocat cum dicit* *Ἄρτεμιν.* Schol. Theocrit. 2, 66 *καὶ παρὰ Μενάνδρῳ· ʽαἱ κυΐσκουσαι ἐπικαλεῖσθε τὴν Ἄρτεμιν, ἀξιοῦσθαι συγγνώμης ὅτι διεκορήθητε'.* ʽquae ita scribenda videntur *καὶ παρὰ Μενάνδρῳ αἱ κυΐσκουσαι ἐπικαλοῦνται τὴν Ἄρτεμιν ἀξιοῦσθαι συγγνώμης ὅτι διεκορήθησαν.*' Mein. ac *διεκορήθησαν* Ambros. Ziegler. p. 23. *εἰώθασιν ἐπικαλεῖσθαι* Duebner. *ἐπικαλεῖσθαι* — *ἀξιοῦσι συγγνωμονῆσαι* Ahrens.

41

λούσατ' αὐτὴν αὐτίκα.

Terentius 3, 2, 3 *nunc prímum fac ísta ut lavét.* Donatus (schol. 1) *Menander* ΛΟΥ̇C . λΤλΥ̇ΤΚΝ. (schol. 2) *sic enim et Men-*

ander ΛΟΥCΑΤЄΛRΤΗΝΥΤΙΒΛ. *αὐτίκα* Bentl., *ὡς τάχιστα* Grauert, *ὅτι τ.* Mein.

42

καὶ τεττάρων ᾠῶν μετὰ τοῦτο, φιλτάτη,
τὸ νεοττίον.

Photius et Suidas *νεοττός· ἡ τοῦ ᾠοῦ λέκιθος καὶ τὸ πυρρόν. Μένανδρος Ἀνδρίᾳ κτλ.* praeceptum obstetricis est. Terent. 3, 2, 3 *poste deínde quod iússi ei darí bibere et quantum imperávi, date.* *τὸ νεοττίον* (vel. *τὸν νοττόν*) Mein.] *τὸν νεοττόν* Phot. et Suid. A. *τῶν νεοττῶν* Suid. VC. *τὸ νεοττόν* Med., probatum Bentleio et Dobraeo. Hesych. *νεοττίον· Ἀττικοὶ τοῦ ᾠοῦ τὴν λέκιθον.* cf. Diphil. 121. ceterum versus etiam sic distingui possunt: *καὶ τεττάρων | ᾠῶν κτλ.*

43

Terentius 3, 4, 13 *quidnam aúdio?* Donatus *legitur et* audiam. *Menander enim sic ait* ΠΡΟΤΟΝΚΥΜΕ, unde Dziatzko p. 238 *τί ποτ' ἀκούσομαι*; antehac ex scriptura editionum opinor effecerant *τί δή ποτ' ἀκούσω*; (coni. aor.).

44

Terentius 3, 5, 5 *postháс incolumem sát scio fore mé, si devito hóc malum.* Donatus *Menander sic:* ΛΝΘΕΟCΘЄΤЬΟ . ΚΛΝΛΠΟΛCΙΜΠΠЄ *et est sensus: tam difficile est hinc evadere, ut qui hinc evaserit videatur inmortalis futurus.* unde Dziatzko *ἐνθένδε σωθεὶς οὐκ ἂν ἀπολοίμην ποτέ* (fort. *ἀπολοίμην ἔτι* vel *ἐγώ*). ante illum Casaubonus *ἔνθεν ἀποφεύγων* (*ἐνθένδ' ἀποφυγὼν* Mein.) *οὐκ ἂν ἀπολοίμην ποτέ.*

45

Terentius 4, 3 11 *ex ara hinc súme verbenás tibi.* Donatus (schol. 1) *ex ara, sc. Apollinis, quem* Δήλιον *Menander vocat.* ΛΓΙΛΙΟn *Par. cassion* al. (schol. 2) *Menander sic* ΚΟΛЄΞΙΛCCΥΜΥΡΡΥΝΛC ΧΧΗCΛ . ΙЄ ΤЄΙΝЄ. Servius Verg. Aen. 12, 120 *abusive verbenas iam vocamus omnes frondes sacratas, ut est laurus, oliva vel myrtus. Terentius 'ex ara sume hinc verbenas.' nam myrtum fuisse Menander testatur, de quo Terentius transtulit.* *ἀπὸ δεξιᾶς σὺ μυρρίνης κλάδους λαβέ* Bentl. *ἀφ' ἑστίας σὺ μυρρίνας δέχου,| δύστηνε* Iacobs. *ἀπὸ Λοξία σὺ μυρρίνας τασδὶ λαβὼν ὑπότεινε* Mein. *ἀπὸ δ' ἑστίας σὺ μυρρίνας | ἐπὶ γῆς διάτεινε* Duebner. *ἀπὸ τῆς ἑστίας | σὺ μυρρίνας τασδὶ* L. Dindorf. Ann. Fleckeis. 1869 p. 523, *cassion* et *ετεινε* non sanata censens. *ἀπὸ Λοξία σὺ μυρρίναις*

χρῆσαι, γύναι Dziatzko 239. quibus omnibus unum adicio, formam *Λοξία* (genet.) neque comicis neque tragicis usitatam fuisse.

46

Terentius 4, 4, 55 *paullum ínteresse cénses, ex animo ómnia ut fért natura, fácias, an de indústria?* Donatus *haec sententia a Terentio ἐρωτηματικῶς prolata est, quam Menander ἐπιδεικτικῶς posuit.*

47

Terentius 5, 4, 16 *síc Crito est hic.* Donatus *hic Chremes traducit illum ab iracundia dicendo sic esse eum. Menander οὕτως αὐτός ἐστιν. et recte: quia naturae ignoscitur, voluntati non item.* οτοy αΥτοc; εττιν Par. οὕτως οὗτός ἐστι. Buttmann.

48

τὸ δ' ἐρᾶν ἐπισκοτεῖ
ἅπασιν, ὡς ἔοικε, καὶ τοῖς εὐλόγως
καὶ τοῖς κακῶς ἔχουσιν.

Stobaeus Floril. 64, 15 *Μενάνδρου ἀνδρεία* A. 2. *ἅπασιν* om. Voss. 3. *κακῶς* Clericus] *καλῶς*. *εὖ λόγων* Mein. in ed. Stob., *καὶ τοῖς εὐλόγοις καὶ τοῖς κακῶς φρονοῦσιν* idem Stob. IIII LXXII. neque Terent. 1, 3, 12 neque Caecil. ap. Cic. Tusc. 4, 32, 68 magnam habent similitudinem.

49

Terentius 3, 3, 11 *ne me óbsecra.* Donatus T. Ω ΛΛ. HNIC MOn . M. h . Ṇ . ΛI . TΛNEREMNMΛCOR . corrigunt *τῷ ἑλληνισμῷ 'μὴ λιτάνευε, μὴ μάχου'*. Grauertus non Menandri fragmentum, sed Attici sermonis exemplum illis verbis contineri arbitratur.

50

ζῶμεν γὰρ οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.

Menander monost. 190 et omisso auctoris nomine Suidas. *ζῶμεν γὰρ οὐχ ὡς θ., ἀλλ' ὡς δ. ἐπὶ τῶν μὴ κατὰ προαίρεσιν ζώντων. κέχρηται Πλάτων ἐν Ἱππίᾳ.* Hipp. mai. 301 c *τοιαῦτα τὰ ἡμέτερά ἐστιν, οὐχ οἷα βούλεταί τις (φασὶν ἄνθρωποι ἑκάστοτε παροιμιαζόμενοι), ἀλλ' οἷα δύναται.* cf. Demosth. 57, 31. Diogen. Vind. 2, 81. Gregor. Cypr. Mosq. 3, 57. Macar. 4, 31. Apost. 8, 38. itaque proverbium multo antiquius est Menandro; tamen recte Heindorfius (Plat. Cratyl. 425 c) versum illum ad *Andriam*

rettulisse videtur conl. Terent. 4, 5, 10 *ut químus, aiunt, quándo ut volumus nón licet.* cf. tamen Dziatzko 242.

Praeterea Menandrum Donatus commemorat 2, 1, 1 (cf. quae ad titulum adnotavimus). 4, 5, 6, *estne hic Critó, sobrinus Chrýsidis?* Donatus *sobrini sunt consobrinorum filii: nam sic dicit Menander.* (cf. Dziatzko 240. 1). 5, 3, 20 *domus, úxor, liberi ínventi invitó patre.* Donatus *mira gravitate sensus elatus est: nec de Menandro, sed proprium Terentii.*

Quae Terentius ex Euripidis tragoediis videri possit hausisse 2 (3), 5, 15 *verum íllud verbumst, vólgo quod dicí solet, omnís sibi malle mélius esse quam álteri* (Eur. Med. 85. 6); 4, 1, 16 *atqui aliquis dícat 'nil promóveris': multúm: molestus cérte ei fuero* (Hippol. 1297); 5, 4, 17 *sí mihi pergit quaé volt dicere, éa quae non volt aúdiet* (Alcest. 704. 5), ea non ex Euripide ipso, sed ex Menandro Euripidis imitatore in Andriam translata esse Meinekius arbitratur Quaest. Menandr. 42 sq. — etiam proverbium quod apud Millerum Mélanges 379) est *ἅμ' ἔπος ἅμ' ἔργον* (adesp. 747. Terent. 2, 3, 7 *dictum ac factum*) ad Menandri Andriam refert Meinekius Herm. III 456. denique fr. 797 ad eandem referebat Clericus conl. Terent. 3, 3, 23.

ΑΝΔΡΟΓΥΝΟΣ Η ΚΡΗΣ

Sic Athen. 6, 243 b (fr. 56), *Κρής* Schol. Arist. Lys. 378 (fr. 57), plerumque *'Ανδρόγυνος* dicitur. *Androgynos* fuit Caecilii Statii. O. Ribbeck. Com. Rom. fr.[2] 37. — Plat. Symp. 189 e *ἀνδρόγυνον . . . καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος, νῦν δ' οὐκ ἔστιν ἀλλ' ἢ ἐν ὀνείδει ὄνομα κείμενον.* Suid. *ἀνδρόγυνος· ὁ . . . τὰ ἀνδρὸς ποιῶν καὶ τὰ γυναικῶν πάσχων. ἢ ἄνανδρος καὶ ἑρμαφρόδιτος.* Bekker. Anecd. 393, 29 *ἀνδρογύνων· ἀσθενῶν, γυναικῶν καρδίας ἐχόντων.* 11, 29 *ἀνδρόγυνον ἄθυρμα· εἰ θέλοις γύνιν* (*γύννιν* Arist. Thesm. 136) *τινὰ σκῶψαι, χρήσαιο ἄν.*

51

τὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ
ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν.

Stobaeus Floril. 108, 38 *Μενάνδρου 'Ανδρογύνου Α.* 'quae semel acciderunt denuo ne accidant verendum est.' cf. Syri sententia Senec. Cons. Marc. 9. De tranquill. 11 *cuivís potest accídere quod cuiquám potest.* 2. cf. 128, 2.

52

πλήσας γὰρ ἔφερεν ἐκ παρατάξεώς ποθεν
τὰς ἐν Λαμίᾳ πάσας.

Photius et Suidas *Λάμια. ἔστι δὲ καὶ πόλις Θεσσαλίας ὅθεν ὁρμηθέντες οἱ Ἕλληνες μετὰ τὸν Ἀλεξάνδρου θάνατον, Ἀθηναίων ἡγουμένων, τῆς ἐλευθερίας ἀντιποιησάμενοι τὸν Ἀντίπατρον ἐνίκησαν. Μένανδρος Ἀνδρογύνῳ κτλ.* cf. Apostol. 10, 44. Arsenius Ion. 332. — *πλήσας* Phot. Apost. et ABE Suid.] *πλήξας* rel. Suid. *πάσας* Arsen. *ἔφερεν*] *ἔφθειρεν* Suid. Apost. *ἔφθειρ'* Bernhardy. *πλήσας παρέφερεν* H. Iacobi V ccLXII conl. Plat. com. 71, quo non plus ad intellegendum versum proficitur quam eis quae profert Herwerd. Anal. crit. 38.

53

τὸ γὰρ σύνηθες οὐδαμοῦ παροπτέον.

Stobaeus Floril. 44, 5 *Μενάνδρου Ἀνδρογύνῳ* A. om. fabulae titulo Anton. Mel. 102 p. 168. cf. 726.

54

μαρτύρομαι τὸν φίλιον, ὦ Κράτων, Δία.

Photius et Suidas *φίλιος (Ζεύς), ὁ τὰ περὶ τὰς φιλίας ἐπισκοπῶν. Μένανδρος Ἀνδρογύνῳ κτλ. μαρτύρωμαι τὸν φίλον* cod. Phot.

55

Μυσῶν ἔσχατος πολέμιος

Schol. Platon. 367 Bekk. *Μυσῶν ἔσχατος ἐπὶ τῶν εὐτελεστάτων . . . Μένανδρος Ἀνδρογύνῳ κτλ.* Append. Vat. I 64 *ἔσχατος Μυσῶν. μέμνηται ταύτης Μένανδρος.* quae tamen etiam ad *Ephesium* possunt pertinere. cf. 199. 751. Magnet. 5. Philem. 77.

56

Athenaeus 6, 243 b *μνημονεύει (Μένανδρος) αὐτοῦ (Χαιρεφῶντος τοῦ παρασίτου) καὶ ἐν Ἀνδρογύνῳ ἢ Κρητί.*

57

Schol. Lys. 378 *περὶ γαμηλίων λουτρῶν Μένανδρος ἐν Κρητί φησι. Κρητί* Albert.] *Κρήτῃ.*

58

Schol. Ven. Hom. Il. 13, 291 *καὶ ὁ Λυσίας τὸν Ἰφικράτην ποιεῖ λέγοντα 'τραύματα ἔχων οὐχ ἑτέρων ἐπ' ἐμὲ ἐρχομένων, ἀλλ' αὐτὸς ἐπιών'. ἀνδρογύνης καὶ ἔτ' ὀλίγα τραύματα ἐξόπισθεν ἔχων τῆς δειλίας σημεῖα καὶ οὐχὶ τοῦ θράσους.* comici vel tragici poetae hic versum latere indicavit Mein. Cur. crit 34.

ἀνδρόγυνος ὀλίγα τραύματ' ἐξόπισθ' ἔχων idem IIII 687. pro *ἀνδρογύνης καὶ ἔτ' ὀλίγα* dubitans *ἀνδρογύνης καὶ τὸ λεγόμενον* Nauck. Trag. gr. fr. adesp. 374. *Μένανδρος Ἀνδρογύνῃ ἢ Κρητί· ὄλωλα τρ. ἐξ. ἔχων τῆς δ. σ. κοὐχὶ τοῦ θρ.* Preller Phil. III 522. at quis umquam talia de se ipse praedicavit? itaque certe *ὄλωλε* vel *ὄλωλας* scribendum erat vel potius *ἀπόλ.*, cum *ὄλωλα* non sit comicorum. (ed fortasse sic verba constituenda: (*Μένανδρος*) *Ἀνδρογύνῃ* . . . sexcidit fragm.) *καὶ μετ' ὀλίγα· τραύματ' ἐξ. ἔχων κτλ.*

ΑΝΕΨΙΟΙ

Consobrini fuerunt L. Afranii. O. Ribbeck. Com. Rom. fr.[2] 170.

59

φύσει γάρ ἐστ' ἔρως
τοῦ νουθετοῦντος κωφόν· ἅμα δ' οὐ ῥάδιον
νεότητα νικᾶν ἐστι καὶ θεὸν λόγῳ.

Stobaeus Floril. 64, 17 *Μενάνδρου Ἀνεψιός* A. 2. *νομοθετοῦντος* AB Trinc. *ἅμα* — *λόγῳ* om. Voss. — apte O. Ribbeck. p. 210 confert Afranii fr. 31 *ámentes, quibus ánimi non sunt íntegri, surde aúdiunt.*

60

εὐδαιμονία τοῦτ' ἐστὶν υἱὸς νοῦν ἔχων·
ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί.

Stobaeus Floril. 77, 4 *Μενάνδρου*, 5 *Μενάνδρου Ἀνεψιοῖς* A. ad unum fr. coniunxit Grotius. 1. *εὐδαιμονία* H. Steph.] *εὐδαιμονίας*. 2. *B. ἀλλὰ θυγάτηρ; A. κτῆμ' ἐστὶν κτλ.* Nauck.

61

ὁ φανός ἐστι μεστὸς ὕδατος οὑτοσί,
δεῖ τ' οὐχὶ σείειν, ἀλλ' ἀποσείειν αὐτόθεν.

Athenaeus 15, 700 b *ἄλλοι δ' ἔφασκον φανὸν λέγεσθαι τὴν λαμπάδα· οἱ δὲ τὴν ἔκ τινων ξύλων τετμημένην δέσμην. Μένανδρος Ἀνεψιοῖς* (*ἀνεψιὸς* A) *κτλ.* 2. *δεῖτε* A. *ἀλλ' ἀποσείειν αὐτόθεν* Bentl.] *ἀλλὰ ποδιειν αυτόν* A. Phot. 639, 4 *φανός· λαμπὰς ἡ ἐκ κλημάτων. οὕτως Μένανδρος.* Bachmann. Anecd. I 403, 11 *φανός· λαμπὰς ἐκ κλημάτων. οὕτως Μένανδρος.* Eustath. 1571, 3 *τὸ φανίον ἐκ τοῦ φανοῦ παράγωγον, οὗ ἡ χρῆσις παρὰ Μενάνδρῳ.* — cf. Nicostr. 22. fax erat aquae plena: itaque non concuti eam oportebat, ut fulgor excitaretur, sed aquam excuti.

62

οἶσ᾽ εἰσιὼν
πανόν, λύχνον, λυχνοῦχον, ὅ τι πάρεστι· φῶς
μόνον πολὺ ποίει.

Athenaeus 15, 700 de *πανὸς ὀνομάζεται τὸ διακεκομμένον ξύλον καὶ συνδεδεμένον· τούτῳ δ᾽ ἐχρῶντο λαμπάδι. Μένανδρος ᾿Ανεψιοῖς κτλ.* 1. *οἶσ᾽* add. Dobr. 2. *πάρεστιν* A. 3. *ποίει* Dalecamp.] *ποιεῖ* A. 'quidquid praesto est effer: modo claram fac lucem'. Xen. Hell. 6, 2, 29 *πρὸ τοῦ στρατεύματος φῶς ἐποίει.* — tetrametr. (om. *λύχνον*) *οἶσ᾽ ἰὼν πανόν — μόνον* | *πολὺ ποίει* L. Dindorf. Ann. Fleckeis. 1869, 524.

63

τὰ κακῶς τρέφοντα χωρί᾽ ἀνδρείους ποιεῖ.

Stobaeus Floril. 56, 7 *Μενάνδρου ᾿Ανεψιοί* A. — verum esse norunt Borussi non minus quam Attici.

ΑΠΙΣΤΟΣ

Alciphr. Epist. 2, 4, 6 *πάντα μετέωρα νῦν ἐστι, βουλόμενα ἰδεῖν Μένανδρον καὶ ἀκοῦσαι φιλαργύρων καὶ ἐρώντων καὶ δεισιδαιμόνων καὶ ἀπίστων.* dubium est suspiciosum significet an hominem cui fides haberi non possit.

64

ᾤμην, εἰ τὸ χρυσίον λάβοι
ὁ γέρων, θεράπαιναν εὐθὺς ἠγορασμένην
ἅβραν ἔσεσθαι.

Suidas *ἅβρα· οὔτε ἡ ἁπλῶς θεράπαινα οὔτε ἡ εὔμορφος θεράπαινα λέγεται, ἀλλ᾽ οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος, εἴτε οἰκογενὴς εἴτε μή. Μένανδρος Σικυωνίῳ . . . ᾿Απίστῳ κτλ.* Dobraeus hoc cum fragmento *Sicyonii* (438) quod apud Suidam praecedit coniungit alteri personae tribuens (*B. ἄπιστον· ᾤμην* vel *ἄπιστά γ᾽· ᾤμην*). at nequaquam coeunt sententiae. de *ἅβρᾳ* cf. etiam Etym. m. 4, 22. Bekker. Anecd. 321, 12 sq.

ΑΡΡΗΦΟΡΟΣ Η ΑΥΛΗΤΡΙΣ

Etymolog. magn. 149, 18 *ἀρρηφορεῖν· τέσσαρες παῖδες ἐχειροτονοῦντο κατ᾽ εὐγένειαν ἀρρηφόροι, ἀπὸ ἐτῶν ἑπτὰ μέχρις ἕνδεκα. τούτων δὲ δύο διεκρίνοντο, οἳ (αἳ) τῆς ὑφῆς τοῦ ἱεροῦ πέπλου ἦρχον[το] καὶ τῶν ἄλλων τῶν περὶ αὐτόν. λευκὴν δὲ ἐσθῆτα ἐφόρουν καὶ χρυσία.* similiter Harpocrat. *ἀρρηφορεῖν.* cf. Schoemann. Ant. gr.[2] II 453.

65

οὐ γαμεῖς, ἂν νοῦν ἔχῃς,
τοῦτον καταλιπὼν τὸν βίον· γεγάμηκα γὰρ
αὐτός· διὰ τοῦτο σοὶ παραινῶ μὴ γαμεῖν.
Β. δεδογμένον τὸ πρᾶγμ'· ἀνερρίφθω κύβος.
Α. πέραινε. σωθείης δὲ νῦν. ἀληθινὸν
εἰς πέλαγος αὑτὸν ἐμβαλεῖς γὰρ πραγμάτων,
οὐ Λιβυκόν, οὐδ' Αἰγαῖον . . . . .
οὗ τῶν τριάκοντ' οὐκ ἀπόλλυται τρία
πλοιάρια· γήμας δ' οὐδὲ εἷς σέσῳσθ' ὅλως.

Athenaeus 13, 559 d e Μένανδρος ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι κτλ. ἂν Dindf.] ἐάν. 3. καὐτός Mein. τοῦτο σοὶ Cobet. N. l. 76] τοῦτό σοι. 4. ἀνερίφθω A. 5. σωθείης δέ· νῦν ἀλ. Iacobs. at cf. adesp. 1225. 6. σεαυτὸν ἐμβάλλεις A. 8. οὗ] οὐ A. 7. οὐδ' Αἰγύπτιον add. Grot. οὐδὲ Σικελικόν Cobet. N. l. 76. quidni οὐδὲ Κρητικόν (Horat. C. 1, 26, 2)?

4. cf. Aristoph. fr. 673. frustra Herwerd. Anal. crit. 41 articulum desiderat. 6. de postposita γάρ cf. Antiphan. 26, 22.

66

ἐὰν δὲ κινήσῃ μόνον τὴν Μυρτίλην
ταύτην τις ἢ τίτθην καλῇ, πέρας ποιεῖ
λαλιᾶς· τὸ Δωδωναῖον ἄν τις χαλκίον,
ὃ λέγουσιν ἠχεῖν, ἣν παράψηθ' ὁ παριών,
τὴν ἡμέραν ὅλην, καταπαύσαι θᾶττον ἢ
ταύτην λαλοῦσαν· νύκτα γὰρ προσλαμβάνει.

Stephanus Byz. Δωδώνη. μέμνηται αὐτῆς (τῆς παροιμίας) Μένανδρος ἐν Ἀρρηφόρῳ κτλ. Zenob. 6, 5 τὸ Δωδωναῖον χαλκεῖον· παρὰ Μενάνδρῳ ἐν τῇ Ἀρρηφόρῳ. Suid. Δωδωναῖον χαλκεῖον . . . κέχρηται τῇ παροιμίᾳ Μένανδρος Αὐλητρίδι (αὐλητρίσι VC). 2. ἢ Bentl.] ἣν S. ἢ τιτθιολαβῇ Naber Mnem. nov VII 413. at Graeci dicunt τιτθολ. 3. Δωδωνεῖον S. 5. καταπαῦσαι S.

2. πέρας οὐ ποιεῖ Bentl. '*numquam loquendi finem facit*'. contra dicit Cobet. N. l. 71 'πέρας est τὸ ἑκάστου ἔσχατον, id quod in quaque re *extremum* est quo perveniri potest et quo non est progredi ulterius. cf. Hegesipp. 1, 4. Posidipp. 26, 17. Damox. 3, 9.' non ubique tamen eam esse vocis significationem docet fr. 418. — 5. de forma optat. καταπαύσαι cf. Bamberg. Jahresber. III 12. 13.

67

πάντας μεθύσους τοὺς ἐμπόρους
ποιεῖ τὸ Βυζάντιον· ὅλην ἐπίνομεν
τὴν νύκτα διὰ σὲ καὶ σφόδρ' ἄκρατόν μοι δοκῶ.
ἀνίσταμαι γοῦν τέτταρας κεφαλὰς ἔχων.

Athenaeus 10, 442 d *Μένανδρος ἐν Ἀρρηφόρῳ ἢ Αὐλητρίδι κτλ.* v. 1—3 Aelian. V. h. 3, 14 extr. *ὁμολογεῖν τούτοις (τοῖς κατηγοροῦσι Βυζαντίων) ἔοικε καὶ ὁ Μένανδρος, ὅταν λέγῃ· μεθύσους — νύκτα.* v. 2 sq. Eustath. 1504, 63 *ἔμπορος γοῦν τις μέθυσος παρὰ Μενάνδρῳ . . . οὕτως· ὅλην κτλ.* idem Dionys. Perieg. 804 *κωμῳδοῦνται εἰς μέθην οἱ παλαιοὶ Βυζάντιοι.* Pollux 6, 25 *ὁ μέθυσος ἐπὶ ἀνδρῶν Μενάνδρῳ δεδόσθω.* cf. Lobeck. Phryn. 151. 2 et de Byzantiis Strattid. 36. 3. *διὰ σὲ*] *νὴ Δία* Herwerd. Obs. crit. 122. *Θάσιον* Heimsoeth. Ind. Bonn. 1867 aest. XVIII. de *μοι δοκῶ* cf. Clearch. 5.

68

τὰ πατρῷα μὲν ποιεῖ καιρός ποτε
ἀλλότρια, σῴζει δ' αὐτά που τὰ σώματα·
βίου δ' ἔνεστιν ἀσφάλει' ἐν ταῖς τέχναις.

Stobaeus Floril. 60, 5 *Μενάνδρου Αὐλητρίδος* A. 1. *τὰ γὰρ π.* Grotius. *τὰ μὲν π. μεταποιεῖ* Iacobs. Anthol. 12 p. 105. *ποιεῖ*] *ποτ* A. 2. *σῴζει*] *δουλοῖ* Mein. fort. *χρῴζει.* temporis iniquitate non solum bonorum possessio transmutatur, sed interdum etiam corporum ipsorum colores inficiuntur et vitiantur. cf. Alexid. 141, 9. 3. *ἔνεστιν* Gesn. 3] *ἔνεστι μία* A.

69

ἐλλέβορον ἤδη πώποτ' ἔπιες, Σωσία;
Β. ἅπαξ. Α. πάλιν νῦν πῖθι· μαίνει γὰρ κακῶς.

Athenaeus 10, 446 d *Μένανδρος Αὐλητρίδι κτλ.* (*αὐλητρίσι* A). 1. *ἐλλέβορον* Heringa Observ. 224] *βαλ' ἐς κόρον* A. *Σωσία* Heringa. *Β. ἅπαξ. Α.* Cobet. N. l. 22] *σωσιλαπᾶσιν* A (i. e. *Σωσία ἅπασιν*). 2. *παλινυν* A. *μαίνει* Heringa] *μένει* A.

70

πάντ' ἐστὶ τῷ καλῷ λόγῳ
ἱερόν· ὁ νοῦς γάρ ἐστιν ὁ λαλήσων θεός.

Iustinus De mon. 40 b (150 Otto) *ὁ αὐτὸς (Μένανδρος) καὶ ἐν Αὐλητρίσι κτλ.* 1. *πανταχῇ ἐστι* Bentl. *πάντη 'στὶ* Mein. 2. monost.

432 ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός. recte Bentl. ‘si rectam rationem sequimur, ubique templum et oraculum est: mens enim cuiusque est deus ille oracula daturus, quem frustra alibi quaesiveris’. itaque frustra ἐστι τῶν χρηστῶν Herwerd. Nov. add. crit. 39.

71

ὦ τρισκατάρατε, ζωπύρει τοὺς ἄνθρακας.

Etymol. Gudian. ζωπυρεῖν κυρίως τὸ τοὺς ἄνθρακας φυσᾶν, ὡς τὸ κτλ. Μένανδρος ἐν Ἀρρηφόρῳ, et sine poetae fabulaeve indicio Etym. m. 413, 6. Cramer. Anecd. Ox. II 443, 16. ὦ om. et ἀναζωπύρει Et. Gud.

72

ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

Orion Antholognom. 1, 11 ἐξ Ἀρρηφόρου Μενάνδρου. Stob. Append. Flor. 163 b (Mein. IIII 231) ἑτέρων. Anton. Mel. 1, 48. Maxim. p. 278. cf. Wachsmuth Stud. Gnom. gr. 139. W. Meier Gnom. Urb. A 9 p. 424. repetitur 143. monost. 26.

73

ἢ χαλκοῦν μέγα
ὁλκεῖον

Pollux 10, 176 ὁλκεῖον, ἀγγεῖον ὑγρῶν τε καὶ ξηρῶν ὡς ἐπὶ τὸ πολὺ χαλκοῦν, ὡς ἐν Ἀρρηφόρῳ Μενάνδρου κτλ. cf. Philem. 17.

ΑΣΠΙΣ

Clipeum significari pleraque fragmenta demonstrant.

74

ὦ τρισάθλιοι
τί πλέον ἔχουσι τῶν ἄλλων; βίον
ὡς οἰκτρὸν ἐξαντλοῦσιν οἱ τὰ φρούρια
τηροῦντες, οἱ τὰς ἀκροπόλεις κεκτημένοι·
εἰ πάντας ὑπονοοῦσιν οὕτω ῥᾳδίως
ἐγχειρίδιον ἔχοντας αὑτοῖς προσιέναι,
οἵαν δίκην διδόασιν.

Stobaeus Floril. 49, 8 (ψόγος τυραννίδος) Μενάνδρου Ἀσπίδος Voss. Hens. 2. βασιλεῖς init. add. Grotius. οἳ πλέον ἔχειν ζητοῦσι τῶν ἄλλων Cobet. N. l. 76. mihi σατράπαι initio videtur excidisse. 3. οἰκτρὸν οἱ A. 4. ἢ τὰς Mein. 5. οὕτω] οὗτοι Porson. Arist. Vesp. 632.

75

ὃ βούλεται γὰρ μόνον ὁρῶν καὶ προσδοκῶν
ἀλόγιστος ἔσται τῆς ἀληθείας κριτής.

Stobaeus Floril. 23, 4 τοῦ αὐτοῦ (Μενάνδρου 23, 3) Ἀσπίδος A. 2. ἔσται AB] ἐστι. 'loquitur de certo quodam homine'. Mein. *nam si quod vult tantummodo videt* cet.

76ab

στρατιώτην, Σμικρίνη, σωτηρίας
ἔστ' ἔργον εὑρεῖν πρόφασιν, ὀλέθρου δ' εὔπορον.

Stobaeus Floril. 53, 5 (ψόγος τόλμης) Μενάνδρου Ἀσπίδος A. 1. Σμικρίνη Bentl.] σμικρὴν ἢ A. difficile est 'militem salutis reperire opportunitatem, facile autem interitus causam reperiet'. Iacobs. Addit. Ath. 102. *Smicrines* in comoedia nova nomen est senis avari et sordidi. Choric. Apol. mim. (Revue de philol. 1877, 228) τῶν Μενάνδρου πεποιημένων προσώπων . . . Σμικρίνης (ἡμᾶς ἐποίησε) φιλαργύρους, ὁ δεδιὼς μή τι τῶν ἔνδον ὁ καπνὸς οἴχοιτο φέρων, quae ad Ἐπιτρέποντας refert O. Ribb. Agroik. 19 conl. Plaut. Aul. 300. Alciphr. 3, 43, 3 Σμικρίνης ὁ δύστροπος καὶ δύσκολος. Iulian. Caes. 311 a. Misopog. 349 c. cf. fr. 174. Galli *Harpagon*.

77

πολλοὶ γὰρ ἐκλελοιπότες
τὸν χάρακα τὰς κώμας ἐπόρθουν.

Harpocratio χάρακα . . τὸ χαράκωμα ὃ περιεβάλλοντό τινες στρατοπέδῳ ἐπὶ σωτηρίᾳ. Μένανδρος Ἀσπίδι κτλ. eadem om. fabulae nomine Suidas et Zonaras (1841). cf. Miller Mélanges 307. κώμας] πόλεις cod. Milleri.

78

ἔχων τὴν ἀσπίδα
ἔκειτο συντετριμμένην.

Schol. Aristoph. Acharn. 284 τῷ συντρίβειν καὶ Μένανδρος κέχρηται . . . ἐν Ἀσπίδι κτλ. συντρίβειν Mein.] συντριβείῃ. — fr. 77. 8 ex narratione pugnae videntur excerpta esse.

79

Ἑλληνίς, οὐκ Ἰβηρίς

Stephanus Byz. p. 324 Mein. Ἰβηρίαι· ἀπὸ τοῦ Ἴβηρος γενικῆς Ἰβηρὶς τὸ θηλυκόν κτλ. Μένανδρος Ἀσπίδι.

80

βρύειν

Μένανδρος τὸ μεθύειν ἐν τῇ Ἀσπίδι, unde Romani ebrius dicunt. Priscian. 5 p. 193 Hertz.

81

ἔμυξεν

ἐστέναξεν. μέμνηται τῆς λέξεως καὶ Μένανδρος ἐν Ἀσπίδι. Erotian. 67, 12 Klein. cf. Gregor. Cor. p. 563.

82

κανδύταλις

Pollux 10, 137 *ὠνόμασται τῷ κιβωτίῳ παραπλήσιόν τι σκεῦος κανδ., οὗ μέμνηται Μένανδρος ἐν Ἀσπίδι.* cf. Diphil. 40. dubitari vix potest quin etiam Poll. 7, 79 pro *κανδύτανες* scribendum sit *κανδύταλις* (*-άλεις*).

ΑΥΛΗΤΡΙΣ

Cf. *Ἀρρηφόρος ἢ Αὐλητρίς.*

ΑΥΤΟΝ ΠΕΝΘΩΝ

Fortasse homo significatur pro mortuo habitus vel se mortuum esse simulans. *Αὑτὸν* Harpocrat., *Ἑαυτὸν* Stobaeus.

83

τυφλὸν ὁ πλοῦτος, καὶ τυφλοὺς
τοὺς ἐμβλέποντας εἰς ἑαυτὸν δεικνύει.

Stobaeus Floril. 93, 21 *Μενάνδρου Ἑαυτὸν πενθοῦντος* A. 2. *τοὺς ἐμβλέποντας* Bentl.] *ἐμβλέποντες. ἑαυτὸν* idem] *αὑτὸν.* cf. Antiphan. 259. Decimi Laberii e *Restione* fr. 1 confert O. Ribbeck. Com. R. fr.[2] 291 *sic égo fulgentis spléndorem pecúniae | volo élucificare éxitum aetatí meae.*

84

τὸ στεφανοῦν

(i. e. *τιμᾶν*) *ὡς παρὰ . . . Μενάνδρῳ ἐν Αὑτὸν πενθοῦντι.* Harpocrat. 169, 25.

ΑΥΤΟΝ ΤΙΜΩΡΟΥΜΕΝΟΣ

Sic Phot. 70, 25. sed cf. *Ἑαυτὸν Τιμωρούμενος.*

ΑΦΡΟΔΙΣΙΑ

Fortasse *Ἀφροδίσιος* vel etiam *Ἀφροδίσιον*. cf. Antiphanis *Ἀφροδίσιος* et Meinek. I 239. 324.

85

ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
παρὰ τίνι τἀνόητον οὗτος ὄψεται;

Stobaeus Floril. 64, 2 (ψόγος Ἀφροδίτης) *Μενάνδρου Ἀφροδισίων* A. 2. *παρὰ τίνι τὸ ἀνόητον* Grot.] *παρά τινι τἀνόνητον* A.

86

ἐκφυγοῦσα δ' ἣν εἶχεν νόσον
οὐκ ἔσχε τοὺς ῥηθέντας ἀναθέσθαι λόγους.

Suidas *ἀναθέσθαι· τὸ μεταθέσθαι, ἀπὸ τῶν πεττευόντων καὶ τὰς κεκινημένας ἤδη ψήφους διορθούντων . . . Μένανδρος ἐν Ἀφροδισίῳ κτλ.* 'de puella videtur agi quae in morbi delirio dicenda tacenda locuta dicta postea *revocare* (*ἀναθέσθαι*) non posset' Iacobs. not. ms.

87

εἰ τὰς ἀληθείας ἁπλῶς τίς σοι λέγει —

Bekker. Anecd. 376, 4 et Suidas *ἀλήθεια· ἀληθῆ καὶ τὰς ἀληθείας πληθυντικῶς λέγουσι. Μένανδρος Ἀφροδισίῳ κτλ. ἃς ἁπλῶς* ABE Med. Suid. et Bekk. cod.

ΒΟΙΩΤΙΣ

Cf. quae ad cognominem Antiphanis fabulam adnotavimus.

88

οὐ δεῖ διαβολῆς καταφρονεῖν, οὐδ' ἂν σφόδρ' ᾖ
ψευδής· ἐπίσταντ' αὐξάνειν αὐτήν τινες,
δι' οὓς φυλάττεσθαι τὰ τοιαῦτ' ὀρθῶς ἔχει.

Stobaeus Floril. 42, 1 *Μενάνδρου Βοιωτίας* A.

89

πολλὰ δύσκολα
εὕροις ἂν ἐν τοῖς πᾶσιν· ἀλλ' εἰ πλείονα
τὰ συμφέροντ' ἔνεστι, τοῦτο δεῖ σκοπεῖν.

Stobaeus Floril. 108, 42 *Μενάνδρου ἐκ Βοιωτίας* A.

90

πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ' ἐστὶν κακῶν.

Stobaeus Floril. 91, 19 *Μενάνδρου Βοιωτίᾳ* A. *πολλῶν ἐπικάλυμμά ἐστιν ὁ πλοῦτος* Anton. Mel. 222.

91

οὐκ ἔστιν ἐκτεὺς τοῦτο, μὰ τὸν Ἀσκληπιόν.

Erotianus 76, 1 Klein. *ἡμιεκτέον, τὸ ἥμισυ τοῦ ἐκτέως· ἐκτεὺς δὲ λέγεται Ἀττικὸν μέτρον, ἔχον χοίνικας ὀκτώ, ὥς φησι Μένανδρος ἐν Βοιωτίᾳ κτλ. ἐκτεὺς* BC. *τοῦτο* Bentl.] *τουτί·* cf. Aristoph. fr. 640.

92

πεντεκτένους μὲν καὶ περίνησα πορφυρᾶ

Photius 418, 13 *περίνησα· περιβόλαια περιφερῆ καὶ νησοειδῆ, ὅμοια ταῖς ὑπὸ Ῥωμαίων καλουμέναις χλαίναις* (fort. *λαίναις* Mein.). *Μένανδρος Βοιωτίᾳ κτλ.* (*πορφυρά* cod.). idem *πεντέκτενοι· περιπόρφυροι, διὰ τὸ ἐνυφάνθαι παρὰ τὰς ὤας πέντε κτένας πορφυροῦς.* cf. Antiphan. 297.

ΓΕΩΡΓΟΣ

Quintilianus 11, 3, 91 *cum mihi comoedi quoque pessime facere videantur, quod etiamsi iuvenem agant, cum tamen in expositione aut senis sermo, ut in Hydriae prologo, aut mulieris, ut in Georgo, incidit, tremula vel effeminata voce pronuntiant.* Fronto Anthol. Palat. 12, 233 *τὴν ἀκμὴν Θησαυρὸν ἔχειν, κωμῳδέ, νομίζεις οὐκ εἰδὼς αὐτὴν Φάσματος ὀξυτέρην. ποιήσει σ' ὁ χρόνος Μισούμενον, εἶτα Γεωργόν, καὶ τότε μαστεύσεις τὴν Περικειρομένην.* *Gorgiam* fr. 93. 95 eundem esse cum *Gorgia* Luciani Dial. meretr. 8, 1 atque Propert. 5, 2, 21—25 quodammodo ex Menandrea fabula fluxisse putat Meinekius (Men. rel. p. 139). de *persona* Georgi cf. O. Ribbeck. Agroik. 10.

93

εὐκαταφρόνητόν ἐστι, Γοργία, πένης,
κἂν πάνυ λέγῃ δίκαια· τούτου γὰρ λέγειν
ἕνεκα μόνου νομίζεθ' οὗτος, τοῦ λαβεῖν.
καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον
ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ.

Stobaeus Floril. 96, 5 *Μενάνδρου Γεωργῷ* A. 2. sic coniungenda sunt verba *οὗτος γὰρ λέγειν νομίζεται τούτου μόνου ἕνεκα, τοῦ λαβεῖν.*

94

ὁ δ' ἠδικηκὼς ὅστις ἔσθ' οὗτός ποτε
τὴν ὑμετέραν πενίαν, κακοδαίμων ἔσθ', ὅτι
τοῦτ' ἠδίκηκεν, οὗ τυχὸν μεταλήψεται.
εἰ καὶ σφόδρ' εὐπορεῖ γάρ, ἀβεβαίως τρυφᾷ·
τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ.

Stobaeus Floril. 105, 28 *Μενάνδρου Γεωργῷ* A. v. 5 Etymol. m. 685, 38 *Μένανδρός φησι κτλ.* Schol. Sophoclis Oed. T. 1191. Cramer. Anecd. Ox. I 333, 32. Schol. Ven. Hom. Il. 4, 396 (IIII 383, 30 Dind.). 2. *ἡμετέραν* Voss. 3. *τυχὼν* N. 4. *εὖ ποιεῖ* Ars.

95

οὗτος κράτιστός ἐστ' ἀνήρ, ὦ Γοργία,
ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίστατ' ἐγκρατῶς·
τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν
δεῖγμ' ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας.

Orion Anthologn. 7, 9 *τοῦ αὐτοῦ*, lemma *ἐκ τοῦ Γεωργοῦ*, falso adscriptum ad 7, 8 quod est fr. Men. 179, pertinet ad 7, 9. v. 1. 2 Stobaeus Flor. 5, 1 *Μενάνδρου Γεωργῶν* A. v. 3. 4 Stobaeus Flor. 20, 22 *τοῦ αὐτοῦ* (*Μενάνδρου*) A. — 2. *ἐπίσταται βροτῶν* Stob. *ἀδικεῖσθαι* '*iniurias ferre*'. Mein.

96

ἀγρὸν εὐσεβέστερον γεωργεῖν οὐδένα
οἶμαι· φέρει γὰρ ὅσα θεοῖς ἄνθη καλά,
κιττόν, δάφνην· κριθὰς δ' ἐὰν σπείρω, πάνυ
δίκαιος ὢν ἀπέδωχ' ὅσας ἂν καταβάλω.

Stobaeus Floril. 57, 5 *Μενάνδρου Γεωργοῦ* A. Pollux 1, 227 *Μένανδρος δίκαιον γήδιον καλεῖ τὸ μηδὲν πλέον τοῦ σπέρματος ἐκφέρον.* Quintilian 12, 10, 25 *si quod . . . uberius invenerint solum fertilioremve segetem, negaturos* (existimo) *Atticam esse, quod plus quam acceperit seminis reddat; quia hanc eius terrae fidem Menander cludit.* 2. *ὡς θεοῖς* Grot. 3. *ἐὰν* Grot.] *ἂν* AB. 4. *δίκαιος ὢν* Zedel. Magaz. f. Schul. II 359] *δικαίως*. *ἀπέδωκ'* codices. *ὅσας* Porson. App. Toup. 435] *ὅσα*. — praeivit quodammodo Xenoph. Cyrop. 8, 3, 38 *μικρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δικαιότατον· ὅ τι γὰρ λάβοι σπέρμα καλῶς καὶ δικαίως ἀπεδίδου.* cf. fr. 899.

97

εἰμὶ μὲν ἄγροικος, καὐτὸς οὐκ ἄλλως ἐρῶ,
καὶ τῶν κατ' ἄστυ πραγμάτων οὐ παντελῶς
ἔμπειρος, ὁ δὲ χρόνος τί μ' εἰδέναι ποιεῖ
πλέον.

Orion Antholognom. 1, 19 *ἐκ τοῦ Γεωργοῦ. ἄλλως* Schneidewin.] *ἄλλος. ἐρῶ*] *λέγω* Cobet. N. l. 73 conl. Rhes. 271. utrumque recte dici potuisse existimo.

98

βουβὼν ἐπήρθη τῷ γέροντι, θέρμα τε
ἐπέλαβεν αὐτόν.

Zonaras 1030 *θέρμη καὶ θέρμα . . . Μένανδρος κτλ.* Etymol. m. 206, 57 *Μένανδρος ἐν τῷ Γεωργῷ οἷον βουβὼν — γέροντι.* eadem om. fabulae nomine Suidas *βουβών.* Phrynich. Epit. 331 *θέρμα· οὕτως ὁ Μένανδρος, διὰ τοῦ ᾱ, ἀλλ' οὔτε Θουκυδίδης οὔθ' ἡ ἀρχαία κωμῳδία, οὔτε Πλάτων, θέρμη δέ,* ubi cf. Lobeck. — Aelian. Ep. 2 *φελλεῖ ἐπέκοψε τὸ σκέλος πάνυ ἰσχυρῶς, καὶ θέρμη ἐπέλαβεν αὐτὸ καὶ βουβὼν ἐπήρθη.* quae tam manifesto ex Menandro arrepta sunt ut dubitem an etiam priora poetae sint reddenda: *φελλεῖ 'πέκοψε τὸ σκέλος ἰσχυρῶς πάνυ· βουβὼν δ' ἐπ. κτλ.* de nomine *φελλεύς* egregia est disputatio Sauppii Epist. crit. 59 sq.

99

ἦν δ' οὐ πονηρὸς οὐδ' ἐδόκουν.

Bekker. Anecd. 1380. Cramer. Anecd. Ox. IIII 363, 24 *ἔχομεν τὴν χρῆσιν τοῦ ʽἦν ἐγώ' παρὰ Ἀριστοφάνει . . . καὶ παρὰ Μενάνδρῳ ἐν τῷ Γεωργῷ κτλ.* cf. quae ad Arist. Av. 97 adnotavimus.

100

ἐμβεβρόντησαι; γελοῖον, ὃς κόρης ἐλευθέρας
εἰς ἔρωθ' ἥκων σιωπᾷς καὶ μάτην ποθουμένους
περιορᾷς γάμους σεαυτῷ.

Maximus Planudes Walz. Rhet. V 525 *παρὰ τῷ Μενάνδρῳ ἐν Γεωργῷ κτλ.* 2. *ἔρωθ'*] *ἕωθ'* Io. Sicel. cod. Vind. *καὶ*] *ὡς* Sicel. *ποθουμένους* Mein.] *ποθουμένης* Sicel., omissis reliquis. *ποιουμένους* ceteri. *πονουμένους* Heringa.

101

Schol. Aristoph. Plut. 652 *ἀκριβῶς δεδήλωκεν ὅτι ἐπὶ κακῷ ἔλεγον οἱ Ἀθηναῖοι τὰ πράγματα, καὶ Μένανδρος δὲ ἐν Γεωργῷ ἐν*

πράγμασιν, ἐν μάχαις. postrema *καὶ Μένανδρος — μάχαις* omittunt Rav. et Ven. Suid. *πράγματα· ἐπὶ κακῷ χρῶνται τῇ λέξει οἱ παλαιοί.* haec *ἐν μάχαις* scholiastae, non poetae esse suspicatur Dobr. Adv. II 272.

Praeterea cf. 179 et adesp. 347.

ΔΑΚΤΥΛΙΟΣ

Sic inscriptae fuerunt etiam Amphidis, Alexidis, Timoclis fabulae. U. Koehler I. A. n. 992 *Δακτ[ύ]-[λιος]*. cf. H. Haupt. Ann. Fleckeis. 1876, 671.

102

τίς γὰρ οὑτοσὶ κακοδαίμων ἔφυ,
ὃς οὐκ ἂν ἐκδοίη θυγατέρας ἄσμενος,
καὶ ταῦτα πεντήκοντα παιδίσκας ἔχων.

Ammonius 110 *παιδίσκη καὶ παῖς διαφέρει· παιδίσκη μὲν γὰρ ἡ ἐλευθέρα παρ' Ἀττικοῖς, παῖς δὲ ἡ δούλη. Μένανδρος ἐν Δακτυλίῳ ἐπὶ τοῦ Δαναοῦ κτλ.* poetae verba ad codicum Marcianorum fidem quos contulit Cobetus exhibui. 1. *τίς γὰρ* non in omnibus. alii *οὕτως ὁ* pro *οὑτοσί. ἔφυ*] Ald. et cod.?] *ἔφη*. 2. *θυγατέρ' ἂν* Pauw. *ἐπὶ τοῦ Δαναοῦ* egregie Cobet N. l. 43] *ἐπὶ τοῦ δάν* et *ἐπὶ τοῦ δάου* cod. Marc., alii *ἐπὶ τοῦδε δ' αὖθ', ἐπὶ τοῦδ' αὖθις, τοῦδ' ἄν τις.* de emendando certa ratione v. 1 Cobetus desperavit. fortasse *τίς γάρ ποθ' οὕτως ὡς σὺ κακοδαίμων ἔφυ.* quo recepto nequaquam sequitur Danai in hac fabula partes fuisse. *σύ* enim altera persona est quam adpellat qui loquitur. 3. tangit Eurip. fr. 230, 1 N. *Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ.* — 'sic demum adparebat *παιδίσκας* dici *τὰς ἐλευθέρας*, quoniam Danaus dicebatur *πεντήκοντα παιδίσκας ἔχειν*, quod facete dictum pro *θυγατέρας.*' Cobet. vulgo enim *παιδίσκη ἡ θεράπαινα.* Suid. cf. 338.

103

οἰκόσιτον νυμφίον
οὐδὲν δεόμενον προικὸς ἐξευρήκαμεν.

Athenaeus 6, 247 f *καλεῖται οἰκόσιτος ὁ μὴ μισθοῦ ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν . . . Μένανδρος Δακτυλίῳ κτλ. Δακτυλίῳ* Casaub.] *δακτύλωι* A. — cf. Antiphan. 200. Anaxandr. 24. Anaxil. 39.

104

ἀνεμιαῖον ἐγένετο

Photius et Suidas *ὑπηνέμια· Μένανδρος Δακτυλίῳ κτλ. ἐγίνετο* cod. Phot. — addit Suid. *τὰ δίχα σπέρματος ἄρρενος.* cf. Arar. 6.

105

αὐτολήκυθοι

τὸ ὄνομα παρὰ Μενάνδρῳ ἐν . . . Δακτυλίῳ. Harpocrat. cf. Antiphan. 16.

ΔΑΡΔΑΝΟΣ

De *Dardano* Iovis filio non videtur cogitari posse, siquidem argumentis mythicis Menander abstinuit: cui sententiae nequaquam repugnant *Leucadia, Pseudheracles, Trophonius.* neque vero adfirmaverim ad Illyricam illam gentem titulum referendum esse, cui *Δαρδανεῖς* vel *Δαρδάνιοι* apud Graecos, *Dardani* apud Romanos nomen fuit, et de qua multa iocose antiquitus narrabantur. cf. Nicol. Stob. Flor. 5, 51. Aelian. V. h. 4, 1. Mant. prov. 3, 27. — ceterum *Dardanus* fuit etiam Caecilii Statii. O. Ribbeck. Com. R. fr.[2] 39.

106

καὶ λαιμὰ βακχεύει λαβὼν τὰ χρήματα.

Schol. Aristoph. Av. 1563 (non est in Ven.) *παραπεποίηκε (τὸ λαῖμα) παρὰ τὸ λαιμόν. ἔστι καὶ παρὰ Μενάνδρῳ ἐν Δαρδάνῳ κτλ... ἔτι μέντοι τῶν περὶ τὴν Ἀσίαν τινὲς ἐπὶ τῶν ἀναιδῶν καὶ εὐτόλμων οὕτω λέγουσιν. ὅπερ συμφωνότερόν ἐστι τῷ παρὰ Μενάνδρῳ. λαιμὰ* Bentl.] *λῆμα* R, *λαῖμα* reliqui.

107

Δρία παῖ, δειπνοποιεῖσθαι τί δεῖ;

Menander in Dardano παῖ Δρία dixit pro Δρίαν Priscian. 6, 5, 4. codicum varietas quamvis copiosa ap. Hertzium, ad nostrum consilium inutilis. *Δρία, Δρία κτλ.* Spengel. Caecil. Stat. 5 conl. Philem. 125. *Δρύα* Hertz.

108

Erotianus 74, 11 Klein. *ἡδύσμασι· τοῖς χλωροῖς καὶ ξηροῖς ἀρτύμασιν. Ἀττικὴ δὲ ἡ λέξις . . . Μένανδρος ἐν Δαρδάνῳ.* cf. Eupol. 145.

Praeterea cf. fr. 354.

ΔΕΙΣΙΔΑΙΜΩΝ

Porphyr. Euseb. Praep. ev. 10, 3, 13 *Καικίλιος ὥς τι μέγα πεφωρακὼς ὅλον δρᾶμα ἐξ ἀρχῆς εἰς τέλος Ἀντιφάνους τὸν Οἰωνιστὴν μεταγράψαι φησὶ τὸν Μένανδρον εἰς τὸν Δεισιδαίμονα.* qua de re dixerunt Mein. I 32. 338. Cobet. Plat. 77. 8. cf. quae ad Antiphanis *Οἰωνιστὴν* adnotavimus. multa ex Menandrea fabula Plutarchum transtulisse in suum De superstitione libellum monuit Meinekius. cf. Alciphr. Ep. 2, 4, 6.

109

ἀγαθόν τί μοι γένοιτο, πολύτιμοι θεοί·
ὑποδούμενος τὸν ἱμάντα γὰρ τῆς δεξιᾶς
ἐμβάδος ἀπέρρηξ'. Β. εἰκότως, ὦ φλήναφε·
σαπρὸς γὰρ ἦν, σὺ δὲ μικρολόγος ἄρ' οὐ θέλων
καινὰς πρίασθαι.

Clemens Alex. Strom. 7, 4, 24 *τοιοῦτόν τινα ἐν τῷ Δεισιδαίμονι ὁ Μένανδρος διακωμῳδεῖ κτλ.* Theodoretus Affect. gr. cur. 6, 88, 5 (238 Gaisf.) *ὁ Μένανδρος ἐν Δεισιδαίμονι παραπλησίως τοὺς τὰ τοιαῦτα παρατηροῦντας γελᾷ λέγων ὡδί κτλ.* Cramer. Anecd. Par. IIII 251. 1. *πολύτιμοι* Sylburg.] *ὦ πολυτίμητοι. ἀγαθόν τί μοι| γένοιτο. Β. τί δ' ἔστιν; Α. ὦ πολυτίμητοι θεοί* Cobet. N. l. 56. 7. 2. *γὰρ* add. Mein. 3. *ἀπέρρηξ'* Mein.] *διέρρηξ'* (*διέρρηξα*). 4. *σαθρὸς* Cobet. *σμικρολόγος* Theodoret. *ἄρ' οὐ θέλων* Mein.] *οὐκ ἐθέλων. οὐ θέλων καινὸν* Grot. — de discrimine quod est inter *πολύτιμος* et *πολυτίμητος* cf. Arist. Av. 667. Ran. 337 cum interpr.

110

οὐ δεῖ γὰρ ἀδικεῖν οἰκέτας, ἄλλως τε καὶ
ὅταν μετ' εὐνοίας τι μὴ πονηρίᾳ
πταίσωσιν· αἰσχρόν ἐστι τοῦτο γὰρ πάνυ.

Stobaeus Floril. 9, 11 *Μενάνδρου Δεισιδαίμονι* A. *οἰκέτας* Cobet. N. l. 40] *τοὺς οἰκέτας* A Trinc., *τοὺς ἱκέτας* ceteri. 2. *εὐνοίας*] *ἐννοίας* A. *ἀγνοίας* Pflugk. Sched. crit. 19. *πονηρίᾳ* Bentl.] *πονηρᾶς* A. 3. *τοῦτο γάρ ἐστιν πάνυ* cod. transposuit Dobr.

111

καὶ τυφλῷ δῆλον

. . . *μέμνηται ταύτης καὶ Μένανδρος Δεισιδαίμονι.* Schol. Platon. 372 Bekk.

112

ὀλόλους

τοὺς δεισιδαίμονας ἐκάλουν οἰωνιζόμενοι. Μένανδρος Δεισιδαίμονι Photius. cf. Theopomp. com. 61.

Praeterea cf. 530. 544. adesp. 105.

ΔΗΜΙΟΥΡΓΟΣ

Schol. Arist. Eq. 650 (et Suid. *δημιουργούς*) *δημιουργοὺς ἐκάλουν καὶ τὰς νῦν λεγομένας ὑπονυμφίδας, τουτέστι τὴν παρεστῶσαν*

τῇ νύμφῃ γυναῖκα. ὅθεν ἔστι καὶ Μενάνδρῳ Δημιουργός. Pollux 3, 41 ἡ διοικουμένη τὰ περὶ τὸν γάμον γυνὴ νυμφεύτρια, .. ἡ δὲ τὰ πέμματα μάττουσα καὶ τὰ περὶ τὰς θυσίας διοικουμένη δημιουργός. cf. fr. 113. *Demiurgus* fuit Sexti Turpilii. O. Ribbeck. Com. R. fr.[2] 89.

113

τί τοῦτο, παῖ; διακονικῶς γὰρ νὴ Δία
προελήλυθας. Β. ναί· πλάττομεν γὰρ πλάσματα,
τὴν νύκτα τ' ἠγρυπνήκαμεν· καὶ νῦν ἔτι
ἀποίητα πάμπολλ' ἐστὶν ἡμῖν.

Athenaeus 4, 172 c ὅτι ἐκεχώριστο τὰ τῆς ὑπουργίας, πεμμάτων μὲν προνοουσῶν τῶν δημιουργῶν, ὀψαρτυτικῆς δὲ μαγείρων, διεσάφησεν ... Μένανδρος Δημιουργῷ κτλ. 2. πλάσματα] 'forsitan πέμματα'. Mein. cf. tamen Lobeck. Paralip. 504. — 'sunt ipsius δημιουργοῦ verba'. Mein.

114

μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει·
χρῆται γὰρ οὗτος εἰς ἃ δεῖ ταύτῃ καλῶς.

Stobaeus Floril. 103, 7 Μενάνδρου Δημιουργοῦ Α. Antonius Mel. 111 p. 221. v. 1 Plutarchus Mor. 34 c τοῦ Μενάνδρου λέγοντος κτλ. monost. 340. Maxim. Conf. 12, 35 p. 571 Combefis. duobus versibus auctum idem fragmentum Stob. Flor. 94, 7 Μενάνδρου Μηναγύρτῃ Α. scilicet 94, 7 'librarius lemma tertio et quarto versui adponendum primo et secundo adscripsit.' Mein. — 2. ταύτῃ, τῇ οὐσίᾳ. ταῦτα Max. Conf. — cf. Sext. Turpil. fr. 3 (p. 89. 90 Ribb.).

115

βίος

ἐπὶ [συν]ουσίας . . . Μένανδρος Δημιουργῷ. Bekker. Anecd. 83, 31.

116

ληνόν

Μένανδρος ἐν Δημιουργῷ . . εἴρηκε τὴν κάρδοπον. Pollux 10, 102. idem 7, 22 τὸ ἀγγεῖον μαγίς καὶ μάκτρα καὶ σκάφη καὶ παρὰ Μενάνδρῳ ληνός. et 7, 179 Μένανδρος δὲ τὴν κάρδοπον καὶ ληνὸν κέκληκεν.

ΔΙΔΥΜΑΙ

117. 118

συμπεριπατήσεις γὰρ τρίβων᾿ ἔχουσ᾿ ἐμοί,
ὥσπερ Κράτητι τῷ κυνικῷ ποθ᾿ ἡ γυνή.
. . . .
καὶ θυγατέρ᾿ ἐξέδωκ᾿ ἐκεῖνος, ὡς ἔφη
αὐτός, ἐπὶ πείρᾳ δοὺς τριάκονθ᾿ ἡμέρας.

Diogenes Laert. 6, 93 *μέμνηται αὐτοῦ* (*Κράτητος*) *καὶ Μένανδρος ἐν Διδύμαις οὕτως κτλ.* sic in Diogenis ed. Cobet. (cf. eiusdem N. l. 42), nisi quod levius interpungens post *γυνή* in unum haec, Grotium secutus, fragmentum coniunxit.

119. 120

ὄρνεις φέρων ἐλήλυθα.
ὄρνιθας ἀποστέλλει.

Athenaeus 9, 373 d *Μένανδρος Διδύμαις* (fr. 119) *καὶ ἑξῆς* (fr. 120). 119 *ὄρνις* Mein. Anal. Ath. 164. *διδυμίαις* A. postrema ex anapaestis excerpta esse conicit Mein.

121

Harpocratio 127, 9 *Μένανδρος ἐν Διδύμαις πρὸς ταῖς δώδεκα δραχμαῖς καὶ τριώβολόν φησι τούτους* (*τοὺς μετοίκους*) *τελεῖν.* cf. fr. 35.

122

Harpocrat. 156, 17 *Ποταμὸς δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης Ποτάμιος. ἐκωμῳδοῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράπτους, ὡς ἄλλοι τε δηλοῦσι καὶ Μένανδρος ἐν Διδύμαις.*

ΔΙΣ ΕΞΑΠΑΤΩΝ

I. e. servus dominum bis eodem die decipiens. Martial. 14, 214 *Pueri comoedi. non erit in turba quisquam Μισούμενος ista: sed poterit quivis esse Δὶς ἐξαπατῶν.* ex hac fabula *Bacchides* Plauti expressam esse demonstravit Ritschl. Parerg. 405. cf. Fritzsch. Advers. I (Rost. 1870) 10. 11.

123

βουληφόρως
τὴν ἡμετέραν, ὦ Δημέα, προκατέλαβες
ὄρασιν.

Fulgentius Mythol. 3, 1 p. 199 *Menander .. in Disexapatonte comoedia ita ait* κτλ. *id est: consiliarie nostram, Demea, praeoccupavisti visionem.* '*prudentia tua antevenisti visum nostrum:* consilio tuo effugimus mala inminentia, priusquam viderimus'. Bentl. cf. Ritschl. Op. II 342. 3.

124

ἐμοὶ παράστα· τὴν θύραν κόψας ἐγὼ
καλῶ τιν' αὐτῶν.

Bekker. Anecd. 436, 14 et Suidas *ἀπόστα. οὐ μόνον ἀπόστηθι λέγουσιν, ἀλλὰ καὶ ἀπόστα ... Μένανδρος Δὶς ἐξαπατῶντι κτλ.* 2. *καλῶς τιν' αὐτόν* cod. Bekk. — cf. fr. 170.

125

ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος.

Stobaeus Floril. 120, 8 *Μενάνδρου Δὶς ἐξαπατῶντος* A. Plutarchus Mor. 119 e *προσμαρτυρήσας τῷ καλῶς ὑπὸ Μενάνδρου ῥηθέντι τούτῳ κτλ.* Clemens Alex. Str. 6, 2, 17 *Μένανδρος πεποίηκεν κτλ.* Schol. Hom. Odyss. 15, 246. Eustath. 1781, 2 *Μένανδρος ... δοξάζων σύμβολον θεοφιλοῦς εἶναι τὸ (μὴ) καταγηρᾶν φησι κτλ.* mon. 425. Plautus Bacch. 4, 7, 18 *quem di díligunt | adoléscens moritur.*

126

οὐ Μεγάβυζος ἦν,
ὅστις γένοιτο ζάκορος.

Stobaeus Floril. 106, 8 *Μενάνδρου Θεοφορουμένου* (sic) A. v. 2 Sueton. Vesp. 23 *de Cerylo liberto, qui dives admodum, ob subterfugiendum quandoque ius fisci, ingenuum se et Lachetem mutato nomine coeperat ferre:* ὦ Λάχης, Λάχης (Men. fr. 921), ἐπὰν ἀποθάνῃς, αὖθις ἐξ ἀρχῆς ἔσει κηρύλος. v. 16. 17 Schol. Eurip. Hipp. 426 ὁ βίος ἥδεται τοῖς πονηροῖς, ὡς Μένανδρος κτλ. v. 16 Athenaeus 6, 248 d πράττει γὰρ πάντων ὁ κόλαξ ἄριστα, ὁ καλὸς εἶπεν Μένανδρος. v. 18. 19 Plutarch. Mor. 739 f πολλάκις παρίσταται καὶ τὰ τοῦ κωμικοῦ γέροντος (i. e. Κράτωνος) κτλ.

1. Κράτων Gesner.] κρατῶν. Κρίτων vel Στράτων Valck. 4. δὶς β. A]διαβ. 5. αἱροῦ καὶ ἕλου A. 11. εἶ] ᾖ (non ᾗ) A. 13. ὁ δ'] οὐδ' A. 14. ἐὰν ᾖ ἄνθρωπος χρηστὸς A. ἂν δ' ᾖ Mein. 16. δεύτερος συκ. A Schol. Eur. 17. τὰ τρίτ' ἔχει cod. Caes. et Vind. Stob. τρίτος λέγεται A Schol. Eur. τρίτατος (sine λέγ.) B I.

12. scr. ἐν προτέρᾳ τροφῇ. nam non solum *aliter,* sed *melius* alitur. cf. Plat. Lach. 183 b προτέρους πρὸς τὰ τοῦ πολέμου et ad fr. 474 H. Iacobi. 13. de forma ἀγεννής cf. Heind. Plat. Charmid. 158 c. Schneider. Plat. Reip. 7, 529 a (ἀγεννῶς). Plat. com. 46, 6. 17. τὰ δεύτερα λέγειν 484, τὰ πρῶτα λ. Strattid. 1.

224

καὶ ταχὺ
πάλιν τὸ πρῶτον περισοβεῖ ποτήριον
αὐτοῖς ἀκράτου.

Athenaeus 11, 504 a *Μενάνδρου . . . πάλιν ἐκ Θεοφορουμένης* κτλ. 1. καὶ] παῖ Toeppel. Progr. Neobr. 1857, 13. deleto v. 2 πάλιν (πάλι A), quod ex Athenaei verbis (πάλιν ἐκ Θεοφ.) inepte repetitum censet, Cobetus N. 75 καὶ ταχὺ τὸ πρῶτον περισόβει π. 'quae domini verba sunt ad servulum'. paullo ante Athenaeus

ipse *ἔδωκε τῷ παιδὶ περισοβεῖν ἐν κύκλῳ κελεύσας.* et 4, 130 c *περισοβεῖν ἐκέλευε τοῖς παισίν.* cf. Amphid. 18. an *πάλιν ὡς τὸ πρῶτον κτλ.*?

225

ὁ πλεῖστον νοῦν ἔχων
μάντις τ' ἄριστός ἐστι σύμβουλός θ' ἅμα.

Stobaeus Floril. 3, 6 *Μενάνδρου Θεοφορουμένῳ* A. 2. *τ'* add. Salvin. — hic quoque Menander Euripidem imitatur fr. 963 N. *μάντις δ' ἄριστος ὅστις εἰκάζει καλῶς.* Cic. De div. 2, 5, 12 *bene qui coniciet, vátem hunc perhibeto óptimum.* Eurip. Hel. 757 *γνώμη δ' ἀρίστη μάντις* (Mein.).

226

μέσως μεθύων τὴν Θηρίκλειον ἔσπασεν.

Athenaeus 11, 472 b *θηλυκῶς δὲ τὴν Θηρίκλειον εἶπε Μένανδρος ἐν Θεοφορουμένῃ κτλ.* *τὴν* add. Schweigh. recte: nam sic demum Menandrum feminino genere usum esse adparet. *θηρικλείαν* Mein. V 103. cf. fr. 324. *μέσως* corruptum videtur. fort. *μεστὴν.*

227

ἀπὸ μηχανῆς θεὸς ἐπεφάνης.

ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ' ὠφελείᾳ καὶ σωτηρίᾳ φαινομένων ... Μένανδρος Θεοφορουμένῃ. Schol. Plat. 394 Bekk. cf. Creuzer. Plotin. De pulchrit. p. 534. fortasse *ἀπὸ μηχανῆς θεὸς | ἡμῖν ἐπεφ.* cf. fr. 278.

228

δεύτερος πλοῦς

παροιμία ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων, παρόσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλῶς παρασκευάζονται τὸν δεύτερον ... Μένανδρος ... Θεοφορουμένῃ. Schol. Plat. 381 Bekk. Aristot. Eth. Nicom. 2, 9 (1109 a 34) *ἐπεὶ οὖν τοῦ μέσου τυχεῖν ἄκρως χαλεπόν, κατὰ τὸν δεύτερον, φασί, πλοῦν τὰ ἐλάχιστα ληπτέον τῶν κακῶν.* cf. Polit. 3, 13 (1284 b 19). Suid. *δεύτερος πλοῦς· ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλεῖ.* cf. fr. 241 et Heindorf. Plat. Phaed. 99 b.

ΘΕΤΤΑΛΗ

Plinius N. h. 30, 6. 7 *nec quisquam dixit ... quando* (ars magica) *transisset* ad *Thessalas matres ... miror equidem Achillis populis famam eius in tantum adhaesisse, ut Menander quoque...*

Thessalam cognominaret fabulam, complexam ambages feminarum detrahentium lunam. cf. Arist. Nub. 749. Plat. Gorg. 513 a cum eis quae adn. Heindorf. Hor. Epod. 5, 45. 8. Verg. Buc. 8, 69. Ovid. Met. 7, 207 sq. — de accentu Herodian. I 321, 12. II 4, 39 (Steph. Byz. *Θεσσαλία* p. 311, 1 Mein.) *τὸ Θεττάλη δρᾶμα Μενάνδρου βαρύνεται παρὰ Ἀττικοῖς εἰς ἰδιότητα τεθέν.* i. e. 'cum e communi significatione in rei certae proprietatem' concesserit, 'diversitate accentus separatur.' Gellius 17, 3 extr.

229

καὶ τὸ κεράμιον
ἀνέῳχας· ὄζεις, ἱερόσυλ', οἴνου πολύ.

Bekker. Anecd. 399, 24 *ἀνέῳγεν, οὐχὶ ἤνοιγε, καὶ ἀνεῴγετο λέγουσι . . . Θετταλῇ κτλ.* Suidas *ἀνεῴγεισαν . . . Θετταλῇ· καὶ τὸ κεράμιον ἀνέῳγεν* (*ἀνέωχεν* AC). Zonaras 213 *ἀνέῳγα . . . καὶ ἐν Θετταλοῖς· τὸ κεράμιον ἀνέῳκται.* Cram. Anecd. Par. IIII 113, 29 *ἐν Θετταλίᾳ* et *ἀνέῳχας.* ex *Menandri Thessala* haec excerpta esse omnibus constat. confert O. Ribbeck. Com. R.[2] 216 L. Afranii fr. 14 (3) *ex óre mi oculis tuí bibiones ínvolant.* bibiones sunt *vermiculi vinum super natantes.*

230

μικρά γε πρόφασίς ἐστι τοῦ πρᾶξαι κακῶς.

Stobaeus Floril. 4, 40 *Μενάνδρου Θετταλή* A. *γε* om. Voss.

231

εὐθυμία βίε τὸν δοῦλον τρέφει.

Stobaeus Floril. 62, 31 *Μενάνδρου Θεττάλῃ* A. *βί*[ε] A. *βέλτιστε* Gaisf. *τοι Τίβιε* Bentl. cf. Leucon. 3. Menand. 1075. emendatio, cum multa nomina in *βιος* exeant, admodum dubia. *στρέφει* A.

232

ἔλυσ' ἐμαυτόν, εἶτ' ἀπέδραν μόνος.

Zonaras 274 *ἀπέδραν καὶ ἀπέδρα χρὴ λέγειν, οὐχὶ ἀπέδρασα καὶ ἀπέδρασεν. ἔλυσ' ἐμαυτόν κτλ.* Bekker. Anecd. 420, 1 *Μένανδρος Θετταλοῖς· εἶτ' ἀπέδραν μόνος.* Suidas *ἀπέδρα· καὶ τὸ πρῶτον πρόσωπον ἀπέδραν . . . Μένανδρος Θεττάλῃ* (*Θετταλεῦσιν* AB Med. *Θετταλέσιν* E) *εἶτ' ἀπέδραν* (sic ABE) *μόνος.* — *μόλις μόνος* Naber. Mnem. nov. VIII 416. *ἔλυσ' ἐμαυτὸν αὐτὸς* O. Hense Lect. Stob. 20 adn. at semper quod sciam *αὐτὸς ἐμαυτόν,*

ut etiam ad quem provocat Eurip. Bacch. 614. ac fortasse initio excidit *δεσμῶν* vel aliquid simile.

233

ὁλόκληρος οὗτός σοι, ξένε.

Photius *ὁλόκληρος· οἱ ἄρχοντες ἐδοκιμάζοντο εἰ ὁλόκληροί εἰσιν· Μένανδρος Θετταλῇ κτλ.*

234

λυχνοκαΐαν

εἴρηκεν ... Μένανδρος ἐν Θετταλῇ. Pollux 10, 115. cf. Cratin. 227 (cum supplem.). ex cod. Laurentiano Pollucis Maassius Herm. XV 619 *Μένανδρος δὲ ἐν Θετταλῇ λύχνων ἁφάς. περὶ λύχνων ἁφάς* Herodot. 7, 215.

ΘΗΣΑΥΡΟΣ

Terentius Eunuch. prol. 9 *idém* (Luscius Lavinius) *Menandri Phásma nunc nupér dedit atque ín Thensauro scrípsit* cet., ubi Donatus argumentum fabulae Luscii sic exponit: *adulescens, qui rem familiarem ad nequitiam prodegerat, servum mittit ad patris monumentum, quod senex sibi vivus magnis opibus adparaverat, ut id aperiret inlaturus epulas, quas pater post annum decimum caverat sibi inferri. sed eum agrum, in quo monumentum erat, senex quidam avarus ab adulescente emerat. servus ad aperiendum monumentum auxilio usus senis, thesaurum cum epistula ibidem reperit. senex thesaurum, tamquam a se per tumultum hostilem illic defossum, retinet et sibi vindicat. adulescens iudicem capit: apud quem prior senex, qui aurum retinet, causam suam sic agit: 'Athenienses, bellum cum Rhodiensibus quod fuerit, quid ego hic praedicem?' et cetera, quae contra naturam iurisque consuetudinem posita argumenta notat Terentius.* videtur autem Luscius 'si summam rei spectes, Menandreae fabulae ordinem retinuisse'. Mein. Fronto Anthol. Pal. 12, 233 *τὴν ἀκμὴν Θησαυρὸν ἔχειν, κωμῳδέ, νομίζεις, οὐκ εἰδὼς αὐτὴν Φάσματος ὀξυτέρην.* — bellum illud Rhodiensium contra Athenienses, quod apud Donatum commemoratur, idem esse cum bello Antigonum inter et Cassandrum gesto 315—312 a. Chr. (Diodor. 19, 77. Droysen. Hellenism. II² 33 sq.) et Menandri *Thesaurum* actam esse inter 310 et 308 a. Chr. arbitratur Dziatzko Ann. Fleckeisen. 1880, 811. 12.

235

εἶτ' οὐ μέγιστός ἐστι τῶν θεῶν Ἔρως
καὶ τιμιώτατός γε τῶν πάντων πολύ;

οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
ἄνθρωπος οὐδ᾽ οὕτως ἀκριβὴς τοὺς τρόπους,
ὃς οὐχὶ τούτῳ μερίδα τῷ θεῷ νέμει
τῆς οὐσίας· ὅσοις μὲν οὖν πράως ἔχει,
νέοις ἔτ᾽ οὖσι τοῦτο προστάττει ποιεῖν·
οἱ δ᾽ εἰς τὸ γῆρας ἀναβολὰς ποιούμενοι,
οὗτοι προσαποτίνουσι τοῦ χρόνου τόκους.

Stobaeus Floril. 63, 13. 14. 13 (v. 1—5) *Ἀλέξιδος* A (perperam coniuncti cum Alexidis fr. 289). 14 (v. 6 sq.) *Μενάνδρου Θησαυρῶν* A. versus 1—5 quoque Menandri esse demonstravit Tyrwhittus apud Gaisford.

1. *οὐ* Arsen. Viol. p. 101] *οὖν*. 2. *γε* om. A. 5. *τῶν θεῶν* A. 6. *ὅσοις* om. A. *ἔχε* A. 7. *ἔτ᾽ οὖσι* B] *αἰτοῦσι*. *προστάττει* AB] *προστάττειν*. 9. *τοῦ χρόνου* AB] *ὡραίους*. in hoc *ἀωρίας* latere putabat Bentl.

4. Toeppelius Progr. Neobr. 1857, 14 confert Plut. Cat. mai. 3 *ὡς οὐδὲν δέοιτο ταμίου λίαν ἀκριβοῦς* (nos *genau*). 9. *τοῦ χρόνου*, i. e. *morae usuras, Verzugszinsen*. nihil agit Hirschig. Ann. crit. 21.

236

ὅταν δ᾽ ἐρῶντος τόλμαν ἀφέλῃς οἴχεται,
εἰς τοὺς ἰαλέμους τε τοῦτον ἔγγραφε.

Stobaeus Floril. 64, 18 *τοῦ αὐτοῦ* (*Μενάνδρου* 17) *Θησαυρῷ* A. 2. *ἔγγραφε* B Arsen.] *ἔγραφε*. *ἰαλέμους*, cf. quae ad Amphidis *Ἰάλεμον* adnotantur II 241. Maxim. Planud. Walz. Rhet. V 541, 8 *ὁ ἰάλεμος εἶδός ἐστι θρήνου. τοὺς ἀξίους οὖν ἐλέου διὰ τὴν ἀμαθίαν ὁμωνύμως ἰαλέμους ἐκάλεσεν* (*Ἑρμογένης*).

237

πολλοῖς ὑπέκκαυμ᾽ ἐστ᾽ ἔρωτος μουσική.

Stobaeus Floril. 63, 18 *Μενάνδρου Θησαυροῖς* A.

238

ἄσιτος ἑπτὰ μῆνας, ὕδατος στράγγ᾽ ἔχων

Photius *στράγγα· Μένανδρος Θησαυρῷ κτλ.* Etymol. m. 729, 43 *στράγξ· ἡ ἐπισχεθεῖσα ῥύσις. καὶ Μένανδρος· ὕδατος κτλ.* cf. M. Schmidt. Didym. p. 69.

239

κανθάρου μελάντερος

παροιμία. Μένανδρος Θησαυρῷ. Photius et Suidas. add. Suidas *καὶ κανθάρου σοφώτερος, ἐπὶ τῶν πονηρῶν καὶ κακοηθῶν.* cf. Philem. 33. Zenob. 4, 65. Diogen. 5, 40. Append. prov. 2, 41 cum eis quae edit. adn. — verbis *κανθάρου μελάντερος* bestiola significari videtur.

Praeterea cf. 960.

ΘΡΑΣΥΛΕΩΝ

I. e. *Miles gloriosus.* Iulian. Misopog. 349 c *ἄκαρτος καὶ βαθυγένειος .. ἐνόμισας ἂν Σμικρίνην ὁρᾶν ἢ Θρασυλέοντα, δύσκολον πρεσβύτην ἢ στρατιώτην ἀνόητον.* Plutarch. Mor. 1095 d *οὐδὲ γὰρ Ἱέρων ἂν οὐδ' Ἄτταλος . . . ἐπείσθησαν . . . κατακλῖναι (ἐν τοῖς συμποσίοις) Κάρδακας καὶ Ἀγριᾶνας μεθ' αὐτῶν . . . καὶ Θρασωνίδας καὶ Θρασυλέοντας, ὀλολυγμοὺς καὶ κροτοθορύβους ποιοῦντας.* cf. Alciphr. 2, 4, 19 et quae ad *Ἐπιτρέποντας* adnotantur. de Sexti Turpilii *Thrasyleonte* cf. O. Ribbeck. Com. R. fr.[2] 109.

240

κατὰ πόλλ' ἄρ' ἐστὶν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτόν· χρησιμώτερον γὰρ ἦν
τὸ γνῶθι τοὺς ἄλλους.

Stobaeus Floril. 21, 5 *Μενάνδρου Θρασυλέοντος* (*θρασυλεον* with τ above) A. Anton. Mel. 80 p. 139. Maxim. Conf. Serm. 56, 112 p. 663 Combefis. 1. *πόλλ' ἄρ'* Pors. Adv. 235] *πόλλ' ἂν. πολλῶν* Anton. et Maxim. *πολλά γ'* Steph. 2. *σεαυτόν* Voss Hens. et Maxim. *ἦν*] *εἶ* Voss. mrg.

241

ὁ δεύτερος πλοῦς ἐστι δήπου λεγόμενος,
ἂν ἀποτύχῃ τις οὐρίου, κώπαισι πλεῖν.

Stobaeus Floril. 59, 9 *Μενάνδρου ἐκ Θρασυλέοντος* A. 2. *οὐρίου κώπαισι* Grot. cf. Cobet. N. l. 84. 5. *πρῶτον ἐν* Stob., sed *πρῶτον* om. A. *πνεύματος κώπαισι* Ios. Scalig. *ἂν ἀποτυχών τις πρῶτον ἐν κώπαις πλέῃ* Mein. 1. Eustath. 661, 43 *ὁ τῶν κωπηλατούντων πλοῦς δεύτερος κατὰ τὴν παροιμίαν λέγεται πλοῦς, ὡς πρώτου ὄντος τοῦ πλέειν πρὸς ἄνεμον.* idem Odyss. 2 extr. *δεύτερος πλοῦς ὁ δι' ἔνδειαν (ἀνέμου) δι' εἰρεσίας γινόμενος.* 1453, 18 *δεύτερος πλοῦς λέγεται, ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλέει, κατὰ Παυσανίαν.* Bachmann. Anecd. I 191, 31. Boisson. Anecd. II 445. — cf. fr. 228. 279. *Philemoni* haec tribuuntur Diogen. Vind. 2, 45 *δεύτερος πλοῦς·*

ταύτην τὴν παροιμίαν σαφῆ ποιεῖ Φιλήμων· πλοῦς δεύτερός ἐστι δήπου λεγόμενος, ἂν ἀποτύχῃ τοῦ οὐρίου καὶ κώπαις πλεῖ. sed Stobaeus cum etiam fabulam nominet praeferendus.

242

φιλοσοφεῖ δὲ τοῦθ' ὅπως
καταπράξεται τὸν γάμον.

Harpocration *φιλοσοφεῖν ἀντὶ τοῦ πονεῖσθαι, ἀσκεῖν . . . Μένανδρος Θρασυλέοντι κτλ.* Photius et Suidas *φιλοσοφεῖν.* Cramer. Anecd. Ox. II 500, 4. — *τοῦθ' ὅπως καταπράξεται* Bentl.] *τοῦτο ὅπως καταπράξηται* (*καταπράξῃ* D) Harp. *σοι τὸν γάμον* Cobet. *ἀσκεῖν* Gronov.] *φάσκειν.*

243

ἡ δ' ἀνέῳγε τὴν θύραν.

Bekker. Anecd. 399, 24 *ἀνέῳγεν οὐχὶ ἤνοιγε, καὶ ἀνεῴγετο λέγουσι. καὶ Θρασυλέοντι γ ἢ δ κτλ.* sine auctoris fabulaeque nomine Suid. *ἀνεῴγεισαν. ἀνέω* (in poetae verbis) cod. Bekk. *γ ἢ δ*] *ἤδη δ'* Mein. *ἡδὶ δ'* Porson. — cf. 229.

244

ὡς ὀκνηρός, πάντα μέλλων, σιτόκουρος ὁμολογῶν
παρατρέφεσθαι.

Athenaeus 6, 248 a b *Μένανδρος δὲ τὸν ἄχρηστον καὶ μάτην τρεφόμενον σιτόκουρον εἴρηκεν ἐν Θρασυλέοντι οὕτως κτλ.* v. 1 (—*σιτόκουρος*) sine nomine fabulae Eustathius 1854, 7. 1. *ὡς* add. Porson. *σιτόκουρος* Pors.] *σιτόκουρον ἄθλιον ἄχρηστον εἰς γῆν*, perperam inlata ex fr. 420, A. — cf. Alexid. 177. *παρατρέφεσθαι* '*indignum ali tamquam vile quoddam mancipium.*' Casaub. cf. 866. Timocl. 9, 2. Demosth. 19, 200 *ἐπὶ τῷ τριταγωνιστεῖν ἀγαπητῶς παρατρεφόμενον.*

ΙΕΡΕΙΑ

'Mulierem quandam' (Rhoden) 'induxisse videtur, liberaliter illam quidem educatam, sed superstitionis contagio adeo contaminatam, ut condicionis suae oblita inter Cybeles sacrificulas nomen profiteretur.' Mein.

245

οὐδεὶς δι' ἀνθρώπου θεὸς σῴζει, γύναι,
ἑτέρου τὸν ἕτερον· εἰ γὰρ ἕλκει τὸν θεὸν

τοῖς κυμβάλοις ἄνθρωπος εἰς ὃ βούλεται,
ὁ τοῦτο ποιῶν ἐστι μείζων τοῦ θεοῦ.
ἀλλ' ἔστι τόλμης καὶ βίου ταῦτ' ὄργανα
εὑρημέν' ἀνθρώποις ἀναιδέσιν, Ῥόδη,
εἰς καταγέλωτα τῷ βίῳ πεπλασμένα.

Iustinus De monarch. p. 29 e (140. 2 Otto) ὁ αὐτὸς Μένανδρος ἐν Ἱερείᾳ. v. 2 (εἰ γὰρ) — 6 (ἀνθρώποις) Clemens Alex. Protr. 7, 75 ὁ αὐτὸς κωμῳδιοποιὸς (Μένανδρος) ἐν Ἱερείᾳ τῷ δράματι . . . διελέγχειν πειρᾶται τὸν ἄθεον τῆς πλάνης τῦφον, ἐπιφθεγγόμενος ἐμφρόνως κτλ. 1. οὐθεὶς Iustin. 2. τὸν] τινὰ Iustin. 5. βίας Bentl., quod non sufficit. scr. τόλμης ἀνιέρου. vox rara quidem, sed optimae notae, praeter Platonem Aeschylo Euripidique cognita.

inridetur Cybeles cultus. 1. 'non opus est cuiusquam hominis auxilio, ut deus alterum hominem servet'. 7. '*nostrique ficta in saeculi ludibrium*'. Grot. βίος sic apud posteriores haud rarum. cf. Lucian. Hesiod. 2. Fugit. 3. 5 init. 6. 23.

246

ὄνου παρακύψεως

μέμνηται ταύτης Μένανδρος ἐν Ἱερείᾳ . . . ἐπὶ τῶν καταγελάστως συκοφαντουμένων εἴρηται ἡ παροιμία. Zenob. 5, 39. commemorant proverbium, nulla tamen Menandri mentione facta, etiam Photius, Suidas, Macarius 6, 7. Apostol. 12, 87. cf. etiam [Lucian.] Asin. 45 extr.

ΙΜΒΡΙΟΙ

Photius Ἴμβριοι· οἱ τὰς δίκας ὑποφεύγοντες· ἐπειδὴ ἐσκήπτοντο ἐν Ἴμβρῳ εἶναι. Macar. 4, 76 Ἴμβριος δίκη· ἐπὶ τῶν προφασιζομένων ἐν ταῖς δίκαις· οἱ γὰρ τὰς δίκας φεύγοντες εἰς Λῆμνον ἢ εἰς Ἴμβρον ἐσκήπτοντο ἀποδημεῖν. id. 4, 77 Ἴμβριος ἢ Λήμνιος· οἱ τὰς δίκας ἀποφεύγοντες (ὑποφ.) Ἀθήνησιν ἐσκήπτοντο ἐν Ἴμβρῳ ἢ ἐν Λήμνῳ εἶναι. eodem sensu etiam Σκυρία δίκη. cf. Suid. Σκυρίαν δίκην. Poll. 8, 81. Hesych. Ἴμβριος ἢ Λήμνιος. Ael. Dionys. Eustath. 1222, 33. — de Caecilii Statii *Imbriis* cf. O. Ribbeck. Com. R. fr.[2] 51.

247. 248

οὐκ ἔστιν οὐδέν, πάτερ, ἐν ἀνθρώπου φύσει
μεῖζον λογισμοῦ τῷ διαθέσθαι πράγματα.
ἕκαστός ἐστι καὶ λογίσασθαι κατὰ τρόπον

ἄρχων, στρατηγός, ἡγεμὼν δήμου, πάλιν
σύμβουλος· ὁ λογισμῷ διαφέρων πάντ' ἔχει.

Stobaeus Floril. 3, 9 *Μενάνδρου Ἰμβρίοις* A. 2. *τῷ*] *τὸ* A. 3. *καὶ* om. A. *τῷ* Mein. 4. *πάλιν*] *πόλει σύμβουλος* Heimsoeth. Ind. Bonn. 1867 aest. XIII. 5. *ὁ λογισμῷ διαφέρων* Porson Tracts 250] *ὁ. δ. λ.*, quod retinens Bentl. *βουλῆς* pro *σύμβουλος*. — locutionis *κατὰ τρόπον* exempla praebent H. Iacobi V 1071 et Cobet. N. l. 87. 8. cf. Antiphan. 39. Meinekio in duo fragmenta (v. 1. 2 et 3—5) haec dispescenti adsentiri certe non necessarium est, dum modo cum prioribus interpungas *λογισμοῦ. τῷ διαθέσθαι πράγματα ἕκαστός ἐστι καὶ* (non *τῷ*) *λ. κτλ.*, i. e. *ἕκαστος τῷ διαθέσθαι καὶ λογίσασθαι πράγματα ἄρχων ἐστίν.* si duo sunt, post *πράγματα* suppleverim *μέλλοντι. σύμβουλοι* sunt *oratores,* non qui apud Meier. Schoem. Att. Proc. 58 commemorantur thesmothetarum *σύμβουλοι.*

Praeterea cf. 300.

ΙΠΠΟΚΟΜΟΣ

249

Μόνιμός τις ἦν ἄνθρωπος, ὦ Φίλων, σοφός,
ἀδοξότερος μικρῷ δ'. Β. ὁ τὴν πήραν ἔχων;
Α. πήρας μὲν οὖν τρεῖς· ἀλλ' ἐκεῖνος ῥῆμά τι
ἐφθέγξατ' οὐδὲν ἐμφερὲς μὰ τὸν Δία
τῷ γνῶθι σαυτόν, οὐδὲ τοῖς βοωμένοις
τούτοις· ὑπὲρ δὲ ταῦθ' ὁ προσαιτῶν καὶ ῥυπῶν·
τὸ γὰρ ὑποληφθὲν τῦφον εἶναι πᾶν ἔφη.

Diogenes Laert. 6, 83 *Μόνιμος Συρακόσιος μαθητὴς μὲν Διογένους, οἰκέτης δέ τινος τραπεζίτου Κορινθίου . . . ἐγένετο δὲ ἀνὴρ ἐλλόγιμος, ὡς καὶ Μένανδρον αὐτοῦ τὸν κωμικὸν μεμνῆσθαι· ἔν τινι γοῦν τῶν δραμάτων, ἐν τῷ Ἱπποκόμῳ, εἶπεν οὕτως κτλ.* 2. sic Cobet. N. l. 93 cum libris optimis (*ἀδοξότερος μικρῷ δέ, ὁ τὴν πήραν ἔχων*). 3. *ῥῆμά τι* cod. Flor.] *ῥήματι.*

2. *ἀδοξότερος*, nos *etwas unansehnlich.* 3. *πήρας τρεῖς* 'erat enim gibbosus utrimque'. '*μὲν οὖν*, ut passim, est ita respondentis ut quod alter dixerit corrigat.' Cobet. 93. 6. *ὑπὲρ δὲ ταῦτα* i. e. '*superavit haec* omnia Monimus, cuius dictum, *πᾶν τὸ ὑποληφθὲν τῦφός ἐστι*, Menandro videtur *celebratissimis veterum sententiis*, *τοῖς βοωμένοις τούτοις*, anteponendum esse.' Cobet. 94. Sextus Emp. Adv. math. 8, 5 (289, 28 Bekk.) *Μόνιμος ὁ κύων τῦφον* (*Schwindel*) *εἰπὼν τὰ πάντα, ὅπερ οἴησίς ἐστι τῶν οὐκ ὄντων ὡς ὄντων.* cf. Sext. Emp. Adv. math. 7, 48 (200, 7 B.). 87. 8 (208, 8 et 11 B.).

250

τὰ δ' ἐκ μέσου τριπόδια καὶ τραγήματα

Pollux 10, 80 *εἴρηνται δὲ οἱ τρίποδες . . . ὥσπερ καὶ τριπόδια, ὡς ἐν Ἱπποκόμῳ Μενάνδρου κτλ.*

251

τηγανισμοί

Pollux 10, 98 *ὑπόφαυλοι οἱ ἐν Ἱπποκόμῳ Μενάνδρου τ.* — cf. Posidipp. 5.

ΚΑΝΗΦΟΡΟΣ

Fuit etiam Anaxandridis *Canephoros* et ex Menandrea expressa Sexti Turpilii. O. Ribbeck. Com. R. fr.² 86.

252

τὸ γὰρ προθύμως μὴ πονήσαντας τυχεῖν
εὐδαιμονίας εἴωθ' ὑπερηφανίας ποιεῖν.

Stobaeus Floril. 22 (*περὶ ὑπεροψίας*), 30. 31. 30 *τοῦ αὐτοῦ* (*Μενάνδρου* 29) *Κανηφόρος* Á. 31 *Εὐριπίδου* B² Trinc. 'nihil enotavi ex A'. Gaisf. at Vindob. cum superiore coniungit omisso lemmate *Εὐριπίδου*. ac coniungendos esse versus adparet. 1. an *τὸ μὴ πρ. γὰρ κτλ.*? — *πονήσαντας τυχεῖν εὐδαιμονίας* Pflugk. Sched. crit. 34] *πονήσαντες εὐτύχησεν εὐδαιμονία* A. *εὐτυχῆς* N. 2. *εἴωθεν* libri. *ὑπερηφανίαν* probabiliter Mein.

253

ἀλογίστου τρόπου
ἀτύχημα φεύγειν ἐστὶν οὐκ αὐθαίρετον.

Stobaeus Floril. 108, 30 *Μενάνδρου Κανηφόρῳ* A. Sexti Turpilii fr. 3 (1 Can.), quod conferunt Ladewigius et O. Ribbeck. Com. R. fr.² 86, non magnam habet cum Menandreo similitudinem. *ἀτύχημ' ἐλέγχειν* Heimsoeth. Ind. Bonn. 1867 aest. xx. *ἀτύχημα κλάειν* Madvig. Advers. crit. I 720. cum autem titulus libri 108 Stob. sit *ὅτι δεῖ γενναίως φέρειν τὰ προσπίπτοντα*, Engerus Progr. Posn. gymn. Mar. 1868 p. 13 vulgatam defendit *φεύγειν* interpretatus *fugere velle*. mihi neque haec neque Clerici explicatio probatur: unum video *οὐκ αὐθαίρετον* necessario esse praedicatum. fortasse 'nequaquam in arbitrio nostro positum est inprudentiae poenas effugere'. *ἐστὶν οὐκ αὐθ.* pro *οὐκ ἔστιν αὐθ.*, ut Nausicr. 3 *ἐστὶν οὐχὶ ῥᾴδιον.*

254

ἐδεῖτο χρῆσαι τὴν σεαυτῆς θυγατέρα
ἀντάλλαγον.

Bekker. Anecd. 407, 18 et Suidas *ἀντάλλαγον· καλοῦσι τὸν ἀντὶ ἑτέρου ἠλλαγμένον· οὐχὶ ἄνταλλον. Μένανδρος Κανηφόρῳ κτλ.* cf. 16. — *ἐδεῖτο χρῆσαι rogabat te ut mutuam dares.*

255

ὃ δ' ἀποκρινεῖται, κἂν ἐγὼ λέγοιμί σοι.

Bekker. Anecd. 429, 13 et Suidas *ἀπόκριναι . .'. Μένανδρος Κανηφόρῳ κτλ.* ὃ] ἃ A Suid. *Μένανδρος* om. A et cum eis quae sequuntur C Suid.

256

γραῦς τις κακολόγος ἐκ δυοῖν Αἰξωνέοιν

Bekker. Anecd. 354, 1 *βλάσφημοι οἱ Αἰξωνεῖς κατηγοροῦνται. φησὶ γὰρ ὁ κωμικός κτλ.* Harpocration 9, 1 *Αἰξωνῆς δῆμος φυλῆς τῆς Κεκροπίδος. ἐκωμῳδοῦντο δὲ ὡς βλάσφημοι, ἀφ' οὗ καὶ τὸ κακῶς λέγειν αἰξωνεύεσθαι ἔλεγον. Μένανδρος ἐν Κανηφόρῳ.* cf. etiam Apostol. 1, 67. Suid. *αἰξωνεύεσθαι, αἰξωνεία, Αἰξωνῆς.* Plat. Lach. 197 c. Bursian. Geogr. gr. I 360. 1. recte versum ab Harpocratione servatum ad *Canephorum* rettulit Bergk. Rel. c. Att. 84 n. 'mulierem illam maledicentissimam dicit non infacete ex patre atque ex matre Aexonensibus ortam esse', ut cives Athenienses ei demum erant, qui ex duobus Atheniensibus prognati essent.

ΚΑΡΙΝΗ

Cf. quae ad Antiphanis *Carinam* adnotantur II 56 et O. Ribbeck. Com. R. fr.[2] 53.

257

ὦ μεγίστη τῶν θεῶν
νῦν οὖσ' ἀναίδει', εἰ θεὸν καλεῖν σε δεῖ.
δεῖ δέ· τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός.
ἐφ' ὅσον βαδίζεις, ἐφ' ὅσον ἥξειν μοι δοκεῖς.

Stobaeus Floril. 32, 7 *Μενάνδρου* Trinc. et *με* Voss. Hens. *Καρίνῃ* add. Vind. v. 3 Artemid. Onirocr. 2, 36 *ὀρθῶς τοῦτο τὸ παλαιὸν ἔχει 'τὸ κρατοῦν δύναμιν ἔχει θεοῦ'* et 69 *εἶτα βασιλεῖς καὶ ἄρχονται· τὸ κρατοῦν γὰρ πᾶν δ. ἔχει θ.*, quod praeferunt G. Hirschig. Ann. crit. 22 et Cobet. V. l.[2] 119. N. l. 85. at recte

Meinekius Stob. II v '*νομίζειν θεούς*' est 'deos publica lege receptos colere; recte etiam et fere necessarium *νῦν*. eo scilicet iam ventum est ut penes quem potestas est pro deo colatur.' 1. *ἡ*, sed corr. m. rec. *ὦ* Voss. Hens. Photius 85, 1 *ἐτιμᾶτο δὲ καὶ Ἀθήνησιν ἡ Ἀναίδεια καὶ ἱερὸν ἦν αὐτῆς, ὡς Ἴστρος ἐν ιδ'.* cf. Zenob. 4, 36. Diogenian. 5, 24 (Vind. 2, 91). Greg. Cypr. Leid. 2, 28. Macar. 4, 65. Paus. 1, 28, 5. Cic. Leg. 2, 11, 28.

258

περὶ τὸν τράχηλον ἁλύσιόν τί σοι δότω.

Bekker. Anecd. 380, 30 *ἁλύσιον· ἁλυσείδιον, πλόκιον περιτραχήλιον. Μένανδρος Καρίνῃ κτλ.* Suid. *ἁλύσιον· πλοκίου γένος περὶ τὸν τράχηλον. Μένανδρος Καρίνῃ κτλ. τι*] *τις* Bentl. quod cur praeferendum sit non video. neque felicius *μοι* Bergk. pro *σοι*. docet lena puellam, quomodo amatorem emungere argento debeat. — cf. Aristoph. fr. 320, 12. Nicostr. 33. Philippid. 33.

259

Athenaeus 4, 175 a *μνημονεύει τῶν γίγγρων αὐλῶν . . . Μένανδρος ἐν Καρίνῃ.* cf. Amphid. 14.

ΚΑΡΧΗΔΟΝΙΟΣ

Plautus Poenul. prol. 53 *Carchédonius vocátur haec comoédia: latíne Plautus pátruus Pultophagónides.* Menandream fabulam significari credunt plerique, negat Duebnerus: quamquam alius poetae *Καρχηδόνιος* hodie quidem non nota est.

260

ἐπιθυμίσας τῷ Βορέᾳ ἴδιον
ὀψάριον οὐδὲν ἔλαβον, ἐψήσω φακῆν.

Athenaeus 9, 385 e *Μένανδρος Καρχηδονίῳ κτλ.* sic A, nisi quod 1. *τῶι βορεαι* et 2. *οὐδὲ ἕν*. 1. *ἐπιθυμιάσας* et *λιβανίδιον* Bentl., *κρεάδιον* Dobr. *ἐπεὶ δὲ θύσας* Casaub., *ἐπεὶ θυσιάσας* Mein., *ἐπεὶ δὲ θύσας τῷ βορέᾳ νὴ τὸν Δία* Heringa. Bentleii emendationem probat Cobet. N. l. 92. 3. 'verba sunt pauperculi piscatoris qui se frustra Boreae *adolevisse* queritur — quid igitur? turis aliquantulum: nempe hos honores deis habebant inopes.' mihi nondum omnis dubitatio exemta. ventis non sacrificatum esse nisi raro et certis quibusdam de causis docet Xen. An. 4, 5, 4. cf. Aelian. V. h. 12, 61. Preller. Myth. gr.[2] I 371.

261

αὐτὸν γὰρ οὐδεὶς οἶδε τοῦ ποτ' ἐγένετο,
ἀλλ' ὑπονοοῦμεν πάντες ἢ πιστεύομεν.

Eustathius 1412, 14 ὅτι δὲ τῇ μητρὶ ἀνάκειται ἡ περὶ τῶν παίδων ἀκριβὴς εἴδησις δηλοῖ . . . Μένανδρος κτλ. Schol. Hom. Od. 1, 215 καὶ Μένανδρος κτλ. v. 1 Stobaeus 76, 11 Μένανδρος Καρχηδονίῳ (καρχη^δ) A. 1. αὐτὸς Stob. οὐθεὶς AB Stob. τοῦ ποτ' Eust.] πῶς Stob. πῶς ποτ' EM Schol. Hom. οἶδ' ὅτου Cobet. N. l. 54.

262

ἔργον ἐκ πολλοῦ χρόνου
ἄνοιαν ἡμέρᾳ μεταστῆσαι μιᾷ.

Stobaeus Ecl. 2, 31, 19 Wachsm. τοῦ αὐτοῦ (Μενάνδρου 18) Καρχηδονίῳ (καρχηδν). cf. 504. 726. *difficile est inveteratam stultitiam uno die inmutare.* fallitur Iacobs. Lect. Stob. 149. Catull. 76, 13 *difficile est longum subito deponere amorem* (Ellis Journ. of philol. X 18).

263

χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν
Καρχηδόνιον.

Suidas χρεία. καὶ παροιμία κτλ. Καρχηδόνιον] Καρχηδονίῳ probabiliter Toup. — rursus ab Euripide levi mutatione facta mutuatus est versum. cf. Eurip. fr. 666. 709 N.

264

ᾄδοντα λιτυέρσην ἀπ' ἀρίστου τέως

Photius Λιτυέρσης· εἶδος ᾠδῆς. Μένανδρος Καρχηδονίῳ (sic Hemsterh. pro Χαλκηδονίῳ) κτλ. . . . Μίδου δὲ ἦν ὁ Λιτυέρσης νόθος υἱός, κατοικῶν δὲ ἐν Κελαιναῖς τοὺς παριόντας ὑποδεχόμενος ἠνάγκαζε μεθ' αὐτοῦ θερίζειν, εἶτα ἀποκόπτων τὰς κεφαλὰς τὸ ἄλλο σῶμα συνείλει ἐν τοῖς δράγμασιν. ἀπέθανεν δὲ ὑπὸ Ἡρακλέους . . . θεριστικὸς ὕμνος ἐπ' αὐτῷ συνετέθη. fere eadem Phot. et Suidas Λιτυέρσαν. Apostol. 10, 74. Schol. Theocr. 10, 41 Ἡρακλῆς δὲ τοῦτον ἀποκτείνας ἔρριψεν εἰς τὸν Μαίανδρον ποταμόν. Athen. 10, 415 b. 14, 619 a. Aelian. V. h. 1, 27. Sosith. trag. fr. 2 cum eis quae congessit Nauck. Preller. Myth. gr.^{2} II 230.

265

τὸ καλῶς ἔχον που κρεῖττόν ἐστι καὶ νόμου.

Stobaeus Floril. 9, 17 *Μενάνδρου Καρχηδονίων* A. idem Stobaeus Floril. 43, 24 *Μενάνδρου* (om. fab. nom.) A.

266

ἀσκοπυτίνη

Pollux 10, 73 *Μένανδρος ἐν Καρχηδονίῳ κέχρηται τῷ ὀνόματι.* cf. Aristoph. fr. 174. 577. Antiphan. 150. Diphil. 55, 2.

267

μέσατος

ἀντὶ τοῦ μέσος· καὶ Μένανδρος Καρχηδόνιος (sic V, *Καρχηδονίοις* rel.) Schol. Aristoph. Vesp. 1502.

ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

268

ἱππεῖς προκαλεῖσθαι εἰς πεδίον

ἐπὶ τῶν τοὺς ἔν τισι βελτίους καὶ ἐπιστημονικωτέρους αὑτῶν εἰς ἔριν προκαλουμένων . . . Μένανδρος Καταψευδομένῳ. Schol. Plat. 365 Bekker. cf. Plat. Theaet. 183 d et ibi Heindorf.

269

τὸν ἀφ' ἱερᾶς

γραμμὴ ἐν τῇ τῶν πεττῶν παιδιᾷ. Μένανδρος Καταψευδομένῳ Photius et Suidas. *τὸν ἀφ' ἱερᾶς· γραμμὴ* cod. Phot. et Suid. AV] *τὸν ἀφ' ἱερᾶς γραμμῆς.* Hesychius quoque *τὸν ἀφ' ἱερᾶς γραμμή,* nulla tamen Menandri mentione facta. *καταψευδόμενον* cod. Phot. — Schol. Plat. 451 Bekk. *κινήσω τὸν ἀφ' ἱερᾶς, (παροιμία) ἣ τέτακται ἐπὶ τῶν τὴν ἐσχάτην βοήθειαν κινούντων. μετείληπται δὲ ἀπὸ τῶν πεττευόντων κτλ.* cf. Alcae. lyr. 81 cum eis quae Bergkius adnotavit. Diogenian. 5, 41.

270

ἐπεπτώκειμεν

Μένανδρος Καταψευδομένῳ. Bekker. Anecd. 97, 2.

271

Μυλασεύς

Stephanus Byz. *Μύλασα, πόλις Καρίας . . . τὸ ἐθνικὸν Μυλασεύς . . . ὡς Μένανδρος Καταψευδομένῳ.*

ΚΕΚΡΥΦΑΛΟΣ

Reticulum sine dubio mulierum significatur. cf. Arist. Thesm. 138. 257. fr. 320, 6. Eupol. 170. Antiphan. 117. 189.

272

παρὰ τοῖς γυναικονόμοις δὲ τοὺς ἐν τοῖς γάμοις
διακονοῦντας ἀπογεγράφθαι πυθόμενος
πάντας μαγείρους κατὰ νόμον καινόν τινα,
ἵνα πυνθάνωνται τοὺς κεκλημένους, ἐὰν
πλείους τις ὧν ἔξεστιν ἑστιῶν τύχῃ,
ἐλθών —

Athenaeus 6, 245 bc *ὅτι δ' ἦν ἔθος τοὺς γυναικονόμους ἐφορᾶν τὰ συμπόσια καὶ ἐξετάζειν τῶν κεκλημένων τὸν ἀριθμὸν εἰ ὁ κατὰ νόμον ἐστί . . . Μένανδρος ἐν Κεκρυφάλῳ κτλ.* 5. *τύχῃ* Musurus] *τύχης* A. 6. *ἐλθών* del. Grot. sententiam non finitam esse constat. dixerat fere poeta 'ut si plures quam lex permittebat convivae invitati essent, eos gynaeconomi e convivio removerent.' Mein. Anal. Ath. 107. 4. *ἐάν* et hypothetice et interrogative accipi potest: nam perperam Meinekius hoc alterum per usum dicendi fieri non posse opinatur. Xen. Mem. 4, 4, 12 *σκέψαι ἐὰν τόδε σοι ἀρέσκῃ.* Plat. Theaetet. 156 c *ἄθρει ἐάν πως ἀποτελεσθῇ.* Gorg. 452 c *σκόπει ἐάν σοι πλούτου φανῇ τι μεῖζον.* ac sic iam inde ab Homero sexcentiens.

273

εἶτ' εὐθὺς οὕτω τὰς τραπέζας αἴρετε,
μύρα, στεφάνους ἑτοίμασον, σπονδὰς ποίει.

Bekker. Anecd. 358, 10 et Suidas *αἴρειν . . . ἐπὶ τοῦ παρακειμένην ἀφελεῖν τὴν τράπεζαν. Μένανδρος Κεκρυφάλῳ κτλ.* 1. *τὰς* om. BE Med. Suid. *αἶρε, παῖ* Iacobs. not. ms. 2. *ποίησον* Bekk. An.

274

ἡδὺ τὸ μύρον, παιδίον. B. *ἡδύ· πῶς γὰρ οὔ;*
νάρδινον.

Athenaeus 15, 691 ab *ναρδίνου μύρου μέμνηται Μένανδρος ἐν Κεκρυφάλῳ οὕτως κτλ.* 1. *ὡς ἡδύ* Iacob. Add. Ath. 363. *παιδάριον* Dindf. *παιδάριον, ἡδύ.* B. *πῶς κτλ.* Cobet. *ἡδὺ τὸ μύρον, παῖ.* B. *νὴ Δί', ἡδύ. πῶς γὰρ οὔ;* Mein. in Athen. ed. (Anal. 338) cum Dobr.

275

ταὐτόματον ἡμῖν ἀφανὲς ὂν συλλαμβάνει.

Stobaeus Ecl. 1, 6 (5), 14 a Wachsm. *Μενάνδρου Κεκρυφάλῳ* F mrg. ὂν Grot.] ὂν FP. *συλαμβ.* FP. cf. 460, 4. 5.

276

Athenaeus 6, 241 e *μνημονεύει δ' αὐτοῦ (Φιλοξένου τῆς Πτερνοκοπίδος) καὶ Μένανδρος ἐν Κεκρυφάλῳ, αὐτὸ μόνον Πτερνοκοπίδα αὐτὸν καλῶν.* cf. Axionic. 6, 2.

277

Athenaeus 6, 243 a *καὶ Μένανδρος αὐτοῦ (Χαιρεφῶντος τοῦ παρασίτου) μνημονεύει ἐν Κεκρυφάλῳ.*

278

ἀπὸ μηχανῆς θεὸς ἐπεφάνης.

Μένανδρος . . . Κεκρυφάλῳ. Schol. Plat. 394 Bekk. cf. 227.

279

δεύτερος πλοῦς

ἐμνήσθη ταύτης Μένανδρος Κεκρυφάλῳ. Schol. Platonis 381 Bekk. cf. 228. 241.

280

ἀβυρτάκη

ὑπότριμμα βαρβαρικὸν ἐκ δριμέων σκευαζόμενον . . καρδάμων καὶ σκορόδων καὶ σινάπεως καὶ σταφίδων, ᾧ πρὸς κοιλιολυσίαν ἐχρῶντο . . ἔστι καὶ ἐν Κεκρυφάλῳ Μενάνδρου τοὔνομα. Bekker. Anecd. 323, 26. Suidas *ἀβυρτάκη· ὑπότριμμα βαρβαρικόν . . . ἔστι δὲ καὶ ἐν Κεκρυφάλῳ Μενάνδρου τοὔνομα.* cf. Pherecr. 181. Theopomp. 17. Antiphan. 142, 3. Alexid. 141, 13.

ΚΙΘΑΡΙΣΤΗΣ

Cf. quae ad Antiphanis *Citharistam* adnotavimus II 37. [*Κιθ-*]*αριστής* Koehler. I. A. n. 992. cf. Herm. Haupt. Annal. Fleckeisen. 1876, 671.

281

ᾤμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία,
οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
τὰς νύκτας οὐδὲ στρεφομένους ἄνω κάτω

οἴμοι λέγειν, ἡδὺν δὲ καὶ πρᾷόν τινα
ὕπνον καθεύδειν [ἀλλὰ τῶν πτωχῶν τινα].
νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους
ὑμᾶς ὁρῶ πονοῦντας ἡμῖν ἐμφερῆ.
ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος·
τρυφερῷ βίῳ σύνεστιν, ἐνδόξῳ βίῳ
πάρεστιν, ἀπόρῳ συγκαταγηράσκει βίῳ.

v. 1 — 5 (*καθεύδειν*) et 8 — 10 Plutarchus Mor. 466 b *τοὺς μὲν γὰρ ἀφωρισμένως ἕνα βίον ἄλυπον νομίζοντας . . . ἱκανῶς ὁ Μένανδρος ὑπομιμνήσκει λέγων ᾤμην κτλ. εἶτα προελθών, ὡς καὶ τοὺς πλουσίους ἑώρα ταὐτὰ πάσχοντας τοῖς πένησιν· ἆρ' ἐστὶ κτλ.* v. 1 — 7 Stobaeus Floril. 97, 13 *Μενάνδρου* A. v. 8 Stobaeus Floril. 98, 54 *Μενάνδρου Κιθαριστῇ* A. et om. poetae fabulaeque nomine Diogenes L. 7, 68 *ἔστι δὲ καὶ ἐπαπορητικόν τι πρᾶγμα διενηνοχὸς ἀξιώματος, ὃ εἰ λέγοι τις, ἀποροίη ἄν· ἆρ' ἐστὶ κτλ.* monost. 640. Gazaeus Euphr. 1 prooem. *ἆρ' ἐστὶ συγγενές τι μόχθος καὶ λόγος.* (ind. Nauck.)

3. *ἀνώκτω* A Stob. sec. Grot., *ἀνύκτω* sec. Gaisf. 4. *λέγων* A Stob. 5. *τῶν φωκῶν τινα* Madvig. Advers. crit. I 720 conl. Iuvenal. 3, 238. *τὸν πτωχὸν μόνον* Herwerd. Obs. crit. 87. *μᾶλλον ἢ πτωχῶν τινα* Mein. Stob. III xxxv. *ἀλλὰ τ. πτ. τινα* del. G. A. Hirschig. Ann. crit. 22, adsentiente Cobet. Mnem. VIIII 141. 7. *πονοῦντας* Geel.] *ποιοῦντας*. 8. *ἆρ' ἐστὶ* per interrogationem efferri vetat Ahrens De crasi 8. 10. *πάρεστιν*] *πρόσεστιν* Hirschig. — de sententia cf. Lucian. Epist. Saturn. 26.

282

τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει,
πενία· τί γὰρ τοῦτ' ἐστίν; ἧς γένοιτ' ἂν εἷς
φίλος βοηθήσας ἰατρὸς ῥαδίως.

Stobaeus Floril. 95, 2 *Μενάνδρου Κιθαριστῇ* A. Plutarch. Mor. 524 e *τήν γε χρηματικὴν (πενίαν), ὥς φησιν ὁ Μένανδρος, εἷς ἂν φίλος ἀπαλλάξειεν εὐεργετήσας.* cf. 735.

283

εἰ τοὺς ἀδικηθέντας, πάτερ, φευξούμεθα,
τίσιν ἂν βοηθήσαιμεν ἄλλοις ῥαδίως;

Stobaeus Floril. 9, 18 *Μενάνδρου Κιθαρίσταις* A. *τοῦ ἀν* (τ suprascr.) *κιθαρῖ* Voss. Hens. 1. *ἐπὶ* (ει suprascr.) A. *ἐπεὶ* | *εἰ τοὺς κτλ.* Mein. ed. mai. 2. *βοηθήσαιμεν* Voss. B[2]] *βοηθήσοιμεν* A.

284

τὸ μηδὲν ἀδικεῖν ἐκμαθεῖν γάρ, ὦ Λάχης,
ἀστεῖον ἐπιτήδευμα κρίνω τῷ βίῳ.

Stobaeus Floril. 9, 19 ἐν ταὐτῷ (cf. fr. 283) A. 1. μηθὲν A.

285

φιλόμουσον εἶν' αὐτὸν πάνυ,
ἀκούσματ' εἰς τρυφήν τε παιδεύεσθ' ἀεί.

Athenaeus 12, 511 a Μένανδρος ἐν Κιθαριστῇ περί τινος μουσικευομένου λέγων φησί κτλ. 2. αἰεί A. φιλόμουσός ἐστι γὰρ πάνυ — τρυφήν τ' ἀεὶ παιδεύεται Mein., sed ne sic quidem perpurgatum esse fr. propter τε non suo loco positum censet ed. 1, 568. fortasse παιδεύεταί τ' ἀκούσματ' εἰς τρ. ἀεί.

286

οὐκ οἰκοσίτους τοὺς ἀκροατὰς λαμβάνεις.

Athenaeus 6, 247 f Μένανδρος . . . ἐν Κιθαριστῇ κτλ. cf. 103. Antiphan. 200. 'si vis habere qui te audiant, victum eis praebe.'

287

οὕτω τι πρᾶγμ' ἔστ' ἐπίπονον τὸ προσδοκᾶν.

Stobaeus Floril. 110, 9 Μενάνδρου Κιθαριστῇ A.

288

ὡς ποικίλον πρᾶγμ' ἐστὶ καὶ πλάνον τύχη.

Stobaeus Ecl. 1, 7 (8), 1 Wachsm. Μένανδρος Κιθαριστῇ. cf. monost. 758.

289

σκοῖδον Διόνυσον

Photius σκοῖδος· ταμίας τις καὶ διοικητής. Μακεδονικὸν δὲ τὸ ὄνομα. διόπερ Μένανδρος καὶ ἐν Κιθαριστῇ σκ. Δ. λέγει. Pollux 10, 16 (τὸν σκευοφύλακα) καὶ σκοῖδόν τινες ὠνόμαζον, τὸν ἐπὶ τῶν σκευῶν ἐν ταῖς βαρβαρικαῖς ἀποσκευαῖς· ἕτεροι δὲ . . . τὸν ἐπὶ τῶν σιτίων. Hesych. σκοῖδος· ἀρχή τις παρὰ Μακεδόσι τεταγμένη ἐπὶ τῶν δικαστηρίων· ἡ λέξις κεῖται ἐν ταῖς ἐπιστολαῖς Ἀλεξάνδρου. Herodian. I 142, 6 σεσημείωται τὸ σκοῖδος παρὰ Μακεδόσιν ὁ οἰκονόμος.

ΚΝΙΔΙΑ

290

οὐδὲν γένους γένος γὰρ οἶμαι διαφέρειν,
ἀλλ' εἰ δικαίως ἐξετάσεις, καὶ γνήσιος
ὁ χρηστός ἐστιν, ὁ δὲ πονηρὸς καὶ νόθος.

Stobaeus Floril. 86, 10 *Μενάνδρου κνηδία* A. 1. *οὐθὲν* libri. 2. *ἐξετάσῃς* Voss. Hens. fort. *ἢν — ἐξετάσῃς. γνησίος* A. *γνησίως* Voss.

291

ταὐτόματόν ἐστιν ὡς ἔοικέ που θεός,
σῴζει τε πολλὰ τῶν ἀοράτων πραγμάτων.

Stobaeus Ecl. 1, 6(5), 9 Wachsm. *Μένανδρος Κνιδίᾳ* (sic Clericus. *κηδείᾳ* P, *κηδεία* F, in mrg. add. *σῇ*). Palladas Alex. Anth. Pal. 10, 52 *εὖ γε λέγων τὸν καιρὸν ἔφης θεόν, εὖ γε Μένανδρε . . . πολλάκι γὰρ τοῦ σφόδρα μεριμνηθέντος ἄμεινον προσπεσὸν εὐκαίρως εὗρέ τι ταὐτόματον.* 2. *πολλά* etiam F. *πολλοὺς* (sic Vat.) *δι' ἀοράτων πρ.* H. Iacobi V CCLVI. *τῶν ἀδράτων* Usener. conl. Bekker. Anecd. 7, 6 *ἄδρατα· ἀποίητα.* vehementer dubito.

ΚΟΛΑΞ

Athenaeus 6, 258 e *κεχαρακτήρικεν ὡς ἔνι μάλιστα ἐπιμελῶς τὸν Κόλακα Μένανδρος ἐν τῷ ὁμωνύμῳ δράματι.* idem 14, 659 d *ἐν τῇ τῆς πανδήμου Ἀφροδίτης ἑορτῇ* fabulae actionem fingi testatur. cf. fr. 292. Terent. Eunuch. prol. 30 *Coláx Menandrist: ín east parasitús colax et míles gloriósus: eas se nón negat persónas transtulísse in Eunuchúm suam.* cf. Donat. 2, 1, 22. Grauert. Anal. hist. phil. 160 sq. Ihne Quaest. Terent. 15 sq. *Gnathonem* Terentii apud Menandrum *Struthiam, Thrasonem* autem *Biantem* fuisse cognoscitur ex fr. 293 et Plutarch. Mor. 57 a. Cramer. Anecd. Par. IIII 25, 17 *Τιμαχίδης* (*ὁ Ῥόδιος*) *ἐν τῷ τοῦ κόλεικος* (*Κόλακος* Mein.) *ὑπομνήματι*, i. e. in commentario scripto in Menandri Colacem (Mein.). Menandri *Colacem* a. Cn. Naevio in latinum translatam, eius autem fabulam a Plauto retractatam et pro nova datam esse docuit Ritschl. Parerg. 99—104. cf. O. Ribbeck. Com. R. fr.[2] 11.

292

σπονδή· δίδου σὺ σπλάγχν' ἀκολουθῶν· ποῖ βλέπεις;
σπονδή· φέρ' ὦ παῖ Σωσία· σπονδή· καλῶς.

ἔγχει. θεοῖς Ὀλυμπίοις εὐχώμεθα
Ὀλυμπίαισι πᾶσι πάσαις (λάμβανε
τὴν γλῶτταν ἐν τούτῳ) διδόναι σωτηρίαν,
ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων τε νῦν
ἀγαθῶν ὄνησιν πᾶσι· ταῦτ' εὐχώμεθα.

Athenaeus 14, 659 d *Μένανδρος ἐν Κόλακι τὸν τοῖς τετραδισταῖς* (Alexid. 258) *διακονούμενον μάγειρον ἐν τῇ τῆς πανδήμου Ἀφροδίτης ἑορτῇ ποιεῖ ταυτὶ λέγοντα κτλ.* 1. *σπονδη. διδου συ σπλαγχνακολουθων* A. *ἀκόλουθε* Cobet. N. l. 72. 2. *σπονδη. φέρε ὦ πλειωωσια σπονδη. καλως* A. *φέρε πλείω Σωσία* Heringa. *φέρ' ὦ παῖ Σωσία* Pierson. Moer. 298. *φέρ' οἶνον Σωσία*, 'quia qui dicit *ὦ παῖ* sim. nomen servuli non addit' Cobet. 3. *εὔχου* A. *ἔγχει* Pierson. *ἐγχοῦ* Cobet. 4. *ὀλυμπίασι* A. ionicas formas hic et Arist. Thesm. 331 sq. (ut Av. 866) reponi iubet Herwerd. Anal. crit. 39. 5. *ἐπὶ τούτῳ διδόναι* Mein. 1. *ἐν τούτῳ* est 'dum libatio fit.' 7. *ὀνησιαν πᾶσιν* A.

2. fortasse scribendum: *σπονδή· φέρ' ὦ παῖ· Σωσία, σπονδήν· καλῶς. καλῶς* dicit adlata libatione, ut 311.

293

ΒΙΑΣ. κοτύλας χωροῦν δέκα
ἐν Καππαδοκίᾳ κόνδυ χρυσοῦν, Στρουθία,
τρὶς ἐξέπιον μεστόν γ'. ΣΤ. Ἀλεξάνδρου πλέον
τοῦ βασιλέως πέπωκας. Β. οὐκ ἔλαττον, οὔ,
μὰ τὴν Ἀθηνᾶν. ΣΤ. μέγα γε.

Athenaeus 10, 434 bc *ἔπινε δὲ ὁ Ἀλέξανδρος πλεῖστον, ὡς καὶ ἀπὸ τῆς μέθης συνεχῶς κοιμᾶσθαι δύο ἡμέρας καὶ δύο νύκτας . . . Μένανδρος δὲ ἐν Κόλακί φησι κτλ.* v. 1. 2 Athenaeus 11, p. 477 f *κόνδυ ποτήριον Ἀσιατικόν. Μένανδρος Κόλακι κτλ.* v. 3. 4 (*Ἀλεξ. — πέπωκας*) Plutarchus Mor. 57 a *ἂν μὲν εὐπαρύφου τινὸς ἀγροίκου λάβηται* (*ὁ κόλαξ*) *φορίνην παχεῖαν φέροντος, ὅλῳ τῷ μυκτῆρι χρῆται, καθάπερ ὁ Στρουθίας ἐμπεριπατῶν τῷ Βίαντι, καὶ κατορχούμενος τῆς ἀναισθησίας αὐτοῦ τοῖς ἐπαίνοις κτλ.* Lucian. Fugit. 19 *κολακείαν μισεῖν φασι κολακείας ἕνεκα τὸν Γναθωνίδην ἢ τὸν Στρουθίαν ὑπερβαλέσθαι δυνάμενοι.* 1. *δέκα καὶ* et 2. *στρουθίον* A 477. 3. *ἐξέπιον* Bentl.] *ἔπιον* A. *μεστόν γ'*] *εἷς ὢν* Mein. Anal. Ath. 196. *τρὶς μεστὸν ἐξέπιον* deleto *γε* Cobet. N. l. 58. 61. 4. *πέπωκας τοῦ β.* A. transposuit Bentl. 5. *Ἀθηναίαν. Στρ. μέγας εἶ* Mein. Anal. Ath. 196 conl. Dionys. com. 2, 36. Euphron. 1, 30. fort. *μέγα λέγεις.* — conloquuntur miles et parasitus.

294

οὐδεὶς ἐπλούτησεν ταχέως δίκαιος ὤν·
ὁ μὲν γὰρ αὑτῷ συλλέγει καὶ φείδεται,
ὁ δὲ τὸν πάλαι τηροῦντ' ἐνεδρεύσας πάντ' ἔχει.

Stobaeus Floril. 10, 21 *Μενάνδρου Κολακείᾳ* A. *Κόλακι α'* (i. e. prima ed.) Gaisf. sed cf. Ritschl. Parerg. 271. v. 1 monost. 688. v. 2. 3 desunt in Voss. 1. *οὐθεὶς* A. *ἐπλούτησε* libri. *ταχὺ* monost. 688. neque cum Grotio v. 2. 3 incerto poetae tribuente neque cum O. Hensio, Lect. Stob. 18 post v. 1 inserente *τὸν μὴ δίκαιον ἄνπερ ἀντιπαρατιθῇς*, consentio: hominem iustum dicit numquam celeriter divitem fieri, quia dum ille conligat et parcat, alius (*ὁ δὲ*) eum insidiose spoliet.

295

Χρυσίδα, Κορώνην, Ἀντίκυραν, Ἰσχάδα,
καὶ Ναννάριον ἔσχηκας ὡραίαν σφόδρα.

Athenaeus 13, 587 d *Μένανδρος ἐν Κόλακι τάσδε καταλέγει ἑταίρας κτλ.* *Ἀντίκιρραν* Mein. at semper *Ἀντίκυρα* adpellatur. cf. Athen. 12, 586 f. Plut. Demetr. 24. Harpocr. *Ἀντίκυρα.* fort. *εἶτ' Ἰσχάδα.* videtur meretrix amatori perfidiam exprobrare.

296

ἀλλ' οὐδὲ γεννήτην δύναμ' εὑρεῖν οὐδένα
ὄντων τοσούτων, ἀλλ' ἀπείλημμαι μόνος.

Erotian. 24. 5 Klein *γενέτησιν· οἱ μὲν τοῖς γονεῦσιν, οἱ δὲ συγγενέσιν. οὕτως Ἀττικῶν λεγόντων, ὡς καὶ Φιλήμων ἐν Κόλακί φησιν κτλ.* cf. Philem. 225.

297

γελῶ τὸ πρὸς τὸν Κύπριον ἐννοούμενος.

Plutarchus Mor. 57 a continuo post fr. 293, 3. 4. *γελῶ τὸ — ἐννοούμενος* egregie Cobet. V. l.² 401. 2] *γέλωτι — ἐνηθούμενος* '*rideo illud in Cyprium dictum cum in mentem venit.*' Terent. Eun. 3, 2, 44 (rideo) *et illúd de Rhodio díctum quom in mentém venit.*

298

πρόσεισιν οἷον ἀψοφητὶ θρέμματος
(ἁπτόμενος).

Plutarchus Mor. 57 ab (*ὁ κόλαξ*) *οὐκ ἀπ' εὐθείας ἐπάγει τὸν ἔπαινον, ἀλλ' ἀπαγαγὼν πόρρω κυκλοῦται καὶ κτλ. ἐπιψαύων καὶ*

ἀποπειρώμενος. Hesych. *ἀψοφητί· ἠρέμα, ἡσύχως . . . κολακείᾳ* (*Κόλακι* Mein. Menandr. praef. VI). *οἷον*, ut Arist. Ach. 668. Nub. 1374. *θρέμμα* Arist. Lys. 369. Antiphan. 182, 3. Men. 874.

299

κωβιός, ἠλακατῆνες,
κυνὸς οὐραῖον

Athenaeus 7, 301 d *Μένανδρος κολωσι φησι κτλ.* sic A. *Κόλακι* Clericus. 2. *καὶ κυνὸς* perperam AC. cf. Mnesim. 4, 35. 6. sunt versus anapaestici.

300

βοῦς Κύπριος

ἴσον τῷ σκατοφάγος εἶ. λέγονται γὰρ οἱ βόες ἐν Κύπρῳ σκατοφαγεῖν (Antiphan. 126, 5). *μέμνηται ταύτης Μένανδρος ἐν Κόλακι καὶ ἐν Ἰάμβοις* (*Ἰμβρίοις* Mill.) Miller. Mélanges 366.
Praeterea cf. 562. 1085. adesp. 125.

ΚΡΗΣ

Cf. *Ἀνδρόγυνος ἢ Κρής.*

ΚΥΒΕΡΝΗΤΑΙ

301

τἀργύριον εἶναι μειράκιόν σοι φαίνεται
οὐ τῶν ἀναγκαίων καθ' ἡμέραν μόνον
τιμὴν παρασχεῖν δυνατόν, ἄρτων, ἀλφίτων,
ὄξους, ἐλαίου, μείζονος δ' ἄλλου τινός;
ἀθανασίας δ' οὐκ ἔστιν, οὐδ' ἂν συναγάγῃς
τὰ Ταντάλου τάλαντ' ἐκεῖνα λεγόμενα·
ἀλλ' ἀποθανεῖ καὶ ταῦτα καταλείψεις τισίν.
τί οὖν λέγω; μηδ' αὐτὸς εἰ σφόδρ' εὐπορεῖς
πίστευε τούτῳ, μήτε τῶν πτωχῶν πάλιν
ἡμῶν καταφρόνει, τοῦ δέ γ' εὐτυχεῖν ἀεὶ
πάρεχε σεαυτὸν τοῖς ὁρῶσιν ἄξιον.

Stobaeus Floril. 22, 19 *Μενάνδρου* Voss. (deest in A). v. 5—7 Stobaeus Floril. 118, 10 *Μενάνδρου Κυβερνήτου* A. 4. *δ'* om. Voss. NB¹. *τ'* B². 5. *ἀθανασίας*] *ἀθανασία* 118, praeter Voss. *συνάγῃς* Voss. 6. *τάλαντ' ἐκεῖνα* L 118] *τάλαντα ἱκανά.* 7. *ἀλλ' ἂν ἀποθάνῃς, ταῦτα* 22. *ἀλλ' ἀποθανῇ καὶ ταῦτα* 118. *καταλείψων*

O. Hense Lect. Stob. 36. *ταῦτα*] *πάντα* Mein. 8. *μήτ'* Mein. in Stob. 10. *τοῦ δ' εὐτυχεῖν δ'* Voss. Ars. *τοῦδ' εὐτυχεῖν* B[1]. *τοῦδε εὐτυχεῖν* B[2]. 11. *πάρεσχε σαυτὸν* N. *παρέσχε* B[1]. *παράσχε* B[2]. *σαυτὸν* etiam Voss. *πάρεχε* rectius quam *παράσχες* vel *πάρασχε* (Porson. Eur. Hec. 836). *τοῖς ὁρῶσιν*] *τοῖσιν ἔργοις* Herwerd. Obs. crit. 87. 8. *τοῖς τρόποισιν* Mein. Stob. IIII LXI. *τοῖς ἀποροῦσιν* K. Mus. Rhen. XXX 410. cf. monost. 348 *μέμνησο πλουτῶν τοὺς πένητας ὠφελεῖν.*

1. *μειράκιον*, ut 540, 1. 6. *τὰ Ταντ. τάλ.* cf. Zenob. 6, 4 *τάλαντα Ταντάλου· διεβεβόητο ὁ Τάνταλος ἐπὶ πλούτῳ, ὡς καὶ εἰς παροιμίαν διαδοθῆναι. διπλῆν δὲ συμβέβηκεν εἶναι τὴν παροιμίαν, καὶ τὴν μέν, Ταντάλου τάλαντα ταντελίζεται* (adesp. 602), *τὴν δέ, Ταντάλου τάλαντα.* cf. Diogenian. 8, 23. Macar. 8, 1. Phot. 570, 12. Suid. *Ταντάλου τ.* Apostol. 16, 16. Anacr. 127 Bergk.

302

οἷοι λαλοῦμεν ὄντες οἱ τρισάθλιοι
ἅπαντες οἱ φυσῶντες ἐφ' ἑαυτοῖς μέγα·
αὐτοὶ γὰρ οὐκ ἴσασιν ἀνθρώπων φύσιν.
οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται·
ἐπὰν δ' ἀνοίξῃ τὰς θύρας, τρισάθλιος,
γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί,
ἀπὸ πλειόνων ὀδυνᾶτ', ἐγὼ δ' ἀπ' οὐδενός.

v. 1—5 Orion Antholognom. 8, 9 *ἐκ τῶν Κυβερνητῶν.* v. 1—3 Stobaeus Flor. 22, 11 *Μενάνδρου Κυβερνήταις* A (*κυβερν* suprascr. *τ*). ex Stob. Anton. Mel. 36, 52. Maxim. Conf. Serm. 34, 75 p. 624 Combefis. v. 4—7 atque 4—6 om. poetae fabulaeque nom. Plut. Mor. 471 c et 100 e. v. 4. 5 Themist. 32, 357 d *προσήκει αὐτῷ τόδ' ἔπος ἐκ τῆς κωμῳδίας κτλ.*

1. *οἱ*] *ὦ* Stob. et qui ab eo pendent. 2. *ἑαυτοὺς μεγάλα* Max. 3. *αὐτοὶ* Stob.] *οὗτοι* Orion. deinde *ἀνθρώπου* Max. 4. *ἀγορᾷ* Mein.] *ἀγοραῖς* Or. 5. *ἐπὰν*] *ὅταν* Plut. 471, *τὴν θύραν* idem. *οὐχὶ τὴν θύραν, ἀλλὰ τὴν ψυχήν, τρισάθλ.* Themist.

1. *λαλοῦσιν* Mein. ed. mai. *εἰσὶν ταλαιπωροί τε καὶ τρισάθλιοι* Heimsoeth. Ind. Bonn. 1867 aest. xv. *οἷοι λάλοι γενονότες* (haec verba cum superioribus cohaesisse censens)· *ὦ τρισάθλιοι* Enger. Progr. gymn. Posn. Mar. 1868, 14. *οἷοί μ' ἄρ' ἔλαθον ὄντες, ὡς τρ.* Herwerd. Mnem. nov. VI 75. *οἷοι διάγουσιν ὄντες* K.

303

τί λέγων ἀποτρώγειν ἀξιώσει νῦν ἐμοῦ
τὸ μισθάριον; μένω γὰρ ἐξ ἐχθιξινοῦ.

Bekker. Anecd. 438, 9 *ἀποτρώγειν· ἀφαιρεῖν. οὕτω Μένανδρος Κυβερνήταις κτλ.* de voce *ἐχθιξινός* cf. Lobeck. Phryn. 323. — 1. *ἀξιώσει*, sine dubio *ὁ δεσπότης*, quod moneo contra Naber. Mnem. nov. VIII 417. 2. 'frustra maneo mercedem exspectans'.

304

εἰς τὴν πονηρίαν ἀτυφίαν νομίσαντές ποτε ἀξιοῦσι πέρας.

Bekker. Anecd. 462, 5 *ἀτυφία, ταπεινοφροσύνη. Μένανδρος Κυβερνήταις κτλ.* extrema saltem emend. Cobet. N. l. 88 *τί ποθ' ἕξουσιν πέρας;* '*quo tandem evadent?*'

305

ἐπελάθεθ' αὑτὸν ὅστις εἴη.

Priscian. 18, 216 *Attici ἐπιλέλησμαι τοῦδε καὶ τόδε . . . Menander Κυβερνήταις· ἐπελάθετο κτλ.* codicum varietates ad nostrum consilium inutiles enotavit Hertz.

ΚΩΝΕΙΑΖΟΜΕΝΑΙ

Photius *κωνειαζομέναις· θανάσιμον φάρμακον πινούσαις.* Strab. 10, 486 *προσέταττε γὰρ ὁ (Κείων) νόμος τοὺς ὑπὲρ ἑξήκοντα ἔτη γεγονότας κωνειάζεσθαι.* scilicet cognoverant tunc cicutae ope *ταχεῖαν καὶ ἐλαφρὰν γίνεσθαι τὴν ἀπαλλαγήν.* Theophr. H. plant. 9, 16 extr.

306

ὥστε μηδεὶς πρὸς θεῶν
πράττων κακῶς λίαν ἀθυμήσῃ ποτέ·
ἴσως γὰρ ἀγαθοῦ τοῦτο πρόφασις γίνεται.

Stobaeus Floril. 108, 48 *Μενάνδρου Κονιαζομέναις* A. *Κωνειαζομέναις* Mein. 1. *μηθεὶς* libri.

307

τὸ γνῶθι σαυτὸν ἔστιν, ἂν τὰ πράγματα
εἰδῇς τὰ σαυτοῦ καὶ τί σοι ποιητέον.

Stobaeus Floril. 21, 2 *Μενάνδρου Κοτταβιζούσαις.* sic fere B. *κοταβιζούσαις* Voss. Hens. *κωταζομ/* (supra *οισ*) A. recte Orion. Anthologn. 1, 18 *ἐκ τῶν Κωνειαζομένων.* 1. *σεαυτὸν* B[1]. 2. *εἰδῇς* Mein.] *ἴδῃς. ἑαυτοῦ* Voss. B[1].

308

Schol. Clem. Alex. Protr. 2, 26 p. 423 Dindf. *Ἐπιμενίδης ἐκάθηρε τὰς Ἀθήνας· ἦν δὲ Κρὴς τῷ γένει καὶ σοφώτατος, οὗ καὶ Μένανδρος μέμνηται ἐν ταῖς Κωνεαζομέναις.*
Cf. praeterea 613.

ΛΕΥΚΑΔΙΑ

Harpocration *Λευκάς* . . . *ἐν μέσῳ δὲ καὶ τὸ Μενάνδρου δρᾶμα ἡ Λευκαδία.* Servius Verg. Aen. 3, 279 *Varro templum Veneri ab Aenea conditum ubi nunc Leucas est dicit, quamvis Menander et Turpilius comici a Phaone Lesbio id templum conditum dicant: qui cum esset navicularius, solitus a Lesbo in continentem proximos quosque mercede transvehere, Venerem mutatam in anuis formam gratis transvexit: quapropter ab ea donatus unguenti alabastro, cum se in dies inde totum ungeret, feminas in sui amorem trahebat. in queis fuit una, quae de monte Leucate, cum potiri eius nequiret, abiecisse se dicitur.* de Sexti Turpilii *Leucadia* cf. O. Ribbeck Annal. Fleckeis. LXIX 34 sq. Com. R. fr.² 97. 8. qui utriusque comoediae argumentum sic fere adumbrat. puella quaedam duos amatores habet, alterum adulescentem modestum, alterum Phaonem, senem sed a Venere in iuvenem transmutatum et pulchritudinis conscientia fastidiosum. puella desiderio Phaonis simul et metu ne ille alteram amet conficitur ac tandem desperans se amorem eius nancisci posse de Leucate in mare se proicit, sed ab adulescente ex mortis periculo eripitur. quo facto Phaon rursus in senem convertitur, adulescens autem puella amata potitur. cf. Turpil. fragm. 1. 8. 11. 12. Cic. Tusc. 4, 34, 72 *est certe* (aliquis amor), *qui nihil absit aut non multum ab insania, qualis in Leucadia est.* cf. etiam quae ad Platonis *Phaonem* adnotavimus I 645. 6.

309

ὅστις ὑπέχει χρυσίῳ
τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βούλεται.

Stobaeus Floril. 10, 20 *Μενάνδρου Λευκαδίᾳ* A (*λευκαδεία, λευκαδία* Voss. Hens.). Maximus Conf. 12, 35 p. 571 Combefis. 2. *φησὶ* Max. *βούλεται* N et B¹] *βουλεύεται* (etiam Max.). Diogenian. 3, 12 (Apost. 4, 27) *Ἀττικὸς ὑπέχει τὴν χεῖρα ἀποθνήσκων· ἐπὶ τῶν φιλαργύρων.*

310

ἀεὶ νομίζονθ᾽ οἱ πένητες τῶν θεῶν.

Stobaeus Floril. 95, 4 *Μενάνδρου Λευκαδίᾳ* A. *νομίζεθ᾽* (i. e. *νομίζεσθ᾽*) B.

311

ἐπίθες τὸ πῦρ ἡ ζάκορος· οὑτωσὶ καλῶς.

Etymolog. m. 407, 22 (usque ad *ζάκορος* etiam Miller. Mélanges 139), Photius et Suidas *ζάκορος . . . Μένανδρος Λευκαδίᾳ κτλ. ἡ ζάκορος ἱερέως οὑτωσὶ καλῶς* ABVE Suid.

312

οὗ δὴ λέγεται πρώτη Σαπφὼ
τὸν ὑπέρκομπον θηρῶσα Φάων'
οἰστρῶντι πόθῳ ῥῖψαι πέτρας
ἀπὸ τηλεφανοῦς ἅλμα κατ' εὐχὴν
σήν, δέσποτ' ἄναξ . . . .

Strabo 10, 452 *ἔχει τὸ τοῦ Λευκάτα Ἀπόλλωνος ἱερὸν καὶ τὸ ἅλμα τὸ τοὺς ἔρωτας παύειν πεπιστευμένον. οὗ δὴ λέγεται πρώτη Σαπφώ, ὥς πού φησιν ὁ Μένανδρος, τὸν ὑπέρκομπον κτλ. ὁ μὲν οὖν Μένανδρος πρώτην ἁλέσθαι λέγει τὴν Σαπφώ.* ex *Leucadia* excerptum esse adparet. Schol. Hephaestion. 9, 1 p. 126 Gaisf. *κατὰ περιορισμοὺς δὲ ἀνίσους, οἷα ἐστὶν ἡ εἰσβολὴ τῆς Λευκαδίας Μενάνδρου*, quae ad hoc ipsum carmen pertinere adparet, quod post prologum positum fuerat. cf. Mein. I 443. — 3. *οἰστρῶντι*] *οἰστροῦντι*? nam Attici semper *οἰστρήσειν, οἰστρῆσαι, οἰστρηθῆναι. πέτρας*] fortasse *σκοπιᾶς*, ad amovendam positionem debilem. 4. *ἀπὸ*] *κατὰ* Herwerd. Obs. crit. 88. (Cob. V. l.[2] 277). *ἅλμα* Wordsworth. Theocrit. 3, 25] *ἀλλὰ*. recte Wordsw.: nam Strabonem mediam sententiam abrupisse credi vix potest. 5. *σὸν* Bentl., coniungendum cum *τέμενος* fr. 313, quod ille cum hoc (312) conectebat. mihi *κατ' εὐχήν* corruptum et scribendum videtur *κατ' αὐλὴν σήν*. cf. quae adnotavimus ad Pherecr. 46. nam '*ex tuo voto, quemadmodum tibi vovimus*' cum Meinekio scripturam vulgatam explicari posse despero. — ceterum cf. Phot. *Λευκάτης· σκόπελος τῆς Ἠπείρου* (?), *ἀφ' οὗ ῥίπτουσιν αὐτοὺς εἰς τὸ πέλαγος οἱ ἱερεῖς* (*ἐρασταί* Schleusner.). *Σαπφὼ δὲ πρώτην ἐπὶ Φάωνι τοῦτο ποιῆσαι τὴν ποιήτριαν· οἱ δὲ τὴν ἑταίραν· ἐγένετο γὰρ ἄλλη* [*Λεσβία*] *ἑταίρα.*

313

εὐφημείσθω
τέμενος πέρι Λευκάδος ἀκτῆς.

Hesychius *Λευκάδος· Μένανδρος ἐν Λευκαδίᾳ κτλ.* quamquam fuerunt qui *Leucadiae* Menandreae commemorationem ad glossam Hesychii paullo infra positam *λευκὴ ἡμέρα· ἀγαθή* conl.

fr. 315 pertinere existimarent. sed in eadem fabula orae Leucadiae et proverbii (λευκὴ ἡμέρα) mentionem fieri cur incredibile sit non video, cum praesertim Hesychium proverbia saepissime nullo adiecto testimonio commemorare constet. Bentleius fr. 312 et 313 coniunctis hanc subesse sententiam arbitrabatur: 'unde prima Sappho se praecipitavit et periit. sed (ἀλλά) quid tristia illa recenseo? potius bona et fausta verba dicantur in tuo templo'. itaque κατ' εὐχήν videtur interpretatus esse 'inter precationem'. at nequaquam haec, quamquam ex eodem carmine excerpta sunt, tam arte cum superioribus cohaerent: sed haud pauci versus videntur interiecti fuisse. fr. 313 autem clausula erat cantici. 2. πέρι Bernhardy] περὶ.

314

πάφωνε οὐρεία χέλυς

Bekker. Anecd. 1431 (ex Choerob.) *χέλυς χέλυος. σημαίνει δὲ τὴν κιθάραν κτλ. Μένανδρος ἐν Λευκαδίᾳ.* Eurip. Alc. 446 *ἑπτάτονον ὀρείαν χέλυν.* Herc. fur. 683 *χέλυος ἑπτατόνου μολπάν*, unde *ἑπτάφωνε* Lobeck. *οὐρεία* Menandri esse non potest, quamquam testudo *ὀρεία χέλυς* bene dicitur. *ὄρεσι ζώουσα* Hymn. Merc. 33 (cf. 24 sq.). fortasse *ἑπτάφωνος Ἑρμαία χέλυς*, *a Mercurio inventa.* Horat. C. 1, 10, 6. 3, 11, 1. 3.

315

Zenobius 6, 13 *Μένανδρος δέ φησιν ἐν Λευκαδίῳ* (*Λευκαδίᾳ*) *τὴν ἀγαθὴν ἡμέραν λευκὴν καλεῖσθαι.* cf. Eupol. 174. Plut. Per. 27 cum adn. Sinten. Macar. 5, 51. Append. prov. 3, 60. Phot. Suid. Hesych. Bekker. Anecd. 106, 33 (Soph. fr. 5 N.). *candidi soles* Catull. 8, 3 (Ellis Journ. Philol. X 19).

316

ὀνόματα

Olympiodor. Aristot. Categ. 2, 2 cod. Mutin. 69 *διττὸν τὸ ὄνομα· τὸ μὲν πτωτικόν, ὃ καὶ τοῖς γραμματικοῖς ἔθος καλεῖν οὕτω, τὸ δὲ φερόμενον κατὰ πάσης λέξεως σημαινούσης τι· οὕτω γὰρ καὶ ὁ Μένανδρος ἐν προοιμίοις τῆς Λευκαδίας ὀνόματα ἐκάλεσεν πᾶσαν λέξιν, καὶ αὐτὸς δὲ ὁ Ἀριστοτέλης ἐν τῷ Περὶ ἑρμηνείας ὀνόματα καλεῖ πᾶσαν λέξιν.* per litteras mecum communicavit Dilesius.

317

συντρίβειν

. . *Μένανδρος κέχρηται ἐν Λευκαδίᾳ.* Schol. Aristoph. Acharn. 284. *συντρίβειν* Mein.] *συντριβείη.* cf. 78.

ΛΟΚΡΟΙ

Cf. Quintilian. 10, 1, 70 (in eis quae ad *Epicleron* adnotantur). *Λοκρίδες* fuerunt Anaxandridis.

318

ὑγιέστερος κροτῶνος

ἐπὶ τῶν πάνυ ὑγιαινόντων ἡ παροιμία ἀπὸ τοῦ ζῴου τοῦ κροτῶνος. λεῖον γάρ ἐστιν ὅλον καὶ χωρὶς ἀμυχῆς καὶ μηδὲν ἔχον σίνος. μέμνηται ταύτης Μένανδρος ἐν Λοκροῖς. Zenobius 6, 27. cf. Macar. 5, 33. Suidas et Photius 180, 16. 614, 22. Aelian. Epist. 10 p. 19 Hercher. *ὑγιεινότερος ἔσται κροτῶνος.* prorsus aliam explicationem Strabo praebet 6, 262 *τὴν παροιμίαν ὑγιέστερον Κρότωνος λέγουσαν ἐντεῦθεν εἰρῆσθαί φασιν, ὡς τοῦ τόπου πρὸς ὑγίειαν καὶ εὐεξίαν ἔχοντός τι φορὸν διὰ τὸ πλῆθος τῶν ἀθλητῶν.* de accentu Herodian. I 36, 17 *τὸ δὲ κρότων, ὅτε τὸν κτίστην ἢ τὴν πόλιν . . . σημαίνει . . . βαρύνεται, τὸ μέντοι ἐπὶ τοῦ φθαρτικοῦ τῶν κυνῶν* (sunt *κυνοραισταί* Hom. Od. 17, 300) *ὀξύνεται.*

ΜΕΘΗ

Athenaeus 6, 247 e *Μένανδρος ἐν Μέθῃ (παράσιτον εἰσάγει?).*

319

εἶτ' οὐχ ὅμοια πράττομεν καὶ θύομεν;
ὅπου γε τοῖς θεοῖς μὲν ἠγορασμένον
δραχμῶν ἄγω προβάτιον ἀγαπητὸν δέκα,
αὐλητρίδας δὲ καὶ μύρον καὶ ψαλτρίας,
Μενδαῖον, Θάσιον, ἐγχέλεις, τυρόν, μέλι,
μικροῦ τάλαντον, γίνεταί τε κατὰ λόγον
δραχμῶν μὲν ἀγαθὸν ἄξιον λαβεῖν δέκα
ἡμᾶς, ἐὰν καὶ καλλιερηθῇ τοῖς θεοῖς,
τούτων δὲ πρὸς ταῦτ' ἀνελεῖν τὴν ζημίαν,
πῶς οὐχὶ τὸ κακὸν τῶν ἱερῶν διπλάζεται;
ἐγὼ μὲν οὖν ὤν γ' ὁ θεὸς οὐκ εἴασα τὴν
ὀσφὺν ἂν ἐπὶ τὸν βωμὸν ἐπιθεῖναί ποτε,
εἰ μὴ καθήγιζέν τις ἅμα τὴν ἔγχελυν,
ἵνα Καλλιμέδων ἀπέθανεν εἷς τῶν συγγενῶν.

Athenaeus 8, 364 d *θύοντες τοῖς θεοῖς ὀλίγιστα εἰς τὰς θυσίας καὶ πλεῖστα εἰς τὰ τυχόντα δαπανῶμεν, ὥσπερ ὁ καλὸς Μένανδρος ἐν τῇ Μέθῃ παρίστησιν κτλ.* v. 1—6 Athenaeus 4, 146 d *Μένανδρος ἐν Μέθῃ τοῦ μεγίστου δείπνου δαπάνημα τάλαντον τίθησι λέγων*

οὕτως κτλ., ὡς γὰρ ὑπερβολῆς τινος ἀναλώματος τάλαντον ὠνόμασεν. 1. εἶθ' 146 A. ὅμοια 146] ἅπαντα 364. 3. conl. v. 1 et 8 scribendum est ἄγομεν. ἀγαπητῶν 364 A. δώδεκα 146 A. 5. Μενδαῖον 364 A] ταύτας 146 A. συνάγοντι G. Hermann. Μενδαῖον, ἐγχέλεις, Θάσιον Porson. Adv. 94. τυρόν, Θάσιον, Μενδαῖον, ἐγχ. μέλι Mein. in ed. Ath. 6. τάλαντον 146 A] ταλάντου 364 A. τε 364 A] τὸ. τοι Mein. 1. καταλογον 146 A. 9. ἀνελεῖν (non ἂν ἑλεῖν) A. τούτων δὲ καὶ — ἀνελεῖν G. Herm. ἀντανελεῖν Dobr. Adv. II 321 conl. Demosth. 18, 231 ἀντανελεῖν ταῦτα (nos *gegen einander aufheben*). cf. Cobet. N. l. 79. 80. τούτων, τοσαύτην δ' ἀνθελεῖν Pflugk. Sched. crit. 22. 11. ὧν ἂν θεὸς Herwerd. Obs. crit. 89. 13. τιν' ἔγχελυν Dobr.

1. 'non mirum est male nobiscum agi, cum male deis litemus.' Mein. 3. de voce ἀγαπητόν idem confert Hipparch. 1, 3. Diphil. 89, 2. tamen scr. ἀνάπηρον. cf. Hermipp. 35. [Plat.] Alcib. II 149 a (Λακεδαιμόνιοι) ἀνάπηρα θύουσιν ἑκάστοτε. 5. *Thasium* et *Mendaeum* coniunxit etiam Demosth. 35, 35. 6. 'γίνεται τὸ κατὰ λόγον referenda sunt ad ea quae sequuntur: *si tam maligne sacra facimus et luxuriae instrumenta tam magno emimus*, γίνεται τὸ κατὰ λόγον δραχμῶν ἀγαθὸν ἄξιον λαβεῖν δέκα ἡμᾶς'. Cobet. N. l. 79. at tum sententia hiabit v. 10 πῶς οὐχὶ κτλ. itaque praeterea ex cod. A 364 v. 6 recipiendum duxi τε, ut protasis pertineat usque ad finem v. 9. 8. καὶ καλλ. scilicet si sacra etiam bene cesserint: sin minus, ne tantum quidem bonum nos accipere aequum est. 9. fortasse τύφου δὲ πρὸς τούτοις ἀνελεῖν τὴν ζ. 10. διπλάζεται, quia et pecunia perit et poena a sacrificantibus exigitur. 14. an Καλλιμέδοντος ἀπέθαν' εἷς? nam *Callimedon* ipse (cf. Antiphan. 26, 5) tunc sine dubio dudum mortuus erat.

320

ἐμὲ γὰρ διέτριψεν ὁ
κομψότατος ἀνδρῶν Χαιρεφῶν, ἱερὸν γάμον
φάσκων ποιήσειν δευτέραν μετ' εἰκάδα
καθ' αὑτόν, ἵνα τῇ τετράδι δειπνῇ παρ' ἑτέροις·
τὰ τῆς θεοῦ γὰρ πανταχῶς ἔχειν καλῶς.

Athenaeus 6, 243 a καὶ Μένανδρος αὐτοῦ (Χαιρεφῶντος) μνημονεύει . . . ἐν Μέθῃ κτλ. vicesimus quisque mensis dies Apollini sacer erat eoque lauta inter amicos cognatosque convivia instituebantur. τετράδι Hercules natus erat, in cuius honorem opulentiores Atheniensium adulescentes amicos epulis excipere solebant. sic fere Mein. 1. sed neque ille neque quisquam alius locum obscurum inlustravit: nam quae Herwerdenus profert Obs. crit. 90 ea per-

multis laborant difficultatibus. de ἱερῷ γάμῳ cf. Preller. Myth. gr.[2] I 127. 8. 1. *ἐμὲ διέτριψεν.* sic iam Homerus Od. 2, 204 *ὄφρα κεν ἥ γε διατρίβῃσιν Ἀχαιούς.* 5. Eurip. Iph. Taur. 467 *τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχῃ φροντιστέον μοι.* cf. Arist. Pac. 868. Phryn. com. 9.

321

. . . . *Ἀδράστεια καὶ*
θεὰ σκυθρωπὲ Νέμεσι, συγγινώσκετε.

Miller. Mélanges 382 *Ἀδράστεια· ἑταίρα τῆς Νεμέσεως. Μένανδρος Μέθῃ κτλ. θεὰ σκυθρωπὲ Νέμεσι* Mein. Herm. III 456. 7] *θεαὶ σκυθρωπαὶ Νέμεσις.* Bekker. Anecd. 342, 6 et Suidas *Ἀδράστεια· οἱ μὲν τὴν αὐτὴν τῇ Νεμέσει λέγουσιν . . . ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτὴν τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος* (37). cf. quae ad Cratini *Nemesin* adnotavimus I 47 et Lehrs Pop. Aufs. 57. 8.

322

. . . *εἶτ' οὐκ εἶχεν οὐ πῦρ, οὐ λίθον,*
οὐκ ἄλλο τοιοῦθ'· ἕτερον.

Bekker. Anecd. 379, 31 et Suidas *ἄλλο ἕτερον· ἐκ παραλλήλου λέγουσιν. Μένανδρος Μέθῃ κτλ. ἄλλο τοιοῦθ'* Dindf. Ann. Fleckeis. 1869, 524] *ἄλλο τι οὔθ'* Suid. et Bekk. cod. *ἄλλ' ὁτιοῦν* Porson Tracts 200.

ΜΕΣΣΗΝΙΑ

Cf. *Ἀνατιθεμένη ἢ Μεσσηνία.*

ΜΗΝΑΓΥΡΤΗΣ

Cf. quae ad Antiphanis *Μηναγύρτην* adnotavimus II 74.

323

οὕτω μαθεῖν δεῖ πάντα καὶ πλοῦτον φέρειν·
ἀσχημοσύνης γὰρ γίνετ' ἐνίοις αἴτιος.

Stobaeus Floril. 94, 7 (cum fr. 114 coniunctum) *Μενάνδρου Μηναγύρτῃ* A. cf. quae ad 114 adnotantur. — scr. *πάντα, παῖ, πλ. φ.*, i. e. *δεῖ πάντα (unumquemque) μαθεῖν φέρειν οὕτω τὸν πλ.*

324

προπίνων Θηρικλείαν τρικότυλον

Athenaeus 11, 472 b *θηλυκῶς δὲ τὴν Θηρίκλειον εἶπε Μένανδρος . . . ἐν Μηναγύρτῃ κτλ.* *Θηρικλείαν* Dindf.] *θηρίκλειον* A. *μεστὴν προπ. θηρίκλειον* Mein. Anal. Ath. 217. cf. 226.

ΜΙΣΟΓΥΝΗΣ

Phrynich. Epit. 417 *Μένανδρος τὴν καλλίστην τῶν κωμῳδιῶν τῶν ἑαυτοῦ τὸν Μισογύνην κατεκηλίδωσεν εἰπών* (excidit poetae dictum. cf. fr. 334). finxerat poeta hominem, quem matrimonii initi mox (ut *Δύσκολον* Libanii) adeo paeniteret, ut quidquid uxor et luxuriae et superstitioni dedita ageret ei odiosum esset et molestum. cf. etiam Leutsch. Philol. XV 625. — Cic. Tusc. 4, 11, 25 *odium mulierum, quale in Μισογύνῃ Atilii est.* O. Ribbeck. Com. R. fr.[2] 32.

325

πρὸς τὸ πρᾶγμ᾽ ἔχω
κακῶς. B. ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις·
τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ, τὰ δ᾽ ἀγάθ᾽ οὐκέτι βλέπεις.
εὕροις δ᾽ ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
ἀγαθὸν ὅτῳ τι μὴ πρόσεστι καὶ κακόν.
γυνὴ πολυτελής ἐστ᾽ ὀχληρόν, οὐδ᾽ ἐᾷ
ζῆν τὸν λαβόνθ᾽ ὡς βούλετ᾽· ἀλλ᾽ ἔνεστί τι
ἀγαθὸν ἀπ᾽ αὐτῆς, παῖδες· ἐλθόντ᾽ εἰς νόσον
τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς,
ἀτυχοῦντι συμπαρέμεινεν, ἀποθανόντα τε
ἔθαψε, περιέστειλεν οἰκείως· ὅρα
εἰς ταῦθ᾽, ὅταν λυπῇ τι τῶν καθ᾽ ἡμέραν.
οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ᾽· ἂν δ᾽ ἐκλέγῃ
ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
τῶν προσδοκωμένων, ὀδυνήσει διὰ τέλους.

v. 1—4 Clemens Alex. Strom. 2, 23, 141 *ὁ κωμικὸς Μένανδρος καταδραμὼν τοῦ γάμου, ἀλλὰ καὶ τὰ χρήσιμα ἀντιτιθεὶς ἀποκρίνεται τῷ εἰπόντι* (v. 1. 2), *εἶτ᾽ ἐπιφέρει* (3. 4) *καὶ τὰ ἑξῆς.* v. 3—6 Stobaeus Floril. 108, 44 *Μενάνδρου Μισογύνου* A. v. 5. 6 Stobaeus Floril. 105, 10 *Μενάνδρου* A. v. 7 sq. Stobaeus Floril. 69, 4 *Μενάνδρου* A. v. 14 (*ἂν ἐκλέγῃ*) — 16 Stobaeus Floril. 108, 41 *Μενάνδρου Μισογύνου* A. itaque haec omnia esse ex *Misogyne* constat, de continuitate v. 6 et 7 non constat. — 3. *δυσχερῆ τε* Clem. *λυπήσαντα* Clem.] *λυπήσοντα* AB Vind. Stob. 4. *οὐκ ἐπιβλέπεις*

Clem., probatum Herwerdeno Obs. crit. 122 conl. [Isocr.] 1, 21 extr. 5. ἂν om. Voss. Stob. 105. οὐδὲν B] οὐθὲν. Σιμύλε] ὦ Δημέα Stob. 105 (ὦ om. B). Δημύλε Mein. 6. ὅτῳ Grot.] ὅπου. ἐν ᾧ Stob. 105. cf. Cobet N. l. 88 (Mnem. nov. II 433 ὅτῳ μὴ καὶ κακὸν πρόσεστί τι). τι om. Voss. 8. ἕν ἐστι A probante Mein. V 104. τι B Voss.] τοι. 8. 9 ἕν ἐστί τοι ἀγαθὸν ἀπ' αὐτῆς δῆλον O. Hense Lect. Stob. 31. ἔχει τί τοι | ἀγαθὸν ἀπ' αὐτῆς πᾶς τις ἐλθὼν κτλ. Heimsoeth. Ind. Bonn. 1867 aest. XIIII. fortasse ἀπ' αὐτῆς αὖθις. nam *liberi* quidem nec bene hic coniunguntur cum ceteris matrimonii commodis neque fuerunt illis temporibus ἀγαθὸν ἀναμφισβήτητον (cf. 418). 10. τὸν ἔχονθ' ἑαυτὴν, *maritum,* Herwerd. Nov. add. crit. 39. 12. ὅρα B] ὁρᾷ. 14. δ' ἐκλέγῃ A 108] δὲ λέγῃς A Voss. 69. 16. προσδοκωμένων 108] προσλεγομένων 69. προσγενομένων Voss. 69. προσλελεγμένων B 69. ὀδυνήσῃ 108] οὐ δυνήσῃ 69.

4. ἐν αὐτῷ (τῷ πράγματι) i. e. in matrimonio. 6. *nullam rem inveneris, cui non boni aliquid simul et mali innatum sit.* itaque post ἀγαθόν non erat interpungendum.

326

ἐθύομεν δὲ πεντάκις τῆς ἡμέρας,
ἐκυμβάλιζον δ' ἑπτὰ θεράπαιναι κύκλῳ·
αἱ δ' ὠλόλυζον.

Strabo 7, 297 ἅπαντες τῆς δεισιδαμιονίας ἀρχηγοὺς οἴονται τὰς γυναῖκας· αὗται δὲ καὶ τοὺς ἄνδρας προκαλοῦνται πρὸς τὰς ἐπὶ πλέον θεραπείας τῶν θεῶν . . . τὸν δὲ Μισογύνην αὐτὰ (scr. ταὐτὰ) ταῦτα αἰτιώμενον (ποιεῖ Μένανδρος) κτλ. 3. αἱ δὲ sunt reliquae quae aderant mulieres.

327

ἕλκει δὲ γραμματείδιον
ἐκεῖσε δίθυρον καὶ παράστασις, μία
δραχμή.

Harpocration 148, 1, Photius, Suidas παράστασις . . . ἔστι δὲ δραχμὴ καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Μένανδρος Μισογύνῃ κτλ. 1. γραμματείδιον N Harp.] γραμματεῖον A. γραμμάτιον B. γραμματίδιον cet. et Phot. — γραμμ. est libellus, in quo actor et nomen suum et causam scribebat: qui libellus reo tradebatur. δίθυρος autem dicitur, quia ex duabus tabulis vel duobus foliis constabat. Poll. 10, 57 γραμματείδιον δίθυρον ἢ τρίπτυχον ἢ καὶ πλειόνων πτυχῶν. Hesych. δίθυρον· γραμματίδιον δίπτυχον. idem θυρίς . . . θυρίδας Ἀττικοὶ τὰς τῶν γραμμάτων (γραμματείων Hemsterh.) πτυχάς· καὶ δίθυρον λέγουσιν· οὐ τρίθυρον ἀλλὰ

τρίπτυχον (sic Salm. pro τρίπυλον). cf. adesp. 778. — Poll. 8, 39 ἡ δὲ παράστασις δραχμὴ ἦν, ἣν ὁ διώκων παρὰ διαιτητῇ προεισέφερεν. cf. 8, 127. Schoemann. Ant. gr.² I 489. 502. loquitur uxor τοῦ μισογύνου. ac sic fr. 328.

328

ὄμνυμί σοι τὸν ἥλιον,
ἦ μὴν ἀποίσειν σοι γραφὴν κακώσεως.

Priscianus 18, 247 *Attici* ὄμνυμι θεούς . . . *Menander* . . . *in Misogyno* κτλ. ἀποίσειν VRM (cf. Cobet. Mnem. VII 186)] ποιήσειν C(O). ἐποίσειν Markland. Eur. Suppl. 1192. ἐπιθήσειν Porson. Adv. 293. conficit rem Demosth. 27, 12 ὅταν κατ' αὐτῶν τὰς γραφὰς ἀπενέγκωμεν (πρὸς τὸν ἄρχοντα). de γραφῇ κακώσεως Schoemann. Ant. gr.² I 533. 4.

329

χαῖρ', ὦ Γλυκέριον. ΓΛ. καὶ σύ. Α. πολλοστῷ χρόνῳ
ὁρῶ σε.

Priscianus 18, 251 *Attici* ὅσῳ χρόνῳ. Μένανδρος Μισογύνῃ κτλ. Γλυκέριον Bentl.] γλυκέρα codices. ὦ χαῖρε Γλυκέρα Porson. χαῖρ' ὦ Γλυκέρα μοι Spengel. ὦ χ. Γλυκέρα. Γλ. καὶ σὺ πόλλ'. Α. ὅσῳ χρόνῳ C. F. Hermann. Mus. Rh. V 614. χαῖρ' ὦ Γλυκέριον. Γλ. καὶ σύ γε. Α. πολλοστῷ Cobet. N. l. 88. 9 conl. Arist. Lys. 6. '*longum post tempus*'. Philostr. Epist. 38, 357 Τιμαγόρα καὶ Λαῒς . . καὶ τὸ Μενάνδρου Γλυκέριον.

330

ἀλλ' οὐ τὰ βίου νῷν ἴσως δεῖ φροντίσαι.

Priscianus 18, 305 *Attici* 'φροντίζει τῶνδε' καὶ 'τάδε' καὶ 'περὶ τῶνδε'. Μένανδρος Μισογύνῃ κτλ. ἀλλ' οὐ Putsch.] ΑΛΟΥ VML. οὐδὲ vel οὐχὶ Mein. οὐ τὰ βιότου Bentl. οὐ τὰ Τιβίου Bergk. perperam: nam prima syllaba producitur. Leucon. 3.

331

χλαμύδα, καυσίαν,
λόγχην, ἀόρτην, ἱμάτια.

Pollux 7, 79 ῥίσκοι . . . καὶ ἀόρται, Μενάνδρου εἰπόντος ἐν Μισογύνῃ κτλ. idem 10, 139 τὸ γὰρ ἐν Μισογύνῃ Μενάνδρου κτλ. ἀμφίβολον, ὅτι ἔνιοι καὶ ἀορτῆρα (Pherecr. 37) γράφουσιν. ac 10, 162 ἡ δὲ καυσία πῖλος Μακεδονικὸς παρὰ Μενάνδρῳ. cf. Diphil. 40. Posidipp. 10.

332

Athenaeus 15, 691 c *ἐπιπράσκετο Ἀθήνησιν ἡ τοῦ μύρου κοτύλη ὡς μὲν Ἵππαρχός φησιν* (fr. 4) *πέντε μνῶν, ὡς δὲ Μένανδρος ἐν Μισογύνῃ, δέκα. πέντε*] ε̄ A. *δέκα*] ῑ A. cf. Antiphan. 223. videtur *ὁ μισογύνης* queri de uxoris luxuria.

333

ἐπιχρύσους σανδαλοθήκας

Pollux 7, 87 *Μένανδρος ἐν Μισογύνῃ καὶ ἐπ. σ. λέγει.* idem 10, 50 *Μένανδρος ἐν Μισογύνῃ καὶ σανδαλοθήκας* (*εἴρηκεν*) et 10, 127 *παρὰ Μενάνδρῳ ἐν Μισογύνῃ σανδαλοθῆκαι.* fortasse ex eadem mariti oratione ac fr. 332.

334

Phrynichus Epit. 417 *γῦρος· καὶ τοῦτο Μένανδρος τὴν καλλίστην τῶν κωμῳδιῶν τῶν ἑαυτοῦ, τὸν Μισογύνην, κατεκηλίδωσεν εἰπών* (lacunam indic. Lobeck). *τί γὰρ δὴ γῦρός ἐστιν οὐ συνίημι. τοῦτο*] *τούτῳ* Bentl. Eustath. 1864, 5 *οἱ παλαιοί φασιν ὅτι γυροὶ λέγονται καὶ οὗ τὰ φυτὰ ἐμβάλλουσι (scrobes).* ac sic Theophrast. Caus. pl. 3, 4, 1. 6, 2. 12, 1. (Aelian. N. an. 9, 32). ut nesciam quid causae habuerit Phrynichus hanc vocem vituperandi. nisi forte apud Menandrum *γῦρος* erat ornamentum muliebre.

Praeterea cf. fr. 601.

ΜΙΣΟΥΜΕΝΟΣ

Libanius IIII 512, 1 Reisk. *ἔχεις ἐκ τῆς κωμῳδίας παραλαβών, ὡς ὑπέρογκόν τι καὶ σοβαρὸν καὶ πολλή τις ἀλαζονεία στρατιώτης ἀνήρ. εἴ τις ὑμῶν φαντάζεται τὸν Μενάνδρου Θρασωνίδην, οἶδεν ὃ λέγω· στρατιωτικὴν γάρ φησιν ἀηδίαν νοσοῦντα τὸν ἄνθρωπον εἰς ἀπέχθειαν αὐτῷ κινῆσαι τὴν ἐρωμένην· καὶ γέγονεν ἀμέλει προσηγορία τῷ δράματι τοῦ Θρασωνίδου τὸ μῖσος.* indicat ʻnotissimam Menandri fabulam *Μισούμενον*, in qua miles ille *Thrasonides* primas partes agebat'. Bentl. servus eius erat *Γέτας*. argumentum fabulae exponit Arrian. Dissert. Epict. 4, 1, 19 Schweigh. *πρῶτον μὲν ἐξελήλυθε τῆς νυκτός, ὅτε Γέτας οὐ τολμᾷ ἐξελθεῖν . . . εἶτα ξίφος αἰτεῖ, καὶ πρὸς τὸν ὑπ' εὐνοίας μὴ διδόντα χαλεπαίνει, καὶ δῶρα τῇ μισούσῃ πέμπει καὶ δεῖται καὶ κλάει. πάλιν δὲ μικρὰ εὐημερήσας ἐπαίρεται· πλὴν καὶ τότε πῶς;* Diogenes L. 7, 130 *τὸν γοῦν Θρασωνίδην καίπερ ἐν ἐξουσίᾳ ἔχοντα τὴν ἐρωμένην διὰ τὸ μισεῖσθαι ἀπέχεσθαι αὐτῆς.* (cf. fr. 336.) tandem puellam ei ereptam esse consentaneum est ab aemulo adulescente. Irenaeus Contra haer. 2, 27 p. 151 (Thrasonides) *qui est apud comicum Menandrum valde*

amans et odibilis. cf. Plut. Mor. 1095 d (exscr. sub tit. *Thrasyleontis*). Alciphr. 2, 4, 19 (ad *Ἐπιτρέποντας*). Anthol. Pal. 5, 218 (ad *Dyscolon*). 12, 233 (ad *Georgon*). Martial. 14, 214 (ad *Δὶς ἐξαπατῶντα*). Lucian. Dial. meretr. 13. Alciphr. 3, 36.

335

εἰ γὰρ ἐπίδοιμι τοῦτο, καὶ ψυχὴν πάλιν
λάβοιμ' ἐγώ· νυνὶ γάρ — ἀλλὰ ποῦ θεοὺς
οὕτως δικαίους ἔστιν εὑρεῖν, ὦ Γέτα;

Iustinus De mon. 40 b (142 Otto) *ἐν Μισουμένῳ ἀποφαίνων περὶ τῶν εἰς θεοὺς παραλαμβονομένων τὰς γνώμας, μᾶλλον δὲ ἐλέγχων ὡς οὐκ ὄντας ὁ αὐτὸς Μένανδρος κτλ.* 1. frustra *κἂν* Mein. et Otto. *πάλιν* add. Bentl. 2. post *γάρ* orationem abrumpit.

336

παρ' ἐμοὶ γάρ ἐστιν ἔνδον, ἔξεστιν δέ μοι
καὶ βούλομαι τοῦθ', ὡς ἂν ἐμμανέστατα
ἐρῶν τις, οὐ ποιῶ δέ.

Plutarchus Mor. 524. 5 *πῶς οὐ μανικὸν . . τὸ πάθος, εἴ τις ἱματίῳ μὴ χρῆται διὰ τὸ ῥιγοῦν, μηδ' ἄρτῳ διὰ τὸ πεινῆν ... ἀλλ' ἐν τοῖς Θρασωνίδου κακοῖς ἐστιν κτλ.* ad hanc fabulam rettulit Toup. Emend. II 445. verba *ὡς ἂν — τις* Menandreis add. Madvig. Advers. crit. I 644. Cobet. V. l.² 152. N. l. 42. Lucian. Philops. 14 *περιβάλλει τὸν Γλαυκίαν ὡς ἂν ἐμμανέστατα ἐρῶσα.* conf. Nauck. Mélanges gréco-rom. V 241.

337

Ἄπολλον, ἀνθρώπων τιν' ἀθλιώτερον
ἑόρακας; ἆρ' ἐρῶντα δυσποτμώτερον;

Plutarchus Mor. 525 (post fr. 336). sunt verba Thrasonidae, de misera sua sorte querentis, fortasse in ipsa fabula fragmento 336 vel praemissa vel postposita. *ἄνθρωπόν τιν'* Naber. Mnem. nov. VIII 417. *δυσποτμώτερος, βαρυποτμώτατος, εὐτεκνώτατος* Euripides.

338

παιδισκάριόν με καταδεδούλωκ' εὐτελές,
ὃν οὐδεὶς τῶν πολεμίων πώποτε.

Arrianus Dissert. Epict. 4, 1, 20 p. 533 Schweigh. *εἶτα τί λέγει (Θρασωνίδης); κτλ.* Clemens Alex. Strom. 2, 15, 64 *τὸν γὰρ κωμικὸν ἐκεῖνον Θρασωνίδην ἄλλῃ σκηνῇ (τραγῳδεῖ)· παιδισκάριόν*

με, φησίν, εὐτελὲς καταδεδούλωκεν. — *ὃν οὐδὲ εἷς τῶν πολ. οὐπώποτε* Mein. ed. mai. Clem. Alex. Paedag. 1, 5, 14 *ἔστιν ἐκμαθεῖν τὰς καλὰς καὶ ὡραίας, ἔτι δὲ καὶ ἐλευθέρας νεάνιδας παιδίσκας καλουμένας, παιδισκάρια δὲ τὰς δούλας.* cf. 102.

339

ἀπαμφιεῖ γὰρ τὸ κατάπλαστον τοῦτό σου
καὶ λανθάνειν βουλόμενον ἡ μέθη ποτέ.

Bekker. Anecd. 415, 8 et Suidas (*ἀπαμφιέσαντες*) *ἀπαμφιεῖ· ἀποκαλύψει. Μισουμένῳ κτλ.* *σου* Hemsterh. Lucian. 443] *μὲν* Bekk. An. *μου* Suid. — Hesych. *ἀπαμφιεῖ· ἀπογυμνώσει.* dicit puella modestiam a milite promissam ficticiam esse et ebrietate mox eversum iri.

340

, ἐκ Κύπρου λαμπρῶς πάνυ
πράττων· ἐκεῖ γὰρ ὑπό τιν' ἦν τῶν βασιλέων.

Schol. Hom. Odyss. 17, 442 *πολλοὺς εἶχεν ἡ Κύπρος βασιλεῖς ἐν ταὐτῷ* (*χρόνῳ*, ante Ol. 117, cf. Diodor. 19, 79). *φησὶ καὶ ὁ Μένανδρος ἐν Μισουμένῳ κτλ.* *λαμπρῶς πάνυ* Mein.] *λαμπρῶς πάνυ λαμπρά.* in schol. post verba *ἐν Μισουμένῳ* adduntur *ὡς ἐν παραβάσει*, quae nemodum intellexit. 1. fortasse *πρῴην δ' ἐπανῆλθον* (vel *ἐπανῆλθεν*) *ἐκ Κ. κτλ.*

341

ὦ δυστυχής,
τί οὐ καθεύδεις; σύ μ' ἀποκναίεις περιπατῶν.

Bekker. Anecd. 1190 (ad 979, 6) *ὁ δυστυχὴς ὦ δυστυχής, ὡς παρὰ Μενάνδρῳ· τί οὐ καθ.* v. 2 ibidem 428, 27 *ἀποκναίει· διαφθείρει, ἀποκόπτει, ἀπολλύει ἢ λυπεῖ, ὀδυνᾷ, ἐνοχλεῖ, παρατείνει· οἷον· τί οὐ κτλ. Μένανδρος Μισουμένῳ.* Suidas *ἀποκναίειν· ἐνοχλεῖν, παρατείνειν. τί οὐ κτλ. Μένανδρος Μισουμένῳ.* Hesych. *ἀποκναίεις· ἀναιρεῖς.* cf. idem *ἀποκναίει.* Demosth. 21, 153 *ἀποκναίει ἀηδίᾳ καὶ ἀναισθησίᾳ.* Ruhnk. Tim. 42. sed cum *ὦ δυστυχής, τι οὐ καθεύδεις Dyscoli* esse constet (137), ex *Μισουμένῳ* autem nihil nisi v. 2 adferatur, dubium est an v. 1 hic sit delendus. Geta erum adloquitur. nisi forte prior pars (v. 2) militis, altera Getae est.

342

εἴσελθε κἂν νῦν, ὦ μακάριε.

Schol. Isocratis Nicocl. 3, 34 *τὸ παρὰ Μενάνδρῳ ἐν Μισουμένῳ κτλ.* *Μισουμένῳ* Dobson.] *Μισουμένῃ.* fortasse continuo cum fr. 341 coniunctum fuit.

343

Λακωνικὴ
κλείς ἐστιν ὡς ἔοικέ μοι περιοιστέα.

Schol. Aristoph. Thesm. 423 et Suidas *Λακωνικαὶ κλεῖδες· Μένανδρος Μισουμένῳ* (*Μισουμέναις* Suid.) *κτλ. καί φασιν ὅτι ἔξωθεν περικλείεται μοχλοῦ παρατιθεμένου* (*περιτιθ.* Suid.) *ἤ τινος τοιούτου ὥστε τοῖς ἔνδον μὴ εἶναι ἀνοῖξαι.* Olympiodorus Platon. Alcib. I p. 152 Creuz. *αἱ δὲ τῶν Λακεδαιμονίων* (*γυναῖκες*) *ἐφυλάττοντο, ὡς ἐδήλωσεν ἡ πάντολμος κωμῳδία λέγουσα Λακωνικὴ κλείς ἐστι καὶ οὐ περιοιστέα,* ubi margo *κοὐ περιοιστέα. προσοιστέα* Bergk. *Λακωνικὴ — ἔοικέ μοι | περιοιστέα* Cobet. N. l. 32. dicit fortasse miles puellam sibi ab aemulo Laconica clave custodiendam esse.

344

ὦ πάτερ,
μισοῦσι μὲν Θράσων', ἀπεκτάγκασι δ' οὔ.

Bekker. Anecd. 429, 27 *ἀπεκτόνασιν, οὐκ ἀπεκτάγκασι. Μισουμένῳ· πάτερ μὲν Θράσων'* (cod. *θρασωνι*) *ἀπεκτάγκασι δ' οὔ.* Suidas *ἀπεκτάγκασι καὶ ἀπεκτόνασι· μισοῦσι μέν, ὦ πάτερ, Θράσων', ἀπεγκτάγκασι δ' οὔ.* at idem *ἀποκτιννύναι ... ἀπεκτόνασιν, οὐκ ἀπεκτάγκασι. μισοῦσι μέν, ὦ πάτερ, Θράσωνα κτλ.* versuum reliquias disposuit Toupius. *μισοῦσι μὲν | Θρασωνίδην, ὦ πάτερ κτλ.* Dobr. Adv. II 277. *ἀπεκτόνασι* Cobet. N. l. 55. 'tam foedum est *ἀπέκταγκα*, ut semibarbaris Byzantinis solis imputari posse credam'. non adsentior ten Brinkio, qui Philol. XIII 754 haec puellae tribuit. at eius ut servae pater in comoedia esse vix potuit.

345

ΘΡ. οὐπώποτ' ἠράσθης, Γέτα;
Γ. οὐ γὰρ ἐνεπλήσθην.

Hermias Plat. Phaedr. p. 76 Ast. *οἱ μὲν γὰρ ὑπέλαβον ἁπλῶς φαῦλον τὸ ἐρᾶν, ὡς ... ὁ εἰπὼν 'πλήρει γὰρ ὄγκῳ γαστρὸς αὔξεται κύπρις'* (Nauck. Trag. gr. fr. adesp. 150) *καὶ φησίν 'οὐπώποτε ἠράσθην, οὐ γὰρ ἐνεπλήσθην'.* quae Bekkerus (Schol. Plat. 312) ex cod. D ita emendavit ut supra scripsimus, non addita tamen personarum notatione, quae est Meinekii. idem recte ut videtur ad Menandri *Μισούμενον* rettulit. cf. Plaut. Mil. glor. 1, 1, 49.

346

ἀφανεῖς γεγόνασιν αἱ σπάθαι.

Pollux 10, 145. 6 *τὴν σπάθην ἐπὶ τοῦ ξίφους εἰρήκασιν ... καὶ ἐν τῷ Μισουμένῳ Μένανδρος, ὅταν λέγῃ κτλ.* cf. Philem. 70. —

probabiliter Meinekius ad eam scaenam refert, in qua gladium poscit Thrasonides.

347

σπαθᾶν

Μένανδρος Μισουμένῳ· τὸ ἀλαζονεύεσθαι. Photius.

Cf. praeterea adesp. 129. nullius pretii sunt quae proferuntur Cramer. Anecd. Par. III 494, 6 et 502, 11. — ex *Misumeno* Luciani Dialogum meretr. 13 expressum esse arbitratur O. Ribbeck. Alaz. 36 conl. etiam Alciphr. 3, 36.

ΝΑΥΚΛΗΡΟΣ

Theophilum navicularium, Stratonis cuiusdam filium, ex mari Aegaeo post longam absentiam redeuntem fecerat poeta. cf. fr. 348. 9. *Ναύκληρος* fuit etiam Eudoxi, *Ναύκληροι* Nausicratis (II 295), *Nauclerus* Caecilii Statii. O. Ribbeck. Com. R. fr.[2] 54.

348

ἥκει λιπὼν Αἰγαῖον ἁλμυρὸν βάθος
Θεόφιλος ἡμῖν, ὦ Στράτων. ὡς εἰς καλὸν
τὸν υἱὸν εὐτυχοῦντα καὶ σεσῳσμένον
πρῶτος λέγω σοι τόν τε χρυσοῦν κάνθαρον.
ΣΤΡ. ποῖον; Α. τὸ πλοῖον οὐδὲν οἶσθας, ἄθλιε.
ΣΤΡ. τὴν ναῦν σεσῶσθαί μοι λέγεις; Α. ἔγωγε μὴν
τὴν ναῦν ἐκείνην ἣν ἐποίησε Καλλικλῆς
ὁ Καλύμνιος, Εὐφράνωρ δ' ἐκυβέρνα Θούριος.

Athenaeus 11, 474 b *Μένανδρος Ναυκλήρῳ· ἥκει — τὸ πλοῖον* (om. altera parte v. 5) *καὶ μετ' ὀλίγα· τὴν ναῦν κτλ.* v. 1. 2. 4. 5 Macrob. Sat. 5, 21 *sequitur ut quando cantharum et poculi et navigii genus esse supra diximus, probetur exemplis . . . Menander in* *Ναυκλήρῳ κτλ.* v. 1 Eurip. Troad. 1 (*ἥκω*) et Athen. 1, 4 a. v. 5 Schol. Aristoph. Pac. 143 et Suidas *κάνθαρος· ἄντικρυς Μένανδρος ἐν Ναυκλήρῳ κάνθαρον εἶπε πλοῖον εἶναι.* inter v. 5 et 6 plura excidisse possunt. 2. *ἐς* A Ath. 4. *τε*] *δὲ* Macrob. *κάνθαρον*] *θαρο* P Macr. 5. *πλοῖον*] *ηλοιον* P Macr. *οὐδὲν* Mein.] *οὐδέ μ'* Macr. *αθαιε* P Macr. 6. *ἔγωγε μὴν* Bentl.] *ἐγὼ τὴν ἐμὴν* A. 7. *κείνην ναῦν καλλικλῆς ἐποίησε* A. emend. Grotius Excerpt. 735. 8. *ὁ Καλύμνιος* Heringa Obs. 251] *τὸν καλούμενον* A. *Εὐφράνωρ δ'* Grot.] *ευφρανορ'* A. *δὲ κυβερνᾷ* Heringa. — de *cantharo* cf. Nicostr. 10. Sosicr. 2.

fieri non potest ut Strato navigii sui *nomen* (*τὸν χρ. κάνθ.*) ignoret, quod scilicet cupiens ut *montes aureos* sibi reportaret sine

dubio ipse ei dederat. est autem ὁ *χρυσοῦς κάνθαρος* vel ὁ *χρυσοκάνθαρος* quae apud Aristophanem vocatur *μηλολόνθη* (Schol. Arist. Nub. 763. Phot. et Hesych. *μηλολόνθη*. Eustath. 1329, 25). contra ei qui Stratoni filium rediisse nuntiat *nomen* navigii ignotum esse ultima verba (v. 7. 8) ostendunt. itaque scr. *πρῶτος λέγω σοι. ΣΤΡ. τόν τε* (vel *τὸν δὲ*) *χρ. κάνθαρον; Α. ποῖον; ΣΤΡ. τὸ πλοῖον· οὐδὲν οἶσθας, ἄθλιε; τὴν ναῦν — λέγεις; Α. ἔγωγε μὴν κτλ.* scilicet Straton gaudet quidem filium servatum esse, sed anxius dubitat de navigio.

349

ὦ φιλτάτη γῆ μῆτερ, ὡς σεμνὸν σφόδρ' εἶ
τοῖς νοῦν ἔχουσι κτῆμα πολλοῦ τ' ἄξιον.
ὡς δῆτ' ἐχρῆν, εἴ τις πατρῴαν παραλαβὼν
γῆν καταφάγοι, πλεῖν τοῦτον ἤδη διὰ τέλους,
καὶ μηδ' ἐπιβαίνειν γῆς, ἵν' οὕτως ᾔσθετο,
οἷον παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο.

Athenaeus 4, 166 b *χρὴ δὲ τοὺς τὰ πατρῷα κατεδηδοκότας κατὰ τὸν Μενάνδρου Ναύκληρον οὕτως κολάζεσθαι· φησὶν γάρ κτλ.* 4. *πλεῖν*] *πλὴν* A. 4. cf. 363, 7. 5. 'ne attingere quidem patriam, nedum in ea habitare'. Mein. — videtur Theophilus rediens terram patriam salutare.

350

ὅ τε Πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾷς;

Schol. Sophocl. OC. 1375 extr. *Μένανδρος ἐν Ναυκλήρῳ* (*ναυκλήροις* R) *κτλ. τε*] *δὲ* Mein., 'propter Porsoni regulam'. — videtur etiam in *Nauclero* rixa fratrum fuisse.

351

ὦ Ζεῦ πολυτίμηθ', οἷόν ἐστ' ἐλπὶς κακόν.

Stobaeus Floril. 110, 8 *Μενάνδρου Ναύκληρος* A.

352

καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν.

Stobaeus Floril. 63, 17 *Μενάνδρου Ναυκλήρῳ* A.

ΝΟΜΟΘΕΤΗΣ

Athenaeus 6, 247 e *Μένανδρος ἐν . . Νομοθέτῃ* (*παράσιτον εἰσάγει?*). Quintil. 10, 1, 70 (cf. *Ἐπίκληρος*). *Νομοθέται* Ammon. fr. 353.

353

ἑτέρου λυχνοῦχος, ἑτέρου λήκυθος

Ammonius 90 *λυχνίον ἐστὶν ἡ λυχνία* (Antiphan. 55, 2), *λύχνος* (*λυχνοῦχος* Mein.) *δὲ ὁ φανός. Μένανδρος ἐν Νομοθέταις κτλ.*

ΞΕΝΟΛΟΓΟΣ

Photius et Hesychius *ξενολόγος· ξένους συλλέγων στρατιώτας.* Harpocrat. 133, 27 *ξένοι οἱ μισθοφόροι.* Diodor. 14, 47 (*Καρχηδόνιοι*) *μετὰ πολλῶν χρημάτων ἀπέστειλάν τινας . . . ξενολογήσοντας.* cf. 13, 44. 19, 61. Isocr. 5, 96 *ἀναγκαζόμενοι ξενολογεῖν ἐκ τῶν πόλεων* (*στρατολογεῖν* Demosth. 40, 36) *π λ έ ο ν ἀ ν ή λ ι σ κ ο ν εἰ ς τ ὰ ς δ ι δ ο μ έ ν α ς τ ο ῖ ς σ υ λ λ έ γ ο υ σ ι δ ω ρ ε ὰ ς ἢ τὴν εἰς τοὺς στρατιώτας μισθοφοράν.*

354

ἀνδρὸς πένητος υἱός, ἐκτεθραμμένος
οὐκ ἐξ ὑπαρχόντων, ὁρῶν ᾐσχύνετο
τὸν πατέρα μίκρ᾽ ἔχοντα· παιδευθεὶς γὰρ εὖ
τὸν καρπὸν εὐθὺς ἀπεδίδου χάριτος καλόν.

Theon Soph. prog. IV 199 Walz. (91, 11 Spengel.) *ἐπιφωνεῖν διηγήσει ἐστὶ τὸ καθ᾽ ἕκαστον μέρος τῆς διηγήσεως γνώμην ἐπιλέγειν . . . θεάτρῳ καὶ σκηνῇ . . ἐπιτήδειον. διὸ καὶ παρὰ τοῖς τοιούτοις ποιηταῖς ἐπὶ πλεῖστόν ἐστιν, ὡς παρὰ Μενάνδρῳ πολλαχοῦ μὲν ἀλλαχόθι καὶ ἐν ἀρχῇ δὲ τοῦ τε Δαρδάνου καὶ τοῦ Ξενολόγου κτλ. ὁ γὰρ τελευταῖος στίχος ἐκ περιττοῦ πρόσκειται θηρώμενος μόνον τὸν παρὰ τῶν θεατῶν ἔπαινον.* 1. *εὖ τεθρ.* G. A. Hirschig. Ann. crit. 23. 4. *χάριτος* add. Camerarius. *χάριτος ἀπεδίδου* Spengel — 2. *οὐκ ἐξ ὑπ.*, i. e. sumptuosius quam pro patris opibus, ut Horatius (Sat. 1, 6, 79. 80). filium pudebat patrem tam pauperem videre, i. e. eum adiuvabat. veri similius est ad *Xenologi* quam ad *Dardani* prologum haec pertinere.

355

οὕτως ἀσυλλόγιστον ἡ τύχη ποιεῖ,
τὸ συμφέρον τί ποτ᾽ ἐστὶν ἀνθρώπου βίῳ,
οὐ χρῆται νόμοις, καθ᾽ οὓς κρίνει τὰ πράγματα,
οὐδ᾽ ἔστιν εἰπεῖν ζῶντα ʽταῦτ᾽ οὐ πείσομαι᾽.

Stobaeus Ecl. 1, 7 (8), 7 a Wachsm. *Μενάνδρου Ξενολόγῳ* (*ξενολίγω*) ad v. 2 F mrg. et ad ecl. 8 *μενάνδρου ξενολίγ* P mrg. *ξενολόγῳ* Heeren. v. 4 Stobaeus Floril. 111, 10 *Μενάνδρου* A. Plutarch.

Mor. 476 e *πολλοὶ καὶ τὸ τοῦ Μενάνδρου πεφρίκασιν κτλ.* — 3. *καθ' οὓς δὲ κρίνει πράγματ' οὐ χρῆται νόμοις* Bentl. *οὐ χρῇ νόμοις καθ' οὓς κρινεῖ τὰ πρ.* Heimsoeth. Ind. lect. Bonn. aest. 1867 XVII. *οὐ γὰρ νόμοι καθ' οὓς κρινεῖ τὰ πρ.* Usener. ut spurium del. Mein., glossema esse talis fere versus *νόμων ἀπόντων ἐν κρίσει τῶν πρ.* censet Enger. Mus. Rh. XXIII 539. 4. *οὐκ — τοῦτ'* Stob. 111 et Plut.

ΟΛΥΝΘΙΑ

356

ὡς ἄδικον, ὅταν ἡ μὲν φύσις
ἀποδῷ τι σεμνόν, τοῦτο δ' ἡ τύχη κακοῖ.

Stobaeus Floril. 107, 7 *Μενάνδρου Ὀλυνθιακῶν* A. *M. Ὀλυνθιακοῖς* B. 2. *παραδῷ? τι — ἡ τύχη*] *τὸ — εἰ τύχοι* A.

357

μετ' Ἀριστοτέλους γὰρ τέτταρας τῆς ἡμέρας
ὀβολοὺς φέρων

Suidas *φέρειν· λαμβάνειν. Ἀριστ. Ἀχ.* (65). *Μένανδρος Ὀλυνθίᾳ κτλ. καὶ ὁ μισθοφόρος ἀπὸ τούτου.* Diodor. 19, 68 (*Ἀριστοτέλης ὁ ναύαρχος*) *καταπλεύσας εἰς Λῆμνον* (Ol. 116, 3, a. Chr. 314) . . . *Λημνίους ἔπειθεν ἀποστῆναι τῶν περὶ Ἀντίγονον, οὐ προσεχόντων δ' αὐτῶν τήν τε χώραν ἐδῄωσε καὶ τὴν πόλιν ἐπολιόρκει . . . Διοσκορίδης δὲ κατασταθεὶς ναύαρχος ὑπ' Ἀντιγόνου . . . τὸν μὲν Ἀριστοτέλην ἐξέβαλεν ἐκ τῆς νήσου, τῶν δὲ νεῶν τὰς πλείους αὐτάνδρους εἷλεν.* Droysen. Hellen. I 353.

358

ὡς οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος

Zenobius 6, 51 *ὡς οὐχ ὑπάρχων κτλ. ταύτης μέμνηται Μένανδρος ἐν Ὀλυνθίᾳ.* Aristarcho tragico (4 p. 565 N.) tribuit Athen. 13 extr. (*τάδ' οὐχ κτλ.*), Chaeremoni Suidas *ὡς οὐχ.* cf. [Demosth.] 59, 1 (*ὥστ' οὐχ*). Phot. *ὑπάρχων· προκατάρχων· ὡς οὐχ κτλ.* — '*non inferens iniuriam, sed vindicans inlatam*'. Leutsch.

359

περιθέτην (κόμην)

ὡς ἐν Ἄμφιδος Ἀλκμαίωνι (2) *καὶ Μενάνδρου Ὀλυνθίᾳ.* Pollux 10, 170.

ΟΜΟΠΑΤΡΙΟΙ

360

χρηστοὺς νομιζομένους ἐφόδιον ἀσφαλὲς
εἰς πάντα καιρὸν καὶ τύχης πᾶσαν ῥοπήν.

Stobaeus Flor. 37, 10 (*περὶ χρηστότητος*) *Μενάνδρου Ὁμοπάτριοι* A. 1. *χρηστοὺς νόμιζε μόνους* Cobet. N. l. 89, sua ipse emendatione non contentus. scilicet scribendum est *χρηστὸς νόμιμος τε νοῦς*. cf. 472, 1. 2. 2. *πᾶσαν ῥοπήν* Gesner.] *ῥοπὴν πᾶσαν.*

361

πᾶς ἐρυθριῶν χρηστὸς εἶναί μοι δοκεῖ.

Stobaeus Floril. 31, 5 *Μενάνδρου Ὁμοπατριῶν* Gesner. *Μουσωνίου* Trinc. at Musonii est quae sequitur ecloga. *πᾶς*] *ἅπας* Grot. — fortasse *πᾶς παῖς*. Terent. Adelph. 4, 5, 9 *erubuit. salva res est.*

362

ἦν δῆλον οὔ τι νυμφίος τε ἀλφάνει.

Suidas *ἀλφάνει· εὑρίσκει. Μένανδρος Ὁμοπατρίοις κτλ. ἦν — οὔνι* B E[1]. Bentleius *ἦν δηλονοτιὴ νυμφίος τότ' ἀλφάνει*, non contentus ipse. *ἦν δὲ δῆλον οὔτι τὴν νύμφην ποθ' ὅστις ἀλφάνει* Bernhardy, non satis peritus comicae dictionis.

ΟΡΓΗ

Eusebius Olymp. 114, 4 *Μένανδρος ὁ κωμικὸς πρῶτον δρᾶμα διδάξας Ὀργὴν ἐνίκησεν*, ubi dubium est *πρῶτον* utrum ad *δρᾶμα* an ad *ἐνίκησε* pertineat. Anon. De comoed. XII *ἐδίδαξε δὲ πρῶτον ἔφηβος ὢν ἐπὶ Διοκλέους ἄρχοντος* (Ol. 114, 3).

363

καίτοι νέος ποτ' ἐγενόμην κἀγώ, γύναι,
ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας,
τότ'· ἀλλὰ νῦν. οὐδὲ χλανίδ' εἶχον· ἀλλὰ νῦν.
οὐδὲ μύρον εἶχον· ἀλλὰ νῦν. καὶ βάψομαι,
καὶ παρατιλοῦμαι νὴ Δία καὶ γενήσομαι
Κτήσιππος, οὐκ ἄνθρωπος ἐν ὀλίγῳ χρόνῳ·
κᾆθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους
ἁπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.

Athenaeus 4, 166 a *Μένανδρος ἐν Ὀργῇ περὶ αὐτοῦ (Κτησίππου τοῦ Χαβρίου) τάδε λέγει κτλ.* 7. *καθὼς* A. — cf. Timocl. 5. Diphil. 38. 5. African. Gell. 6(7), 12, 5 *qui cotidie unguentatus adversum speculum ornetur, cuius supercilia radantur, qui barba vulsa feminibusque subvulsis ambulet . . . cumne quisquam dubitet quin idem fecerit quod cinaedi facere solent?*

364

διαφέρει Χαιρεφῶντος οὐδὲ γρῦ
ἄνθρωπος ὅστις ἐστίν, ὃς κληθείς ποτε
εἰς ἑστίασιν δωδεκάποδος, ὄρθριος
πρὸς τὴν σελήνην ἔτρεχε τὴν σκιὰν ἰδὼν
ὡς ὑστερίζων, καὶ παρῆν ἅμ' ἡμέρᾳ.

Athenaeus 6, 243 a *κἀν τῇ Ὀργῇ δέ φησι (Μένανδρος) κτλ.* v. 2 Pollux 6, 8 *κληθῆναι ἐπὶ δεῖπνον ἥ τε παροιμία λέγει καὶ Μένανδρος.* v. 3 Hesychius *δωδεκάποδος· οὕτως ἔλεγον ἐλλειπτικῶς στοιχείου ἢ σκιᾶς. οὕτω γὰρ συνετίθεντο ἐπὶ δεῖπνον ἥξειν, τοῦ στοιχείου ὄντος δωδεκάποδος.* 1. *οὐδὲν* supplet Mein. 2. *ἄνθρ.* A. — cf. Eubul. 119, 6. adesp. 155. Plut. Mor. 50 e (*ὁ κόλαξ*) *ἁλίσκεται σκιὰν καταμετρῶν τὴν ἐπὶ τὸ δεῖπνον.* 4. *τῆς σελήνης?*

365

ὁ λιμὸς ὑμῶν τὸν καλὸν τοῦτον δακὼν
Φιλιππίδου λεπτότερον ἀποδείξει [νεκρόν].

Athenaeus 12, 552 e *Μένανδρος Ὀργῇ κτλ.* 1. *ὑμῖν* Bentl. 2. *νεκρόν* 'ex praecedentibus inlatum videtur'. Mein. Anal. Ath. 254. — cf. Aristophont. 8. 10.

366

οὐκ ἔστι μοιχοῦ πρᾶγμα τιμιώτερον·
θανάτου γάρ ἐστιν ὤνιον.

Stobaeus Flor. 6, 25 *Μενάνδρου Ὀργῇ* A. 1. *τιμιώτερον* Scaliger] *ἀτιμότερον.* 'nihil potest *carius* quam sic *emi* ut vita et capite constet'. Cobet. Mnem. VIIII 92. — est parodia Eurip. fr. 1016 N. *οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον.*

367

τοῦθ' ἑταῖρός ἐστιν ὄντως. οὐκ ἐρωτᾷ, πηνίκα
δεῖπνόν ἐστιν, ὥσπερ ἕτεροι, καὶ τί δειπνεῖν κωλύει

τοὺς παρόντας, εἶτα δεῖπνον ἕτερον εἰς τρίτην βλέπει,
. . . . *εἶτα περίδειπνον πάλιν.*

Athenaeus 6, 247 de *Μένανδρος ἐν τῇ Ὀργῇ περὶ φίλου λέγων οὐχ ὑπακούοντος γάμων δείπνῳ φησίν κτλ.* 1. *ἐστιν ὄντως* Grot.] *ὄντως ἐστὶν* A. *οὗτος ὄντως ἔσθ' ἕτ.* Cobet. N. l. 70. 4. *εἶτα δ' ἕτερον εἰς τετάρτην* Pors. *εἰς τετάρτην δ' αὖθις ἕτερον* Mein. *εἶτα πάλιν ἀριστόδειπνον* Herwerd. Anal. crit. 39. cf. fr. 368. ac multa alia possunt excogitari. *περίδειπνον* Casaub.] *περὶ δεῖπνον* A. ceterum Cobetus monet Atticos non dixisse *τετάρτην*, sed *τετράδα*, conl. 320, 4. cf. Arist. Nub. 1131. Plut. 1126 et proverb. *τετράδι γέγονας*.

368

ἄδειπνον

Pollux 6, 102 *ἀριστόδειπνον Μένανδρος εἴρηκε, καὶ ἄδειπνον ὁ αὐτὸς ἐν Ὀργῇ. ἄδειπνον*] *περίδειπνον (silicernium)* Herwerd. Anal. crit. 40, ut Pollucis verba pertineant ad fr. 367. sane *ἄδειπνον* tam vulgare est, ut non opus fuerit enotari.

369

οὐ μάτην

οὐκ ἀληθῶς. Μένανδρος ἐν Ὀργῇ. Hesychius. *οὐ μὰ τήν* Bentl. Callim. p. 302. Bosius *ἄλλως* pro *ἀληθῶς*. *οὐκ* delebat Passow. Suidas *νὴ τήν, μὰ τήν· ἐλλειπτικῶς κατὰ τὸ μὰ τόν καὶ μὰ τάς.* cf. Arist. Ran. 1374 cum interpr.

ΠΑΙΔΙΟΝ

Fuit *Παιδίον* (vel *Παῖδες*) Apollodori et Posidippi, *Paedium* Sexti Turpilii, cuius de argumento cf. O. Ribb. Com. R. fr.[2] 103, et Atellana Novii. cf. ibid. 265.

370

ἂν πάντα δουλεύειν ὁ δοῦλος μανθάνῃ,
πονηρὸς ἔσται· μεταδίδου παρρησίας,
βελτίον' αὐτὸν τοῦτο ποιήσει πολύ.

Stobaeus Floril. 62, 27 *Μενάνδρου Παιδίον* Gesn. 'nihil enotatum ex A'. Gaisf. om. B. v. 1. 2 Philon. I 473 (attulit Grotius) (*θαυμάσιος δὲ ἀρετὴ*) *ἡ ἐν δέοντι παρρησία, ὡς καὶ κωμικὸν ἀψευδῶς μᾶλλον ἢ κωμικῶς εἰρῆσθαι δοκεῖν* '*ἂν πάνθ' ὁ δοῦλος ἡσυχάζων(-ειν) μανθάνῃ' κτλ.* *ἂν πάντα — μανθάνῃ* Philo] *ἅπαντα* (*εἰ πάντα* Gesn.) — *μανθάνει. βελτίον'* Iacobs. Lect. Stob. 102] *βέλτιστον.* cf. Cobet. N. l. 80.

371

Ἐφέσια τοῖς γαμοῦσιν οὗτος περιπατεῖ
λέγων ἀλεξιφάρμακα.

Suidas *ἀλεξιφάρμακα· ἀλεξητήρια φαρμάκων. Μένανδρος Παιδίῳ κτλ.* cf. Anaxil. 18, 7. Plut. Mor. 706 e *οἱ μάγοι τοὺς δαιμονιζομένους κελεύουσι τὰ Ἐφέσια γράμματα πρὸς αὑτοὺς καταλέγειν.*

372

ἁλύσιον
χρυσοῦν ἐπόρισας. εἴθε λιθοκόλλητον ἦν·
καλὸν ἦν ἂν οὕτως.

Pollux 10, 187 *ἐν τῷ Μένανδρου Παιδίῳ χρυσοῦν κτλ.* 1. *ἁλύσιον* add. Mein. ex Alciphr. 3, 3, 4 *τὸ χρυσοῦν ἁλύσιον, ὅπερ ποτὲ εὐπορῶν τῇ γαμετῇ κόσμον εἶναι περιαυχένιον ἐπεπορίκειν.* meretricis verba munus oblatum fastidientis. haud longe aberant a fr. 373. cf. etiam 957.

373

μάραγδον εἶναι ταῦτ᾽ ἔδει καὶ σάρδια.

Athenaeus 3, 94 b *μαράγδων μνημονεύει Μένανδρος ἐν Παιδίῳ* (*πεδίῳ* A) *κτλ.* *ἄνευ δὲ τοῦ σ̄ λεκτέον παρὰ γὰρ τὸ μαρμαίρειν ὠνόμασται.* Eustath. 842, 53 *καὶ τὸ σμάραγδος μάραγδος. οἷον κτλ.* 853, 50 *ὁ παρὰ Μενάνδρῳ δίχα τοῦ σ̄ μάραγδος. σάρδια*, ut Aristoph. fr. 320, 13. cf. Philemonis *Σάρδιος*.

374

εἴ τις δικαστὴς ἢ διαιτητὴς θεῶν —

Ammonius 41 *δικαστὴς καὶ διαιτητὴς διαφέρει . . . Μένανδρος ἐν Παιδίῳ* (*παίδῳ* cod.) *κτλ.* sine fabulae indicio Etymol. Gud. 146, 14. *ἤ τις δικ.* Pierson. Moer. 134 init. sed in tanta eclogae tenuitate nihil certum est.

375

ἐνταῦθ᾽ ἀπόστα μικρόν.

Bekker. Anecd. 436, 14 et Suidas *ἀπόστα· οὐ μόνον ἀπόστηθι . . . Μένανδρος Παιδίῳ κτλ.*

ΠΑΛΛΑΚΗ

Cf. cognominis Diphili fabula et *Paelex* Naevii. O. Ribbeck. Com. R. fr.[2] 17.

376

μικρὸν ἐπιμείνας προστρέχει,
'ἠγόρακά σοι περιστέρια' λέγων.

Athenaeus 14, 654 b *περιστέριον οὕτως ἔστιν εὑρεῖν εἰρημένον παρὰ Μενάνδρῳ ἐν Παλλακῇ κτλ.* 1. *ἐπιμείνας* Cleric.] *ἐπέμεινας* A. 2. 'suppleverim *περιστέρια ταδί' λέγων* Cobet. N. l. 89. — ceterum cf. adesp. 1115.

377

νῦν πῖθι, νῦν ἀφύβρισον. B. ἦν ἀφύβρικα.

Bekker. Anecd. 473, 3 *ἀφυβρίσαι . . τὸ ἀκολάστως ὑβρίσαι δηλοῖ εἰς κόρον καὶ ὥστε ἀποπληρωθῆναι. οὕτω Μένανδρος Παλλακῇ κτλ.* *ἦν* Dobraeus Adv. II 620] *ἥν.* cf. 148.

378

πολλοὺς λογισμοὺς ἡ πονηρία κυκλοῖ.

Stobaeus Floril. 2, 4 *Μενάνδρου Παλλακή* A. *κυκλοῖ* A] *κυκλεῖ. λογισμούς* cum non idem sit ac *σοφισμούς*, minus suo loco positum videtur. *ἑλιγμούς* conl. Plat. Reip. 405 c Cobet. Mnem. nov. II 446. facilius *λυγισμούς*. cf. Eupol. 339. Arist. Ran. 775.

379

ἀλλὰ τῶν χρηστῶν ἔχει τιν' ἐπιμέλειαν καὶ θεός.

Stobaeus Floril. 37, 11 *Μενάνδρου Παλλακῇ* A.
Cf. praeterea fr. 903.

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

Cf. quae ad Aristophontis fabulam cognominem adnotantur II 278.

380

εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει·
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί.

Stobaeus Floril. 104, 5 *Μενάνδρου Παρακαταθήκης* A. 1. *εὔπειστον* Mein. in Stob. — monost. 183 *εὔπειστον ἀνὴρ δυστυχὴς καὶ λυπούμενος* (*εὔπιστόν ἐστι δυστ. λ.* Mein. V 110). 'facile ei persuadent alii, quem sua semper consilia frustrantur'.

381

πεποιήκατ' ἔργον οὐχ ἑταίρων . . .
. . . . . ταὐτὰ δ' ὄντα γράμματα
τὴν προσαγόρευσιν οὐ σφόδρ' εὔσημον ποιεῖ.

Athenaeus 13, 571 de *Μένανδρος ἐν Παρακαταθήκῃ ἀπὸ τῶν ἑταιρῶν τοὺς ἑταίρους διαστέλλων φησί κτλ.* 1. 2 *οὐχ ἑταίρων γὰρ ταυτα δ' ὄντα* A. *οὐχ ἑταίρων νὴ Δία,* | *μᾶλλον δ' ἑταιρῶν· ταὐτὰ κτλ.* Casaub. *φίλταται,* | *μὰ Δί', ἀλλ' ἑταιρῶν* Zedelius Neues Mag. II 182. *Παρμένων* Mein. in Ath. in v. 2 deest articulus ante *γράμματα*: quapropter nondum persanatum versum iudico. sententia haec est 'cum utriusque vocis litterae sint eaedem, ambiguam faciunt adpellationem'. Alciphr. 3, 64, 3 *ἑταίρου γάρ, οὐχ ἑταίρας ἔργον διεπράξατο.*

382

στρατεία δ' οὐ φέρει περιουσίαν
οὐδεμί', ἐφήμερον δὲ καὶ προπετῆ βίον,
οὗ πεῖραν ἔχομεν ὄντος οὐ σωτηρίου.

Stobaeus Floril. 53, 2 *Μενάνδρου Παρακαταθήκῃ* A. 1. *στρατία* AB. 2. *οὐδεμί'* Bentl. *οὐδεμίαν.* 3. *ἐχόμ/*^{ον} *τοῦ σ̄ρίου* AB 'i. e. *ἐχόμενον τοῦ σωτηρίου*'. Gaisf.

383. 384

ὁλκὴν ταλάντου χρυσίου σοι, παιδίον,
ἕστηκα τηρῶν.
μακάριος ἐκεῖνος δέκα τάλαντα καταφαγών.

Pollux 9, 76 *τὸ δὲ χρυσίον ὅτι τοῦ ἀργυρίου δεκαστάσιον ἦν σαφῶς ἄν τις ἐκ τῆς Μενάνδρου Παρακαταθήκης μάθοι. προειπὼν γὰρ ὁλκὴν — τηρῶν, ἐπάγει μετὰ ταῦτα περὶ ταὐτοῦ λέγων μακάριος κτλ.* sic prorsus Bekkeri ed. cf. Cobet. N. l. 89. 1. 'in tuam gratiam pondus auri observo'. 3. fortasse *μάκαρ γ' ἐκεῖνος.* cf. Phrynich. com. 31. ac saepius *μάκαρ* in canticis. Liv. 38, 11 *pro argento si aurum dare mallent, darent convenit, dum pro argenteis decem aureus unus valeret.* cf. Hultsch. Metrol. 174. 5.

385

αἰσχρὸν γενέσθαι πτωχὸν ἀσθενῆ θ' ἅμα.

Stobaeus Floril. 96, 21 *τοῦ αὐτοῦ* (*Μενάνδρου* 20) *Παρακαταθήκης* A. cf. Aristophont. 6.

386

ἔστι κρίσις ἄδικος, ὡς ἔοικε, κἀν θεοῖς.

Iustinus Mart. De mon. 40 b (142 Otto) *Μένανδρος . . . ἐν Παρακαταθήκῃ κτλ.*

387

τοὺς ὄφεις καλῶς γέ μοι
ἠγόρασας.

Hesychius *ὄφεις· τὰ δρακοντώδη γινόμενα ψέλλια. Μένανδρος Παρακαταθήκῃ κτλ.* Moeris 205, 26 Bekk. *ὄφεις Ἀττικοὶ τὰ παρὰ τοῖς Ἕλλησι ψέλια.* Poll. 5, 99 *τὰ περὶ τοὺς καρποὺς περικάρπια καὶ . . . ὄφεις καὶ ψέλια.* cf. Nicostr. 33.

388

συνακολούθει μεθ' ἡμῶν.

Bekker. Anecd. 368, 3 *ἀκολουθεῖν μετ' αὐτοῦ· οὕτω συντάσσουσιν οἱ Ἀττικοὶ ἀντὶ τοῦ ἀκολουθεῖν αὐτῷ . . . Μένανδρος . . . κἀν τῇ Παρακαταθήκῃ κτλ.*

389

θύραν ἔξελε

Ammonius 71 *θύρα καὶ θυραία διαφέρει. θύρα μὲν γάρ ἐστιν ἡ ἐξ ἀρχῆς γενομένη. Μένανδρος ἐν Παρακαταθήκῃ κτλ. θυραία δὲ τὸ μέλλον πρὸς ἐκκοπὴν θύρας μέγεθος.* Photius *θυραία· τὸ ἄνοιγμα τῆς θύρας. Μένανδρος.* cf. Lobeck. Paralip. 309.

390

Harpocration *ὅρος· οὕτως ἐκάλουν οἱ Ἀττικοὶ τὰ ἐπόντα ταῖς ὑποκειμέναις οἰκίαις καὶ χωρίοις γράμματα, ἃ ἐδήλου ὅτι ὑπόκεινται δανειστῇ . . . καὶ Μένανδρος Παρακαταθήκῃ.* similiter nulla Menandri mentione facta Photius et Suidas, ac copiosius Bekker. Anecd. 285, 12. Pollux 9, 9 *τὸ ὑπόχρεων χωρίον ὡρισμένον, καὶ ἡ ἐνεστηκυῖα στήλη ὅρος.* 3, 85 *ὅρους ἐνεστάναι χωρίῳ· λίθος δ' ἦν ἢ στήλη τις δηλοῦσα ὡς ἔστιν ὑπόχρεων τὸ χωρίον.* cf. Hesych. *ὅρος.* Meier-Schoem. Proc. Att. 506. Demosth. 31, 1. 3. 4. 41, 6.

ΠΕΡΙΚΕΙΡΟΜΕΝΗ

Agathias Anthol. Pal. 5, 218 *τὸν σοβαρὸν Πολέμωνα, τὸν ἐν θυμέλῃσι Μενάνδρου κείραντα γλυκεροὺς τῆς ἀλόχου πλοκάμους ὁπλότερος Πολέμων μιμήσατο . . . ἀλλ' ἔμπης τελέθει Μισούμενος, αὐτὰρ ἔγωγε Δύσκολος, οὐχ ὁρόων τὴν Περικειρομένην.*

Philostrat. Epist. 16 init. *οὐδὲ ὁ τοῦ Μενάνδρου Πολέμων καλὸν μειράκιον περιέκειρεν, ἀλλ' αἰχμαλώτου μὲν ἐρωμένης κατετόλμησεν ὀργισθείς, ἣν οὐδὲ ἀποκείρας ἠνέσχετο· κλαίει γοῦν καταπεσὼν καὶ μεταγινώσκει.* cf. etiam eiusdem Epist. 61 (p. 253, 25 Kayser). Anthol. Pal. 12, 233 (exscr. sub tit. *Γεωργοῦ*). Athen. 12, 540 e. Lucian. Dial. meretr. 8, 1 *ὅστις . . . μήτε ἐρράπισέ ποτε ἢ περιέκειρεν ἢ τὰ ἱμάτια περιέσχισεν, ἔτι ἐραστὴς ἐκεῖνός ἐστιν*; et *Πολέμων ζηλότυπος* persona est Lucian. Dial. meretr. 9, argumento tamen diverso. ceterum animadvertendum quam Agathias *ἄλοχον* vocat apud Philostratum esse *puellam captivam.*

391

οὕτω ποθεινόν ἐστιν ὁμότροπος φίλος.

Stobaeus Ecl. 2, 33, 6 Wachsm. *Μενάνδρου Περικειρομένῃ* (*περικειρόμενοι*). *οὕτω* Gaisf.] *τω* litt. initial. pro rubr. om. L.

392

ὅμως δ' ἀπόδειξον ταῦτα τῇ γυναικί.

Bekker. Anecd. 427, 23 *ἀποδεῖξαι· οὐ παραδεῖξαι. ὅμως δ' ἀπόδειξον ταῦτα τῇ γυναικί, καὶ Περικειρομένῃ Μένανδρος. γυναικί, καὶ*] *γυναικί σου* Mein. 'nisi forte plura exciderunt'. quod si factum est, haec non pertinent ad *Περικειρομένην*, sed periit testimonium ex ea petitum.

Praeterea cf. 602. 862. adesp. 221.

ΠΕΡΙΝΘΙΑ

Cf. quae ad *Andriam* adnotantur et Dziatzko Mus. Rhen. XXXI 248 sq. *Περινθίαν τὴν πρώτην* commemorat Zenobius Milleri (68) Mélanges 355, quo nomine fortasse Andria significatur. cf. fr. 401.

393

ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα
καὶ κοῦφον ἐξαπατᾷ θεράπων, οὐκ οἶδ' ὅ τι
οὗτος μεγαλεῖόν ἐστι διαπεπραγμένος,
ἐπαβελτερώσας τὸν πρότερον ἀβέλτερον.

Suidas *ἀβέλτερος· ἀνόητος, ἀσύνετος. Μένανδρος Περινθίᾳ κτλ.* 2. *οὐκ οἶσθ' ὅτι* Porson. Adv. 255. 4. *πρότερον* Cobet. N. l. 80] *ποτε. ποτ' ὄντ'* Scaliger. *τὸ πρόσθ'* Grotius. — 2. 3. 'nescio quid magnifici perfecerit', i. e. nihil magnifici perfecit.

394

οὐπώποτ' ἐξήλωσα πολυτελῆ νεκρόν·
εἰς τὸν ἴσον ὄγκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖ.

Stobaeus Floril. 123, 2 (περὶ ταφῆς) Μενάνδρου Περινθ[ε]ίας A. 1. monost. 411. 2. ἴσον δ' codices. εἰς τὸν ἴσον οἶκον Bentl. at Soph. El. 1142 σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει. cf. Cobet. V. l.[2] 195. — scilicet *cremando* vel *putescendo* uterque ad eandem exiguitatem redigitur.

395

ὅσ' ἔστι μαλακὰ συλλαβὼν
ἐκ τῆς πόλεως τὸ σύνολον ἐκπήδα, φίλος.

Pollux 10, 11. 12 ἐκαλεῖτο δὲ ταῦτα (τὰ κατ' οἶκον σκεύη) ὑπὸ τῶν νεωτέρων καὶ μαλακά, οἷον εὐμεταχείριστα, ὡς εἶπε Μένανδρος ἐν τῇ Περινθίᾳ κτλ. ὅσ' ἔστι μαλακὰ Bentl.] ὅ ἐστι μαλακόν. 2. φίλος C, θᾶττον P. Φίλων Mein. Φίλων, | θᾶττον Mein. 1.

396

ἐπὶ τῶν ἁμαξῶν εἰσι πομπεῖαί τινες
σφόδρα λοίδοροι.

Harpocration, Photius, Suidas πομπείας καὶ πομπεύειν ἀντὶ τοῦ λοιδορίας καὶ λοιδορεῖν . . . μεταφέρει δὲ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις. Μένανδρος Περινθίᾳ κτλ. ἡ μεταφορὰ δὲ Phot. ἡ μεταφορὰ Suid. et D Harp.. περινθεῖαι cod. Phot. περινθίω *V Suid. cf. Demosth. 18, 122 cum schol., Phot. Suid. τὰ ἐκ τῶν ἁμαξῶν σκώμματα.

397

οὐδεμίαν ἡ γραῦς ὅλως
κύλικα παρῆκεν, ἀλλὰ πίνει τὴν κύκλῳ.

Athenaeus 11, 504 a ἔδωκε (τὴν φιάλην) τῷ παιδὶ περισοβεῖν ἐν κύκλῳ κελεύσας, τὸ κύκλῳ πίνειν τοῦτ' εἶναι λέγων, παρατιθέμενος Μενάνδρου ἐκ Περινθίας κτλ. ἡ γραῦς] ἤγρευσ' A. temulentam obstetricem Terentii Andr. 1, 4 et 5 dici censet Grauert.

398

τὸ παιδίον δ' εἰσῆλθεν ἑψητοὺς φέρον.

Athenaeus 7, 301 b ἑψητός. ἐπὶ τῶν λεπτῶν ἰχθυδίων . . . Μένανδρος Περινθίᾳ κτλ. δ' om. A. Terent. Andr. 2, 2, 31 *puerum*

conveni Chremi, hólera et pisciculós minutos férre obolo in cenám seni.

399

οὐδ' αὐτός εἰμι σὺν θεοῖς ὑπόξυλος.

Schol. Hermog. V 486 Walz. κεῖται δὲ (τὸ ὑπόξυλος) ἐπὶ τῶν λαμπρῶν μὲν ἔξωθεν καὶ ἐπιεικῶν, πονηρῶν δὲ τὰ ἔνδον. καὶ Μένανδρος ἐν τῇ Περινθίᾳ φησίν κτλ. ἀντὶ τοῦ κίβδηλος καὶ οὐ γνήσιος. Bekker. Anecd. 1073 (ad 67, 7) εἴρηται (τὸ ὑπόξ.) μεταφορικῶς ἀπὸ τῶν ἐκ ξύλου σκευῶν, οἷς ἐπιπολῆς ἐπελήλαται ἄργυρος. cf. Aristoph. fr. 881. Alexid. 192.

400

τὰ δ' ἄλλ' ἀνέπαφα σώματ' οὐδ' ἕλη.

Suidas ἀνέπαφον· ἀνεύθυνον, καθαρόν, ἀθιγές, ἀψηλάφητον. Μένανδρος Περινθίᾳ κτλ. ἄλλα — οὐδέλη ABE Med. — Bekker. Anecd. 203, 26 ἀνέπαφα· τὰ ἀνεπίληπτα, ὧν οὐκ ἄν τις ἅψαιτο· 397, 30 ἀνέπαφον — ἀθιγές (ut Suid.). Zonar. ἀνέπαφον· μὴ ψηλαφηθέν. Hesych. ἀνέπαφος· ἀψηλάφητος. 'ἀνέπαφα σώματα sunt quae in titulo C. I. 1704. 5 dicuntur σώματα ἀνέφαπτα, *servitia libertate donata*' Mein., qui in extr. οὐδὲ ληπτέα. an οὐδ' ἕλκειν ἐχρῆν? de rebus Demosth. 35, [11]. 56, 38.

401

Αἰάντειος γέλως

μέμνηται ταύτης Μένανδρος ἐν Περινθίᾳ τῇ πρώτῃ. λέγουσι δὲ ὅτι Πλεισθένης ὁ ὑποκριτὴς Καρκίνου Αἴαντα ὑποκρινόμενος εὐκαίρως ἐγέλασε· τοῦ γὰρ Ὀδυσσέως εἰπόντος ὅτι τὰ δίκαια χρὴ ποιεῖν, μετὰ εἰρωνείας ὁ Αἴας τῷ γέλωτι ἐχρήσατο. Zenob. Milleri Mélanges 355. aliter non commemorato Menandro Zenob. 1, 43, alii.

Cf. praeterea fr. 602. 862.

ΠΛΟΚΙΟΝ

Photius πλόκιον· ἁλυσίον χρυσείου (sic) πλοκή. Hesychius πλόκιον· εἶδος περιδεραίου. Plut. Mor. 141 d ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν. fortasse *monile* illud instrumentum erat ἀναγνωρίσεως alicuius: quo artificio ante Menandrum multos usos esse cognoscitur ex Aristot. Poet. 16, p. 1454 b 25. 1455 a 21. Menandream fabulam Caecilii *Plocio* longe praefert Gellius 2, 23. cf. fr. 402. 4 et O. Ribbeck. Com. R. fr.[2] 58—62.

402

ἐπ' ἀμφότερον οὖς ἡπίκληρος ἡ καλὴ
μέλλει καθευδήσειν· κατείργασται μέγα
καὶ περιβόητον ἔργον· ἐκ τῆς οἰκίας
ἐξέβαλε τὴν λυποῦσαν ὡς ἐβούλετο,
ἵν' ἀποβλέπωσι πάντες εἰς τὸ Κρωβύλης
πρόσωπον ᾖ τ' εὔγνωστος οὖσ' ἐμὴ γυνὴ
δέσποινα· καὶ τὴν ὄψιν ἣν ἐκτήσατο
ὄνος ἐν πιθήκοις τοῦτο δὴ τὸ λεγόμενον
ἔστιν. σιωπᾶν βούλομαι τὴν νύκτα τὴν
πολλῶν κακῶν ἀρχηγόν. οἴμοι Κρωβύλην
λαβεῖν ἔμ', ἑκκαίδεκα τάλαντα . . .
τὴν ῥῖν' ἔχουσαν πήχεως. εἶτ' ἐστὶ τὸ
φρύαγμά πως ὑποστατόν; μὰ τὸν Δία
τὸν Ὀλύμπιον καὶ τὴν Ἀθηνᾶν, οὐδαμῶς.
παιδισκάριον θεραπευτικὸν δὲ καὶ λόγου
τάχιον ἀπαγέσθω δέ τις ἢ ἄρ' ἀντεισαγάγοι.

Gellius N. Att. 2, 23, 8 sq. *accesserat dehinc lectio* (Plocii Menandrei et Caeciliani) *ad eum locum, in quo maritus senex super uxore divite atque deformi querebatur, quod ancillam suam, non inscito puellam ministerio et facie haud inliberali, coactus erat venumdare suspectam uxori quasi paelicem. nihil dicam ego quantum differat. versus utrimque eximi iussi et aliis ad iudicium faciendum exponi. Menander sic* cet. 1. *ἀμφότερον οὖς* Cobet. Mnem. nov. IIII 450] ΑΜΦΟΤΕΡΑΝΙΝ V(atic. 3452). ΑΜΦΟΤΈΡΑΝ ἼΝΑ Urb. (Vat.-Urbin.). deteriorum codicum discrepantiam, apud Hertzium accurate enotatam, ubique omitto. *ἡπίκληρος* M. Haupt. cf. Opusc. II 90 sq.] ΕΠΙΚΛΗΡΟϹ. *ἡ καλὴ* O. Ribbeck.] ΗΚ V. 2. *μέλλει* Grot.] ΜΕΛΛΕΙΝ Urb. ΜΕΜΕΙΝ V. *καθευδήσειν* Urb. (Spengel. Caec. Stat. Ploc. fr. 1 p. 36 sq.)] ΚΑΘΕΥΔΕϹΕΙ V. *κατείργασται* Dorvill.] ΚΑΤΕΙΡΓΑϹΑϹΑ. 3. *οἰκίας* cod. rec.] ΟΙΚΕΙΑΣ V Urb. 4. *λυποῦσαν ὡς* Cobet.] ΛΥΠΟΥϹΙΝΕΝ V. ΛΥΠΟΥ͂ϹΑΝ ἭΝ Urb. 5. *ἵν' ἀποβλέπωσι* Spengel.] ΙΝΑΑΠΟΒΛΕΠΩϹΙΝ VUrb. *Κρωβύλης* Urb. corr.] ΚΡΩΒΟΥΛΗϹ VUrb. 6. *ᾖ τ' εὔγνωστος οὖσ' ἐμὴ γυνὴ* M. Haupt.] ΗΤΕΥΝΩΕΤΟϹ ΥϹΑΕΜΕΓΥΝΗ V. ἫΤΟ ΕἸΓΝΩϹΤΟϹ ΕἾΧΈ ΜΕΓΥΝῊ Urb. 7. *ἣν* Grot. ΩΝ V. ὯΝ Urb. 8. *τοῦτο δὴ τὸ λεγόμενον | ἔστιν* M. Haupt.] ΤΟΙΤΟΔΕΤΟΛΕΓΟΜΕΝΟΝΕϹΤΙΝΔΚΤΟΥΤΟ V. ΤΟΙΤΟ ΛΕΓΌΜΕΝΟΝ 'ΕϹΤΙΝ ΔῊ ΤΟΥ͂ΤΟ Urb. sic *τὸ δὴ λεγόμενον τοῦτο* Philem. 77. ac *τοῦτο δὴ τὸ λ.* etiam Spengel. 9. ΒΟΙΛΟΜΑΙ V. 10. ΟΙΜΜΟΙ V Urb. 11. *ἔμ' ἑκκαίδεκα* Hertz.] ΕΜΕΚΑΙΔΕΚΑ. *φερομένην* in exitu supplet K. 12. *τὴν* suppl. K. *ῥῖν' ἔχουσαν* K.] ΓΕΙΝΕϹΟΥϹΑΝ V. ΓΥΝΑΙΚΑΟΥϹΑΝ

Urb. ΠΕΗΧΕωϹ V. deinde ΕΙΤΕ Urb. ἧς Herwerd. Obs. crit. 122. 13. *φρύαγμά πως ὑπόστατον* C. F. Hermann. Mus. Rh. V 614 (*πῶς* Spengel.)] ΦΡΥΑΓΜΑΕΙΚΤωϹΑΝΫΠΟϹΤΑΤΟΝ V. ΦΡΎΑΓΜΑ ΕΪ́ΠωϹ ̓ΑΝΥΠΌϹΤΑΤΟΝ Urb. *μὰ τὸν* add. Grot. 14. ΟΥΔΑΜΟϹ V. 15. ΠΑΙΔΙϹΧΑΡΙΟΝ V Urb. ΘΕΡΑΠΕΙΤΙΚΟΝ V. ΛΟΓΟΙ V. *τοῦ λόγου* H. Iacobi. *τοῦ δόμου* Ribbeck. Com. R. fr.[2] XXIX. 16. ΤΑΧΙΟΝ ΑΠΑΓΕϹΘωΔΕΤΙϹΑΡΑΝΠΙϹΑΓΑΓΟΙ V, in quibus ΑΡΑΑΝΤΙϹ Urb. — post v. 14 quaedam excidisse arbitratur Ribbeck. *τάχιον* (*θᾶττον*) *λόγου* | *ἀπήγαγ'* (*ἀπήλασ'*?)· *ἔστω· τίς δ' ἆρ' ἣν ἀντεισάγει;* Grot. sed omnia hic obscura, neque aliorum coniecturas, quae sunt permultae, recensere expedit.

1. Terent. Heaut. 2, 3, 101 *(faxo) in aúrem utramvis ótiose ut dórmias,* ubi scholion ad Io. Calphurnii commentarium adscriptum (Spengel. De Caec. Stat., cf. M. Haupt. l. c.) *talis sententia est apud Menandrum, quae latine sic exprimitur* ‘*in aúrem utramvis, cúm quidem dotata ést, cubet*’ (*cubat* Mein.). Plaut. Pseud. 1, 1, 121 *de istác re in oculum utrúmvis conquiéscito* B. *utrum óculum an aurem?* Append. prov. 2, 78 *ἐπ' ἀμφότερα καθεύδει τὰ ὦτα· ἐπὶ τῶν ἔξω φροντίδος.* Apostol. (Arsen.) 7, 72a. Poll. 2, 84 *Αἰσχίνης ὁ Σωκρατικὸς καὶ ἐπ' ἀμφότερα τὰ ὦτα καθεύδειν λέγει.* Liban. Epist. 1279 *ἐμοὶ ἐπ' ἀμφότερα καθεύδειν δέδωκας.* Plin. Epist. 4, 29 *nihil est quod in dextram aurem fiducia mei dormias: non inpune cessatur.* 6. ‘senex cum uxorem propterea ancillam expulisse dicit, ut omnes ipsam intuerentur, i. e. ne qua pulchrior oculos in se converteret, eadem utitur amaritudine qua antea deformem vocaverat *καλήν.* deinde aliud addit: ‘expulit’ inquit ‘ancillam, ut facile cognosceretur se esse uxorem meam potentem ac dominam’. poterat simpliciter dici *δέσποινα,* sed *γυνὴ δέσποινα* et recte dictum est ut Homericum illud *γυνὴ δέσποινα* (Od. 7, 347) et fortasse paullo quam illud magnificentius’. M. Haupt. 8. Mantiss. prov. 4, 24 *ὄνος ἐν πιθήκοις· ἐπὶ τῶν αἰσχρῶν ἐν αἰσχροῖς.* 9. et 12. articulum in exitu senarii satis tuentur praeter fr. 320, 1 Arist. Vesp. 504. Eccl. 452. Nicostr. 17, 2. Amphid. 30, 5. Alexid. 24, 2. 255, 3. Philem. 126, 2. Diphil. 77. Archedic. 2, 8. 12. Lucian. De merc. cond. 35 *δεῖ Ἀδώνιδας αὐτοὺς . . ἀκούειν, πήχεως ἐνίοτε τὴν ῥῖνα ἔχοντας.* 13. *ὑποστατόν,* ut Eurip. Suppl. 737 *Ἄργος οὐχ ὑποστατόν.* fr. 177 N. *θεὸς θνητοῖς οὐδαμῶς ὑποστατός.* Xen. Cyrop. 5, 2, 33 *οἱ πολλοὶ ἄνθρωποι ἂν θαρρῶσιν ἀνυπόστατον τὸ φρόνημα παρέχονται.*

403

ἔχω δ' ἐπίκληρον Λάμιαν· οὐκ εἴρηκά σοι
τοῦτ'; εἶτ' ἄρ' οὐχί; κυρίαν τῆς οἰκίας
καὶ τῶν ἀγρῶν καὶ τῶν πατρῴων ἄντικρυς

ἔχομεν, Ἄπολλον, ὡς χαλεπῶν χαλεπώτατον.
ἅπασι δ' ἀργαλέα 'στίν, οὐκ ἐμοὶ μόνῳ,
υἱῷ πολὺ μᾶλλον, θυγατρί. B. πρᾶγμ' ἄμαχον λέγεις.
A. εὖ οἶδα.

Gellius 2, 23, 12 *idem ille maritus senex cum altero sene vicino conloquens et uxoris locupletis superbiam deprecans haec ait* κτλ. 1. ελω V. δὲ Urb. επικαληρον V. *Λάμιαν* Mein.] λαμιαν V. λαμίαν Urb. 2. τουγειταρουχι V. τοῦτοεἶτεαραουχὶ Urb. κιριαν V. 3. *καὶ τῶν πατρῴων ἄντικρυς* Spengel.] κιπαντωναντεκεινες V. και πάντων ἀντὶ 'εκεινης Urb. fortasse *καὶ τῶν ἁπάντων ἄντικρυς*. 4. απόλλων ὧς Urb. λαλεπον V. χαλεπον Urb. 5. δε V. *'στιν* Spengel.] εστιν. ουκεμοι V. 6. μαμον V. *B.* add. Spengel. πραγμα libri. αμαχο V. 7. *A.* add. Heringa. οιδα V.

1. *Λάμιαν*, i. e. turpissimam. cf. quae ad Cratetis *Lamiam* adnotantur I 136. Arist. Vesp. 1035. 1177. Strab. 1, 17 *ἥ τε γὰρ Λάμια μῦθός ἐστι καὶ ἡ Γοργὼ καὶ ὁ Ἐφιάλτης καὶ ἡ Μορμολύκη*. Horat. A. p. 340. 2. *τοῦτ'; εὖ γὰρ οἶδα*. K. 3. si verum est *τῶν πατρῴων*, hoc significat: 'non solum suae dotis, sed etiam mei patrimonii dominam'. 4. *ἔχομεν*] *ἅχομεν* K. (*ἃ ἔχ.*) et fortasse *χαλεπωτάτην* (*κυρίαν*). 6. *υἱῷ πολὺ μᾶλλον, θ.* Duebner.] *υἱῷ, π. μ. θ.*

404

ὦ τρὶς κακοδαίμων, ὅστις ὢν πένης γαμεῖ
καὶ παιδοποιεῖθ'. ὡς ἀλόγιστός ἐστ' ἀνήρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ' ἂν ἀτυχήσας εἰς τὰ κοινὰ τοῦ βίου
ἐπαμφιέσαι δύναιτο τοῦτο χρήμασιν,
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ, τῶν μὲν ἀνιαρῶν ἔχων
τὸ μέρος ἁπάντων, τῶν δ' ἀγαθῶν οὐδὲν μέρος·
ὑπὲρ γὰρ ἑνὸς ἀλγῶν ἅπαντας νουθετῶ.

Gellius 2, 23, 15 *filia hominis pauperis in pervigilio vitiata est: ea res clam patrem fuit, et habebatur pro virgine. ex eo vitio gravida mensibus exactis parturit. servus bonae frugi cum pro foribus domus staret et propinquare partum erili filiae atque omnino vitium esse oblatum ignoraret, gemitum et ploratum audit puellae in puerperio enitentis: timet, irascitur, suspicatur, miseretur, dolet. hi omnes motus eius affectionesque animi in graeca quidem comoedia mirabiliter acres et illustres: apud Caecilium autem pigra istaec omnia et a rerum dignitate atque gratia vacua sunt. post ubi idem*

servus percontando quod acciderat repperit, has apud Menandrum voces facit κτλ. v. 1—8 Stobaeus Floril. 68, 4 *Μενάνδρου* A. v. 1 monost. 757. v. 6. 7 Dio Chrysost. 32 p. 365 M. *οἱ δὲ . . . ἄπειροι . . . ἄθλιοι μηδεμίαν σκέπην μηδὲ προβολὴν ἔχοντες ἀπὸ τῶν παθῶν, ἀλλ' ἐν — χειμαζόμενοι, καθάπερ σκάφει σαθρῷ καὶ λελυμένῳ.* 1. *ὢ*] *ὡς* mon. 757. *γαμεῖ* Stob. et mon.] *ἀνήρ.* 2. *παιδοποιεῖθ'* Stob.] *παιδοποιεῖ.* *ὡς*] *ὃς* Stob. A. 3. *ὃς*] *ὡς* Stob. A. 4. *μήτ' ἂν ἀτυχήσας* Stob.] ΜΗΤΑΝΑΤΙΧΗϹΗ V. ΕἸΜΗΤΟΑΝΑΤΕΙΧΉϹΗ Urb. *κοινὰ*] *λοιπὰ* Stob. 5. *ἐπαμφιάσαι τοῦτο δύναιτο* Stob. ΕΠΑΜΦΙΕϹΤΑΙΔΙΝΑΤΟΤΟΥΤΟ V. ’ΕΠΑΜΦΙΕϹΘΑΙ ΔΎΝΑΤΑΙ ΤΟΫ́ΤΟ Urb. *ἐπαμφιέσασθαι τοῦτο δύναται* Maehly Philol. XXIII 175, securus ut videtur de v. 4 (*ἄν*). *ἐπαμφιέσαι* Mein. in Stob. 6. ΑΚΑΧΥΠΤⲰ V. ’ΑΚΑΤΑΚΎΠΤⲰ Urb. ΤΑΛΕΠⲰΡⲰ V Urb. ΒΙΟ V. 7. ΧΕΙΜΑΞΟΜΕΝΟϹ V. *ζῇ, τῶν* Stob.] ΖΕΤⲰΝ V. ΖΗΤⲰΝ Urb. *ἀνιαρῶν* Stob.] ΑΝΙΑΡΟΝ V. ΑΝΙΑΡῸΝ ΔῈ Urb. 8. *τῶν δ'* om. Gellii cod. *οὐδὲν μέρος* Zedel.] *οὐ δυνάμενος* (ΔΙΝΑΜΕΝΟϹ V). 9. *ἀλγῶν* Grot.] *ἀλεγῶν. λέγων* Cobet. Mnem. nov. IIII 452 ‘*loquor de uno, admoneo omnes.*’ ΝΟΙΘΕΤⲰ V.

3. i. e. ‘cui neque propinquorum tutela et defensio praesto est’ quod moneo contra Dobr. Adv. II 278. 4. *τὰ κοινά* sunt ‘quae accidere solent hominibus’. Mein. 5. *ἐπαμφιέσαι.* contrarium *ἀπαμφιεῖ* 339.

405. 406

ὅστις πένης ὢν ζῆν ἐν ἄστει βούλεται,
ἀθυμότερον ἑαυτὸν ἐπιθυμεῖ ποιεῖν·
ὅταν γὰρ εἰς τρυφῶντα καὶ σχολὴν ἄγειν
δυνάμενον ἐμβλέψῃ, τότ' αὐτὸν ἔστ' ἰδεῖν
ὡς ἄθλιον ζῇ καὶ ταλαίπωρον βίον.
. . . .
κακῶς ὁ δεσπότης βεβούλευται πάνυ·
ἐν ἀγρῷ γὰρ οἰκῶν οὐ σφόδρ' ἐξηλέγχετο
τῆς μερίδος ὢν τῆς οὐδαμοῦ τεταγμένος,
εἶχεν δὲ παραπέτασμα τὴν ἐρημίαν.

Stobaeus Floril. 96, 20 *Μενάνδρου Πλοκίῳ* A. 1. *ζῇ* B. 2. *αὑτὸν* A. *αὐτὸν* Voss. Hens. *ποεῖν* Voss. H. 4. *ἀμβλέψῃ* A. *τόθ' αὐτὸν* Mein. *ἔστ'*] *ἔστιν* A. 5. *ζῇ* Gesn.] *ζῆν.* 8. *τεταγμένος* Mein.] *τεταγμένης.* 9. *ἐρημίαν*] *ῥαθυμίαν* Voss.

artissime coniuncta apud Stobaeum segregavit Grotius, v. 6 sq. incerto poetae tribuens. at sunt omnia servi fidelis (Parmenonis), de quo Gellius, eiusdemque scaenae ac fortasse *ῥήσεως*, sed non continuanda. atque eiusdem *ῥήσεως* videtur esse fr. 408. 8. cf.

Plat. com. 173, 7. 8. τῆς ὑστέρας (τάξεως) τεταγμένος Plat. Critiae 108 c. τῆς πρώτης τάξεως τ. Lys. 14, 11. 16, 15. cf. Isocr. 12, 180.

407

ὦ Παρμένων, οὐκ ἔστιν ἀγαθὸν τῷ βίῳ
φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς,
ἀλλ' ἐγγὺς ἀγαθοῦ παραπέφυκε καὶ κακόν,
ἐκ τοῦ κακοῦ τ' ἤνεγκεν ἀγαθὸν ἡ φύσις.

Stobaeus Floril. 105, 23 *Μενάνδρου Πλοκίων Θαΐδος* A. 'aut *Πλοκίου* aut *Θαΐδος* fragmentum excidisse dicas'. Mein. Stob. IIII VII. at fortasse Thais erat ancillula a Crobyla expulsa, quae haec Parmenoni dicebat. Themist. Or. 22 p. 276 c *λέγει τις ὀρθῶς τῶν τοῦ γέλωτος ποιητῶν ὅτι μηδέν ἐστιν ἀγαθὸν ἐν τῷ βίῳ φυόμενον ὥσπερ δένδρον ἐκ ῥίζης μιᾶς, ἀεὶ δὲ αὐτῷ προσπέφυκε καὶ κακόν.* addit Nauckius Choric. 23 *οὐδὲν ἄκρατόν ἐστι τῶν κακῶν, ἀεὶ δέ τι παραπέφυκεν ἀγαθόν.* [Callisth.] 13 *ἐγγὺς ἀγαθοῦ πέφυκε κακόν* (V CCLXIII). cf. 325, 6.

408

ἆρ' ἐστὶν ἀρετῆς καὶ βίου διδάσκαλος
ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός.

Stobaeus Floril. 56, 5 *Μενάνδρου Πλοκίῳ* (*πλόκῳ*) A.

409

μεστὰς τρίχας φθειρῶν τε καὶ ῥύπου, διδοὺς
πιεῖν, ἀνηδαξᾶτ' ἄν, ὥστε μὴ πιεῖν.

τί σοὶ διαφέρει τοῦτο; παράθες σημίαν.
οὐκ ἔστι κανδύλους ποιεῖν, οὐδ' οἷα σὺ
εἴωθας εἰς ταὐτὸν καρυκεύειν, μέλι,
σεμίδαλιν, ᾠά. πάντα γὰρ τἀναντία
νῦν ἐστιν· ὁ μάγειρος γὰρ ἐγχύτους ποιεῖ,
πλακοῦντας ὀπτᾷ, χόνδρον ἕψει καὶ φέρει
μετὰ τὸ τάριχος, εἶτα θρῖον καὶ βότρυς.
ἡ δημιουργὸς δ' ἀντιπαρατεταγμένη
κρεάδι' ὀπτᾷ καὶ κίχλας τραγήματα.
ἔπειθ' ὁ δειπνῶν μὲν τραγηματίζεται,
μυρισάμενος δὲ καὶ στεφανωσάμενος πάλιν
δειπνεῖ μελίπηκτα τὰς κίχλας.

Athenaeus 4, 172 a *Μένανδρος Ψευδηρακλεῖ, καταμεμφόμενος τοὺς μαγείρους ὡς ἐπιχειροῦντας καὶ οἷς μὴ δεῖ, φησὶν κτλ.* v. 6—13 (*κίχλας*) idem 14, 644 c *ἐγχύτων δὲ πλακούντων μνημονεύει Μένανδρος ἐν Ψευδηρακλεῖ κτλ.* 4. *ποιήσοντες — δ' ἢ μίαν* Dindf.] *ποίησον τὰς — δυομαν* (sic) A. 5. *παραθήσω μίαν* Bentl. *διαφέρει; τοῦτο παράθες Σιμία* Dindf. *πάραγε Σ.* Mein. 6. *οὐδ'* Mein. *ἔστιν κάνδύλους* A 172. *οἷα*] *ὅσα* A 644. 7. *ταὐτὸ* A 172. *μελισεμιδαλινωι· ἁ* A 644. 9. *ἐγχύτους* A 644]

εν πιχυχε τους (i. e. ἐγχύτους et ἐπιχύτους) A 172. 10. ὀπτᾷ A 172] ὀπτοὺς A 644. ἑψεῖ A utrubique. 13. κρεαδιοπται A 644. κρεάδια ὀπτᾷ et καὶ τραγήματα A 172. καὶ del. Schweigh. 16. τὰς κίχλας Porson. Misc. 237] ταῖς κίχλαις A.

'sunt τραπεζοποιοῦ verba ad coquum'. Mein. Phot. 598, 14 et Etym. m. 763, 46 τραπεζοποιός· ὁ τῶν περὶ τὸ συμπόσιον πάντων ἐπιμελούμενος, τραπεζῶν, σκευῶν, σπονδῶν, ἀκουσμάτων. οὕτως Μένανδρος. quae ex *Pseudheracle* excerpta esse existimat Mein. Hesych. τραπεζοποιός· οὐχ ὁ μάγειρος, ἀλλ' ὁ τῆς πάσης περὶ τὰ συμπόσια σκευασίας ἐπιμελούμενος. cf. Poll. 3, 41. 6, 13. Antiphan. 152. Philem. 61. — 1. ἀηδής *molestus*. 5. scrib. παράθες δὴ μίαν. sic παρατιθέναι τράπεζαν Cratet. 14, 5. Alexid. 171. v. 5 cum 6 fortasse non continuo cohaerebat. 6. de *candylo* cf. Aristoph. fr. 791. post ᾠά v. 8 interrogandi signo posito Mein. 1 p. 572 *quin tu candylos facis et quae praeterea condire soles bellaria? sic enim nunc est: coquus parat bellaria, libifica carnes assat.* 7. Hesych. κρηπίς . . . τὸ ἐπίθεμα τῶν ἐγχύτων πλακούντων. '*Gusskuchen*' Lobeck. Agl. II 1069 not. q. 12. de δημιουργῷ cf. Antiphan. 225. Alexand. 3. 14. ὁ δειπνῶν, i. e. is qui δεῖπνον exspectat, sed pro eo τραγήματα accipit. 15. post cenam ante compotationem et τραγήματα unguenta coronaeque adferebantur. cf. Athen. 15, 669 c. 674 bc. 685 e. C. F. Herm. Ant. gr. priv. 28, 23. Becker. Charikl.² I 180. 1.

519

νῦν δ' εἰς γυναικωνῖτιν εἰσιόνθ' ὅταν
ἴδω παράσιτον, τὸν δὲ Δία τὸν κτήσιον
ἔχοντα τὸ ταμιεῖον οὐ κεκλεισμένον,
ἀλλ' εἰστρέχοντα πορνίδια —

Harpocration 115 extr. κτήσιον Δία ἐν τοῖς ταμιείοις ἱδρύοντο. Μένανδρος Ψευδηρακλεῖ κτλ. 3. scrib. κεκλῃμένον. Phot. κλῃῖσαι οἱ ἀρχαῖοι λέγουσιν, οὐ κλεῖσαι· καὶ κλῃῖδα. cf. Bamberg. Progr. Goth. 1885 p. 8 n. 3. deest apodosis: 'indignatio suboritur'. — 2. de Iove *Ctesio* cf. Athen. 11, 473 bc. Preller. Myth. gr.² I 114. 4 fortasse paelex significatur de qua fr. 520.

520

μήτηρ τέθνηκε ταῖν ἀδελφαῖν ταῖν δυοῖν
ταύταιν· τρέφει δὲ παλλακή τις τοῦ πατρὸς
αὐτάς, ἅβρα τῆς μητρὸς αὐτῶν γενομένη.

Suidas ἅβρα· οἰκότριψ γυναικὸς κόρη καὶ ἔντιμος, εἴτε οἰκογενὴς εἴτε μή. Μένανδρος Ψευδηρακλεῖ κτλ. v. 2. 3 Eustathius 1854,

16 *αἱ θρεπταὶ τοῖς δεσπόταις δοῦλαι . . . ἅβραι λεγόμεναι . . . Μένανδρος· τρέφει δὲ κτλ.* cf. 64. 438.

521

ὑπὲρ μὲν οἴνου μηδὲ γρῦ, τίτθη, λέγε·
ἂν τἄλλα δ' ἦς ἄμεμπτος, ἕκτην ἐπὶ δέκα
Βοηδρομιῶνος ἐνδελεχῶς ἄξεις ἀεί.

Ammonius 67 *Μένανδρος ἐν Ψευδηρακλεῖ κτλ.* 2. *ἕκτην ἐπὶ δέκα* Porson. Misc. 253] *εἰς τὴν ἕκτην*, quibus *ἐπὶ δέκα* addit cod. Mus. Brit. 3. *ἄξεις* Cobet. Mnem. IIII 109] *ἕξεις*. Plut. Phoc. 6 *ἐνίκων δ* (prope Naxum) *μεγάλοις μυστηρίοις, καὶ παρεῖχεν οἰνοχόημα Χαβρίας Ἀθηναίοις καθ' ἕκαστον ἐνιαυτὸν τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ Βοηδρομιῶνος.*

522

ἀστοργίαν ἔχει τιν' ὁ σκληρὸς βίος.

Stobaeus Floril. 16, 10 *Μενάνδρου ἐν Ψευδηρακλεῖ* A.

523

χαῦνόν τι πλάσμα καὶ διάκενον

Plutarchus Mor. 59 e *ἐν κωμῳδίᾳ Μενάνδρου Ψευδηρακλῆς πρόσεισι, ῥόπαλον κομίζων οὐ στιβαρὸν οὐδ' ἰσχυρόν, ἀλλὰ χ. τι πλ. κ. δ.* 'potuit' eis verbis 'uti qui refelleret quae' Pseudhercules 'iactaret'. M. Haupt. Ind Berol. 1855/6 p. 6. cf. Herwerd. Obs. crit. 91. fortasse in exitu addendum *περιφέρων*.

524

οὐκ ἐπείρα Νάννιον;

Athenaeus 13, 587 b *Μένανδρος ἐν Ψευδηρακλεῖ φησιν κτλ.* Photius *πειρᾶν τὸ πειράζειν ἐπὶ φθορᾷ καὶ συνουσίᾳ Μένανδρος.*

525

Καρκίνου ποιήματα

Μένανδρος Ψευδηρακλεῖ, αἰνιγματώδη. ὁ γὰρ Καρκίνος Ὀρέστην . . ἀναγκαζόμενον ὁμολογῆσαι ὅτι ἐμητροκτόνησεν ἐποίησε δι' αἰνιγμάτων ἀποκρινόμενον. Photius. cf. Suidas *Καρκίνου π.* — 'spectat hoc sine dubio ad illum novae tragoediae morem, quo poetae non simplici et plano dicendi genere, sed obscuris verborum ambagibus utebantur.' Mein. I 510. 11.

Praeterea cf. 722.

ΨΟΦΟΔΕΗΣ

Hesychius *ψοφοδεής· δειλός, κενόφοβος, ὁ καὶ τοὺς ψόφους καὶ τὰ ἐλάχιστα φοβούμενος.* similiter Suidas. cf. Plat. Phaedr. 257 d. Lucian. Pro imag. 7. Quintil. 10, 1, 70 (exscr. sub tit. *Ἐπικλήρου*).

526

ἐπίσημον οὖν τὴν ἀσπίδ' εἰς τὴν τοῦ Διὸς
στοὰν ἀνέθηκαν.

Boissonad. Anecd. III 240 *παρὰ Μενάνδρῳ . . . ἐν Ψοφοδεεῖ κτλ.* Herod. De soloec. 308, 7 Nauck. (Lex. Vindob.). cf. ibid. 292, 10. *οὖν*] *αὖ* cod. Bar. Mus. Ox. II 113, ubi om. *τοῦ*. *ἀνέθηκα* Naber. Mnem. nov. VIII 421. ac quidni *ἀνέθηκεν*? significari videtur porticus Iovis *Eleutherii*. cf. 1008. Harpocr. 43, 19. 70, 13. Xen. Oecon. 7, 1. Bursian. Geogr. gr. I 282.

527

ὄνος λύρας

Μένανδρος Ψοφοδεεῖ. ἡ δ' ὅλη παροιμία ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς. Photius et Suidas, qui *ἡ δ' ὅλη* om. — cf. Leutsch. Philol. III 567.

528

Νοῦθος

κύριον Ψοφοδεεῖ. Herodian. II 947, 26, ex emend. Schneidewin. G. g. A 1842 p. 525. cod. *νοῦθος κύριον· ψόφος ἐν οὔδει. ἡσίοδος ἐν τρίτῳ.* sed Lehrs *κύριον, καὶ ψόφος, ὃν οἶδεν Ἡσίοδος ἐν τρίτῳ· νοῦθος δὲ ποδῶν ὑπόδουπος ὀρώρει.* itaque hoc quidem fragmentum plus quam dubiae est fidei.

529

Πάνακτος

. . . *ἀρρενικῶς Μένανδρος ἐν Ψοφοδεεῖ.* Harpocration 144, 23. *Ψοφοδεεῖ* Vales.] *ψηφώσεσιν* A. *ψηφώδεσσι* C. *ψηφώδεσιν* B. Photius et Suidas *Πάνακτος . . . Μένανδρος ἀρσενικῶς.* cf. Bursian. Geogr. gr. I 250. 1. 332.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

530

ὅταν δ' ἀγρυπνεῖν εἴπῃς τισε . . . . .
τὴν αἰτίαν γνώσει περιπατεισ . . .
εἰσῆλθες εὐθύς, ἂν κοπιάσῃ . . .

μαλακῶς ἐλούσω· πάλιν ἀνασ . . . .
πρὸς ἡδονὴν ὕπνος αὐτοσοβ . . . .
τὸ πέρας· κακὸν ἔχεις οὐδὲν η . . . .
ἔστι ην διῆλθες· φορτικωτερ . . .
ἐπέρχεταί μοι, τρόφιμε, συγγν . . . .
τὸ δὴ λεγόμενον, οὐκ ἔχεις ον . . .
ὑπὸ τῶν ἀγαθῶν, εὖ ἴσθι· μη . . . .
ικοιταληθῆ λέγω, νὴ τοὺς θε .
τοῦτ' ἔστι τἀρρώστημα καὶ μὴ . . .
ἀτόπως ἐμαυτοῦ καὶ βαρέως . . . .
. . . . νικόν ἐστι τἀνόητο . . .
. . ν πάνυ γὰρ ταυτειλελ . . . . .
. . παραινεῖς ὅτι πα . . . . .
εἰ μέν τι κακὸν ἀληθὲς εἶχες, Φειδία,
ζητεῖν ἀληθὲς φάρμακον τούτου σ' ἔδει·
νῦν δ' οὐκ ἔχεις· κενὸν εὕρηκα τὸ φάρμακον
πρὸς τὸ κενόν· οἰήθητι δ' ὠφελεῖν τί σε.
περιμαξάτωσάν σ' αἱ γυναῖκες ἐν κύκλῳ
καὶ περιθεωσάτωσαν· ἀπὸ κρουνῶν τριῶν
ὕδατι περίρραν' ἐμβαλὼν ἅλας, φακούς.

v. 1—18 fragmentum a Tischendorfio inventum 'codicis antiquissimi, quarti ut videtur saeculi', editum a Cobeto Mnem. nov. IIII 286 sq. v. 17—23 Clemens Alex. Strom. 7, 4, 27 *εὖ γὰρ καὶ ὁ Μένανδρος κτλ.* unum esse fragmentum intellexit Cobetus.

2. ΓΝΩΣΗ Tisch. 9. 'ΟΝ in exitu non satis certum esse adnotavit Tischendorf.' Cobet 292. item 11. ΟΙΤ non satis certum esse Tischend. adnotat. 12. ΤΑΡΩΣΤΗΜΑ Tisch. 14. ΤΟΑΝΟΗΤΟ Tisch. 17. 18 nihil nisi ΝΤΙΚΑΚΟΝΑΛΗΘΕΣ et ΝΑΛΗΘΕΣΦΑΡΜΑ Tisch. supplentur a Clemente. *Φειδία,* | *ζητεῖν* Grotius Exc. 751] *φιλιάζειν* L. 18. *τούτου σ' ἔδει* Grot.] *τούτους σε δεῖ* L et (*σεδεῖ* coniunct.) V. 19. *τὸ φ. εὕρηκας κενὸν* cod. Par.: quamquam nihil eiusmodi tradit Dindf., hoc potius 'aliis' tribuens. 20. *δ'* et 21. *σ'* Sylburg.] *δὲ* et *σε* L. 22. *περιθεωσάτωσαν* Mein.] *περιθέτωσαν* L. *περιθειωσάτωσαν* Bentl.

1. *τί σ' ὀνήσει φάρμακον;* Fritzsch. De prolog. quibusd. com. gr. Rost. 1877. *τί σε λυπεῖ; φράζ' ἐμοί* Gomperz Herm. XI 509. *τί σ' ἐγείρει συννοῶν* (cohaerent enim haec cum eis quae sequuntur) K. 2. *ἡδέως* in exitu add. Cobet., *οὐ θαμά* Fritzsch., quod cum rarissime in trimetris comicis inveniatur (Arist. Plut. 1166. fr. 149, 4), non videtur ultro coniectura inferendum esse. *περι-*

πατήσας βραχὺ K. 3. *ἂν κοπιάσῃς τὰ* (*τὼ*) *σκέλη* recte Cobetus. fallitur Fritzschius. 4. *πάλιν ἀναστρέψας λόου* | *πρὸς ἡδονήν, ὕπνος αὐτὸ σοβεῖν δυνήσεται,* | *τὸ τέρας* Fritzschius, prorsus infeliciter meo quidem iudicio. *πάλιν ἀναστὰς περιπατεῖς — ὕπνος αὐτὸς ὀβολιμαῖος ἦν* Gomperz. 513. *πάλιν ἀναστὰς ἐνέπιες* | *πρὸς ἡδ., ὕπνος αὐτὸς ὃ βαρύνει σ'* (vel *ὃ βλάπτει σ'*) *ἀρεῖ* K. 6. *ἥδε γὰρ νόσος* | *ἔσθ' ἣν διῆλθες* Fritzsch. *ἡ γὰρ αἰτία* Gomperz. 513. *ἡ νόσος τρυφὴ* | *ἔσθ' ἣν δ.* K. 7. *φορτικώτερον δέ τι* et 8. *συγγνώμην δ' ἔχε* Cobet. 9. *οὐκ ἔχεις ὅποι χέσῃς* Cobet. conl. Marc. Anton. 5, 12. *ὅπου χέσῃς* Fritzschius conl. Strab. 7 fr. 8 *ἐλευθέρα Κόρκυρα· χέζ' ὅπου θέλεις.* *ὅποι πτύσῃς* Naber. Mnem. n. VIII 415. 10. 11 *μὴ ὥρασι δὲ* | *ἵκοιο· τἀληθῆ* Fritzsch. '*sit ius liceatque tibi perire,* quem invitum servare nequeo.' 'non minus aspera oratione utitur v. 21 sq.' *μὴ μεῖζον κακὸν* (*μείζων βλάβη*) | *ἵκοιτο· τἀληθῆ* K. 11. in exitu *νὴ τοὺς θεούς* Cobet. 12. *τἀρρώστημα. B. καὶ μήν, ὦγαθέ* Cobet. *καὶ μήν, νὴ Δία* Fritzsch. 13. *βαρέως ἔχω πάνυ* Cobet. *πάνυ* cum redeat v. 15, *βαρέως ἔχειν δοκῶ* Fritzsch. *βαρέως ἄγαν ἔχω* K. 14. *A. φιλόνικόν ἐστι τἀνόητον* (nihil amplius) Cobet. *τἀνόητον, ὥστε μὴ* | *εἴκειν* Fritzsch. *τἀνόητον· ῥᾴδιον* | *φέρειν πάνυ γὰρ ταῦτ', εἰ λελογισμένως ἔχεις,* conlocatione verborum nimis contorta, Gomperz. 509. *τἀνόητον, κοὐ φιλεῖ* (*θέλει*) | *εἴκειν· πάνυ γὰρ ταὔτ', εἰ λελόγισαι, νῦν λέγεις.* K. *nimis pertinax est inprudentia: prorsus eadem enim, si animadvertisti,* quae antea dicebas *nunc repetis.* 16. *B. τί δέ μοι παραινεῖς; A. ὅ τι παραινῶ; τοῦτ' ἐρῶ* Cob. *τί δὴ παραινεῖς;* Gomperz. in exitu *καταφανῆ* Fritzsch. *'γὼ φράσω* K. 19. *εὕρηκα δὲ κενὸν φάρμακον* Grot., quod satisfacere iure negat Dindorfius. *κενὸν ἄρα καὶ τὸ φάρμακον* Cobet. N. l. 39, quod fortasse, ne ictus cadat in alteram syllabam vocis *κενόν*, melius scribitur *κενὸν ἄρα καὶ τὸ φ.* 20. scrib. *εἰ δ' οἴει τί σ' ὠφελεῖν τόδε* (vel *εἰ δ' οἴει τόδ' ὠφ. τί σε*), *περιμαξάτωσαν κτλ.* 23. *περίρραν'* Sylburg.] *περιρράναι* L. (*περίρραν'* i. e. *περίρραναι* est imper. aor. med.). *περίρραναι βαλὼν* Lobeck Aglaoph. 632. 3 not. nn, *βάλλειν* pro *ἐμβάλλειν* docens medicorum non minus quam poetarum esse.

3. 4. aoristi usus (*εἰσῆλθες, ἐλούσω*) haud ita vulgaris: sed cf. Anaxandr. 34, 10 *ὑφείλετ' ἄρνα ποιμένος παίζων, Ἀτρεὺς ἐκλήθη.* Alexid. 98, 20 *εὐφυεῖς ὀδόντας ἔσχεν, ἐξ ἀνάγκης δεῖ γελᾶν.* Diphil. 43, 12. 29. Horat. Serm. 2, 6, 28 *ludos spectaverit* (*spectaverat* al.) *una, luserit in campo: 'Fortunae filius' omnes.* sententia est: si (modice) ambulaveris, post ambulationem balneo usus fueris, somnus tibi sua sponte obtinget. nam lavationes in primis somno sunt utiles. Galen. VI 258 Kuehn. *οὐδὲν οὕτω πέττει μὲν τὰ πεφθῆναι δεόμενα, διαφορεῖ δὲ τοὺς μοχθηροὺς χυμούς, ὡς ὁ ὕπνος μετὰ βαλανεῖον.* 259 *συντελεῖ δ' εἰς τὸν ὕπνον οὐχ ἥκιστα*

καὶ αὐτὸ τὸ βαλανεῖον. ὑπνωδέστεροι μὲν οἱ λουσάμενοι γίνονται πάντες. VIII 131 τὰ τῶν ποτίμων καὶ θερμῶν ὑδάτων λουτρὰ καὶ οἴνου πόσιν ὕδατι μετρίως κραθέντος ὕπνον ἐργαζόμενα (ὁρῶμεν). 3. κοπιᾶν τὰ σκέλη, ut Alexid. 147, 3. 4. μαλακῶς ἐλούσω, ut μαλακῶς ἐσθίεις Theophr. Char. 2 (Cobet.). 6. τὸ πέρας, ut Alexid. 261, 13. Apollod. com. 13, 13. Euang. 9. κακὸν ἔχεις οὐδέν, cf. Antiphan. 177, 3. Alexid. 146, 10. 11 (Cobet.). 9. Marc. Anton. 5, 12 πρόιθι οὖν καὶ ἐρώτα, εἰ τιμητέον καὶ ἀγαθὰ ὑποληπτέον τὰ τοιαῦτα, ὧν προεπινοηθέντων οἰκείως ἂν ἐπιφέροιτο τὸ τὸν κεκτημένον αὐτὰ ὑπὸ τῆς εὐπορίας οὐκ ἔχειν ὅποι χέσῃ. cf. adesp. 491. Eupol. 224. [Diogen.] Epist. 38 extr. ὅποι πτύσαιμι τόπον οὐκ εἶχον, et paullo ante ὡς μηδὲ ὅποι πτύσῃ τις τόπον εἶναι. Eurip. Herc. fur. 1245 γέμω κακῶν δή, κοὐκέτ' ἔσθ' ὅπου τεθῇ (al. ὅποι, ὅπῃ). 11. ἱκνεῖσθαι cum praeter formulam μὴ ὥρασι ἵκοι(τ)ο in *trimetris* comicorum ignotum sit, fortasse scribendum est γένοιτο. 21. Procul. Plat. Cratyl. p. 106 οἱ μάντεις διὰ τῶν περιρράνσεων καὶ περιθειώσεων ἁγνοὺς ἑαυτοὺς καὶ τοὺς συνόντας ἀποτελοῦσιν. Bachmann. Anecd. I 339, 2 περικαθαίρων· ἀναλύων τὸν πεφαρμακευμένον ἢ τὸν γεγοητευμένον.

conloquitur sive paedagogus sive senior amicus cum adulescentulo propter infelicem amorem opinor et ἀγρυπνίαν vitae satietate capto.

cum adesp. 114 coniunxerat Cobetus et Meinekium secutus, cui altera tantum fragmenti pars nota erat, ad Δεισιδαίμονα rettulerat: quae opinio novo supplemento infirmatur potius quam stabilitur. cum adesp. 114 et 105 conglutinabat Wilamowitzius Herm. XI 500 sq. at manifesto sunt tria fragmenta. 'ex principio' fabulae Cobetus, ex prologo Fritzschius excerptum esse iudicant; cum fr. 531 quodammodo cohaesisse censet Cobetus, negat Fritzschius. 'iuvenis' (fr. 531) indignatur, quod fortis animi est; Phidias aegrescit animo fracto'; ille 'bona quaedam perdidit; Phidias bonorum nimia copia diffluit; alter mala patitur mediocria, Phidias praeter morbum opinatum aliud nullum.' ille 'non sibi videtur aegrotare, sed adverso casu non levi percussus est'.

totum fragmentum in hunc fere modum redintegrandum videtur:

ὅταν δ' ἀγρυπνεῖν εἴπῃς, τί σ' ἐγείρει συννοῶν
τὴν αἰτίαν γνώσει· περιπατήσας βραχὺ
εἰσῆλθες εὐθύς, ἂν κοπιάσῃς τὼ σκέλη·
μαλακῶς ἐλούσω· πάλιν ἀναστὰς ἐνέπιες
πρὸς ἡδονήν, ὕπνος αὐτὸς ὃ βαρύνει σ' ἀρεῖ.
τὸ πέρας, κακὸν ἔχεις οὐδέν· ἡ νόσος τρυφὴ
ἔσθ' ἣν διῆλθες· φορτικώτερον δέ τι
ἐπέρχεταί μοι, τρόφιμε, συγγνώμην δ' ἔχε·

τὸ δὴ λεγόμενον, οὐκ ἔχεις ὅπου χέσῃς
ὑπὸ τῶν ἀγαθῶν, εὖ ἴσθι· μὴ μεῖζον κακὸν
γένοιτο· τἀληθῆ λέγω, νὴ τοὺς θεούς·
τοῦτ' ἔστι τἀρρώστημα. Β. καὶ μήν, ὦγαθέ,
ἀτόπως ἐμαυτοῦ καὶ βαρέως ἄγαν ἔχω.
Α. φιλόνικόν ἐστι τἀνόητον κοὺ φιλεῖ
εἴκειν· πάνυ γὰρ ταῦτ', εἰ λελόγισαι, νῦν λέγεις.
Β. τί δὴ παραινεῖς; Α. ὅ τι παραινῶ; 'γὼ φράσω.
εἰ μέν τι κακὸν ἀληθὲς εἶχες, Φειδία,
ζητεῖν ἀληθὲς φάρμακον τούτου σ' ἔδει·
νῦν δ' οὐκ ἔχεις· κενὸν ἄρα καὶ τὸ φάρμακον
πρὸς τὸ κενόν· εἰ δ' οἴει τί σ' ὠφελεῖν τόδε,
περιμαξάτωσαν κτλ.

531

εἰ γὰρ ἐγένου σύ, Τρόφιμε, τῶν πάντων μόνος,
ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ τε διατελεῖν
πράττων ἃ βούλει καὶ διευτυχεῖν ἀεί,
καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος
ἄτοπόν τε πεποίηκ'. εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις
ἐφ' οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα
τὸν κοινόν, ἵνα σοι καὶ τραγικώτερον λαλῶ,
οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων, ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος καὶ πάλιν
ταπεινότητα ζῷον οὐδὲν λαμβάνει.
καὶ μάλα δικαίως· ἀσθενέστατον γὰρ ὂν
φύσει μεγίστοις οἰκονομεῖται πράγμασιν,
ὅταν πέσῃ δέ, πλεῖστα συντρίβει καλά.
σὺ δ' οὔθ' ὑπερβάλλοντα, Τρόφιμ', ἀπώλεσας
ἀγαθά, τὰ νυνί τ' ἔστι μέτριά σοι κακά.
ὥστ' ἀνὰ μέσον που καὶ τὸ λοιπὸν [δὴ] φέρε.

Plutarchus Mor. 103 d *εἰς ἃς (τύχας) διαβλέψας ἄν τις οὐκ ἀπεικότως εἴποι . . . τὸ ὑπὸ τοῦ Μενάνδρου ῥηθὲν κτλ.* v. 1—9 Pseudo-Plutarchus V 639 ed. m. Wyttenb. 2. *τε* Schaeferus] *γε. διὰ τέλους* | *πράττειν* G. A. Hirschig. Ann. crit. 24. 3. *πράσσων* libri. *διευτυχεῖν* Pseudo-Plutarchus] *διευτυχῶν.* 5. *σ'* add. Grotius. 8. *σοί τι* Pseudo-Plutarchus. *τί σοι* Mein. 11. *ὕψος*] *οἶκτον* quat-

tuor cod. Paris. *ὄγκον* Duebner. 12. *οὐθὲν* libri. 13. *ἀσθενέστερον γὰρ ὢν* cod. Par. 14. *οἰκονομεῖται*] *διαπονεῖται* Mein. *μέγιστ' ἐξοικοδομεῖται πράγματα* Herwerd. Mnem. nov. VI 76. 17. *νυνί* Bentl.] *νῦν*. *τ'* Hercher.] *δ'*. 18. *δὴ* plurimi cod. om. *εὖ* Bentl. *τὸν λοιπὸν φέρε* cod. Periz. *τὸ νῦν λυποῦν* Grot. *τὸ λοιπὸν δεῖ φέρειν* Meziriac. *τὸ λοιπὸν διάφερε* Hercher. *καὶ σὺ τῶν λοιπῶν φέρει* Wyttenb. *τὸ λυποῦν δὴ φέρε* Cobet. N. l. 81. *τὸ λυπηρὸν φέρε* Nauck. Mélanges gréco-rom. V 241.

ad *Δεισιδαίμονα* refert Cobet. Mnem. nov. IIII 291. contra quem cf. quae Fritzschius disputavit ad fr. 530. 7. *ἔσπασας τὸν ἀέρα τὸν κοινόν.* ʽquasi haec supra soccum adsurgerent continuo addidit *ἵνα σοι κ. τρ. λ.*' Cobet. N. l. 53. cf. 481, 4. 611. Eurip. Hel. 906 *κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς καὶ γαῖα.* Aesch. Prom. 1092 *κοινὸν φάος.* 14. fortasse scribendum *μεγίστοις ἐξανεμοῦται πνεύμασιν.* cf. Eurip. Helen. 32. Androm. 938 (*ἐξηνεμώθην μωρίᾳ*).

532

καὶ τοῦτον ἡμᾶς τὸν τρόπον γαμεῖν ἔδει
ἅπαντας, ὦ Ζεῦ σῶτερ, ὡς ὠνούμεθα·
οὐκ ἐξετάζειν μὲν τὰ μηδὲν χρήσιμα,
τίς ἦν ὁ πάππος ἧς γαμεῖ, τήθη δὲ τίς,
τὸν δὲ τρόπον αὐτῆς τῆς γαμουμένης, μεθ' ἧς
βιώσεται, μήτ' ἐξετάσαι μήτ' ἰδεῖν·
οὐδ' ἐπὶ τράπεζαν μὲν φέρειν τὴν προῖχ', ἵνα
εἰ τἀργύριον καλόν ἐστι δοκιμαστὴς ἴδῃ,
ὃ πέντε μῆνας ἔνδον οὐ γενήσεται,
τῆς διὰ βίου δ' ἔνδον καθεδουμένης ἀεὶ
μὴ δοκιμάσαντα μηδέν, ἀλλ' εἰκῇ λαβεῖν
ἀγνώμον', ὀργίλην, χαλεπήν, ἐὰν τύχῃ,
λάλον. περιάξω τὴν ἐμαυτοῦ θυγατέρα
τὴν πόλιν ὅλην· οἱ βουλόμενοι ταύτην λαβεῖν,
λαλεῖτε, προσκοπεῖσθε πηλίκον κακὸν
λήψεσθ'· ἀνάγκη γὰρ γυναῖκ' εἶναι κακόν,
ἀλλ' εὐτυχής ἐσθ' ὁ μετριώτατον λαβών.

Stobaeus Floril. 72, 2 *Μενάνδρου* A. 2. *ὠνούμεθα* G. A. Hirschig. Ann. crit. 25] *ὠνήμεθα.* cf. Cobet. V. l.^{2} 158. 3. *μηθὲν* libri. 4. *τήθη* Mein.] *τιτθή*. *τιθὴ* A. 6. *ἐξετάζειν* Bentl. *εἰσιδεῖν* Mein. 7. *οὐδ'* Hirschig.] *ἀλλ'*. 8. *εἰ τἀργ.* Bentl.] *εἴτ' ἀργ.* 9. *ὃ*] *ὃς* A. 11. *δοκιμάσαντα* Cobet. N. l. 90] *δοκιμάσασθαι.* 15. *λαλεῖτε*] *ἀθρεῖτε* Herwerd. Obs. crit. 92. *δ' ἡλίκον* Mein. Stob.

2. '*ut in emendo solemus* non *unde sit* sed *quale sit* spectare potissimum'. Cobet. *τοῦτον τὸν τρόπον ὡς*, ut antiquiores fere *ὥσπερ*. cf. Heindorf. Plat. Phaed. 86 a. Lobeck. Phryn. 426. 7. 4. Herodian. I 311, 29 *τὰ εἰς θη δισύλλαβα βαρύνεται . . . τήθη, τίτθη*. cf. Lob. Phryn. 134. 7. '*non* decet spectare quae non utilia sunt, neglegere (*μὴ ἐξετάσαι*) vero mores cet.; *nec* decet argentum accurate examinare, uxorem vero incaute (*μὴ δοκιμάσαντα*) et inconsulte ducere'. Eurip. El. 1097 (Mein.) *ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν γαμεῖ πονηράν, μωρός ἐστι.* 8. Bekker. Anecd. 238, 18 *δοκιμαστής· ὁ δικάζων καὶ ἱστὰς τὸν σταθμὸν καὶ τὸ μέτρον τῶν ὠνίων, εἰ ἔστι καλὰ καὶ ἔμμετρα καὶ ἀκακούργητα.* ibid. 89, 7 *δοκιμαστήν· οὐκ ἀργυρογνώμονα. δοκιμαστήν* rectius dici monet quam *ἀργυρογνώμονα*. [Plat.] De virt. 378 d *περὶ τὸ χρυσίον καὶ τὸ ἀργύριον εἰσὶν ἡμῖν δοκιμασταί . . . τίνας οὖν τούτους καλεῖς; ἀργυρογνώμονας.* — fortasse scribendum *ἐσθ' ὁ δοκιμαστής*.

533

ἀπολεῖ με τὸ γένος. μὴ λέγ', εἰ φιλεῖς ἐμέ,
μῆτερ, ἐφ' ἑκάστῳ τὸ γένος. οἷς ἂν τῇ φύσει
ἀγαθὸν ὑπάρχῃ μηδὲν οἰκεῖον προσόν,
ἐκεῖσε καταφεύγουσιν, εἰς τὰ μνήματα
καὶ τὸ γένος, ἀριθμοῦσίν τε τοὺς πάππους ὅσοι·
οὐδὲν δ' ἔχουσι πλεῖον, οὐδ' ἐρεῖς ὅτῳ
οὐκ εἰσὶ πάπποι· πῶς γὰρ ἐγένοντ' ἄν ποτε;
οἳ μὴ λέγειν δ' ἔχουσι τούτους διά τινα
τόπου μεταβολὴν ἢ φίλων ἐρημίαν,
τί τῶν λεγόντων εἰσὶ δυσγενέστεροι;
ὃς ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά,
κἂν Αἰθίοψ ᾖ, μῆτερ, ἐστὶν εὐγενής.
Σκύθης τις· ὄλεθρος· ὁ δ' Ἀνάχαρσις οὐ Σκύθης;

Stobaeus Floril. 86, 6 *Ἐπιχάρμου* A. at recte v. 1—10 idem 87, 4 *Μενάνδρου* A Voss. Hens. (utrubique). 1. *φιλεῖς τί με* Herwerd. Obs. crit. 92. at cf. Arist. Nub. 83. 2. *μῆτερ*] *μήτε* A 86. *τῇ φύσει* A Voss. 87] *φύσει* A Voss. 86. 3. *ὑπάρχῃ* A 87] *ὑπάρχει* Voss. et A 86. 4. *ἐκεῖσε*] *ἐς τοῦτο* B 86 et A Voss. 87. *μνήματα*] *κτήματα* A Voss. 86. 5. *ὅσοι* om. A Voss. 86. *ὅσα* B 86. 6. *δ'* om. Voss. 87. *οὐδένα δ' ἔχοις ἰδεῖν οὐδ' εἰπεῖν* 86 (excepto B et *ἐρεῖ* Voss.). 7. *ἐγένοντο* om. *ἄν* A Voss. 86. 8. *οἳ* Salmas.] *εἰ*. *τούτους* 87] *τοῦτο* 86. 10. *λεγόντων*] *ἐχόντων* Mein. Stob. III xxviii. *δυσμενέστεροι* A[1] 86. 11. *ὡς ἂν εὖ γερόνῶσῃ ἐρημίαν* (ex 9) *τῇ φύσει π. τ.* A. *οσανευγεροωσῃ τῇ φύσει π. τ.* Voss.

12. κἂν] καὶ A. ἦ μῆτερ Grotius] ἡ μήτηρ. ἦ μητέρων A. 13. post τις interpunxit Porson.

de sententia cf. Plat. Theaet. 174 d *πάππων καὶ προγόνων μυριάδες ἑκάστῳ γεγόνασιν ἀναρίθμητοι* (Mein. 1). 9. verba *φίλων ἐρημίαν* aliquid vitii videntur contraxisse. 12. sic contemptim *Dacus et Aethiops* Horat. C. 3, 6, 14. 13. i. e. *εἴ τις Σκύθης ἐστίν, ὄλεθρον εὐθὺς αὐτὸν καλοῦμεν.*

534

ἅπαντα τὰ ζῷ' ἐστὶ μακαριώτατα
καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί,
οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως·
τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίνεται,
ἃ δ' ἡ φύσις δέδωκεν αὐτῷ ταῦτ' ἔχει.
ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν
αὐτοὶ παρ' αὑτῶν ἕτερα προσπορίζομεν.
[λυπούμεθ' ἂν πτάρῃ τις, ἂν εἴπῃ κακῶς
ὀργιζόμεθ', ἂν ἴδῃ τις ἐνύπνιον σφόδρα
φοβούμεθ', ἂν γλαὺξ ἀνακράγῃ δεδοίκαμεν.]
ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι,
ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

Stobaeus Floril. 98, 8 *Μενάνδρου* A. 1. *μακαριώτερα* Grotius. quod nequaquam necessarium. 4. *οὗτος*] *ὅς τοι* K., ut Bekkerus Plat. Reip. 1, 330 b pro *τούτου* (*ἕνεκα*) ex codicibus (*οὕτοι*) reposuit *οὔ τοι.* itaque non opus est quod Cobet. V. l.² 542 v. 5 scribit *τούτῳ δὲ.* 6. *αὐτῷ* om. ANB. *ταῦτ' ἔχει μόνα* B. *αὐτὰ ταῦτ' ἔχει* Mein. 7. om. A. 8. *αὑτῶν* Mein.] *αὐτῶν.* 9. *εἴποι* A. 10. *ὀργιζόμεσθ', ἐὰν ἴδῃ τις ἐνύπνιον* om. *σφόδρα* Mein. 11. *ἐὰν* A. *ἄν τι* B. *δεδοίκαμεν* om. B.

cf. Philem. 93. 9. cf. Arist. Av. 720. sternutamentum etiam infelix augurium fuisse praeter alios ostendit Plinius N. h. 28, 26. post v. 11 Herwerdenus Anal. crit. 38. 9 fr. adesp. 341, in cuius v. 4 cum Cobeto scribit *τιθέμεθα*, inserens totam eclogam ad *Δεισιδαίμονα* referebat (cf. eiusd. Observ. crit. 86). mihi potius v. 9—11 ut alieno loco inlati videntur proscribendi esse.

535

εἶτ' οὐ δικαίως προσπεπατταλευμένον
γράφουσι τὸν Προμηθέα πρὸς ταῖς πέτραις,

καὶ γίνετ' αὐτῷ λαμπάς, ἄλλο δ' οὐδὲ ἓν
ἀγαθόν; ὃ μισεῖν οἶμ' ἅπαντας τοὺς θεούς,
γυναῖκας ἔπλασεν, ὦ πολυτίμητοι θεοί,
ἔθνος μιαρόν. γαμεῖ τις ἀνθρώπων, γαμεῖ;
λάθριοι τὸ λοιπὸν ἄρ' ἐπιθυμίαι κακαί,
γαμηλίῳ λέχει τε μοιχὸς ἐντρυφῶν,
καὶ φαρμακεῖαι, καὶ νόσων χαλεπώτατος
φθόνος, μεθ' οὗ ζῇ πάντα τὸν βίον γυνή.

[Lucianus] Amor. 43 καταράσεται Προμηθεῖ τὴν Μενάνδρειον ἐκείνην ἀπορρήξας φωνήν κτλ. 6. ἔθνος μιαρὸν γάρ· εἴ τις ἀνθρώπων γαμεῖ Bothius. ἔθνος μιαρόν· εἰ γάρ τις ἀνθρώπων γαμεῖ Mein. 7. τὸ add. Guietus. κακαί idem] καί. ἄρ'] γὰρ vulg. 8. τε om. aliquot cod. 9. ἐπιβουλαί ante καὶ φαρμακεῖαι del. Bentl. χαλεπωτάτη Bentl. at cf. Mein. 1. — multa in hac ecloga corrupta esse adparet. v. 4 omnes dei mulieres odisse dicuntur. itane vero? quarum permultas tantopere amaverint, ut relicto Olympo in terram descenderint. immo Euripidis admiratores et aemuli ac philosophorum haud pauci, qui caelibem vitam praedicarent. itaque scrib. ἅπαντας τοὺς σοφούς. 7. multo aptius ἐπιβουλαί (ante v. 9) quam ἐπιθυμίαι commemorantur. accedit quod v. 6 neque Boissonadii (Philostr. Epist. p. 198) emendatio γαμεῖ τις ἀνθρ., γάμει | λάθριος neque Herwerdeni (Nov. add. crit. 41) γαμεῖ τις ἀνθρ.; γαμεῖ | ὄλεθρον sufficit. scrib. γαμεῖ τις ἀνθρώπων γάρ, εἰ | λάθριοι τὸ λοιπόν εἰσιν ἐπιβουλαὶ κακαί, sententia per interrogationem efferenda. denique v. 10 φθόνος per totam vitam mulieres magis quam viros comitari quomodo dici possit non video. fortasse φόβος.

536

μὰ τὴν Ἀθηνᾶν, ἄνδρες, εἰκόν' οὐκ ἔχω
εὑρεῖν ὁμοίαν τῷ γεγονότι πράγματι,
ζητῶν πρὸς ἐμαυτὸν τί ταχέως ἀπολλύει.
στρόβιλος ἐν ὅσῳ συστρέφεται, προσέρχεται,
προσέβαλεν, ἐξέρριψεν, αἰὼν γίνεται.
ἀλλ' ἐν πελάγει συγκλυσμός· ἀναπνοὴν ἔχει
'Ζεῦ σῶτερ' εἰπεῖν 'ἀντέχου τῶν σχοινίων',
ἑτέραν περιμεῖναι χἀτέραν τρικυμίαν,
ναυαγίου τ' ἂν ἐπιλάβοιτ'· ἐγὼ δ' ἅπαξ
ἀψάμενός εἰμι καὶ φιλήσας ἐν βυθῷ.

Alexander Walz. Rhet. VIII 441. 2. De schem. 11, p. 18, 14 Spengel. *λεπτολογία ἐστίν, ὅταν ἑνὸς ἑκάστου τῶν συμβεβηκότων ἢ συμβαινόντων τὴν ἀκριβῆ καὶ ἐπὶ λεπτῷ ἐξεργασίαν ποιώμεθα, ὡς παρὰ Μενάνδρῳ ταυτί κτλ.* v. 4 Photius 543, 22 *στρόβιλος· ἡ συστροφή. καὶ ὁ λαῖλαψ. στρόβιλος ἐν ᾧ* (*ἐνῶ* cod.) *συστρέφεται.* 1. *εἰκόν'* (*εἰκόνα*) L. Norrmann.] *εἰκόνες.* 2. *εὑρεῖν* add. Porson. Adv. 294. 3. *ζητῶ* plenius post *πράγματι* interpungens Cobet. N. l. 621. *ἀπολλύει* Norrm.] *ἀπολαύει.* 4. *ἐν ὅσῳ* Porson.] *ἐν ᾧ.* ὃς *ἐν ᾧ* Spengel. in praef. 5. *προσέβαλεν* Pors.] *προέλαβεν*, pro quo *προὔλαβεν* dicendum fuisse monet Cobet. cf. quae adnotavimus ad Stephan. com. 1. idem *ὑπέλαβεν* conl. Herodot. 7, 170 *ὑπολαβόντα σφέας χειμῶνα μέγαν ἐκβαλέειν ἐς τὴν γῆν.* *ἐξέρριψεν*] *ἐξήρειψεν* vel *ἐξέτριψεν* Herwerd. Nov. add. crit. 41. *ἐξέρρηξεν* Ellis Journ. philol. X 19 conl. Aristot. Meteor. 2, 8 (366, 31). sed *ἐξέρριψεν* (scil. *τῆς νεώς* vel *τὴν ναῦν εἰς τὴν γῆν*) sanum videtur. 6. *ἔχει* Pors.] *ἔχειν.* 8. *καὶ ἑτέραν* Norrm.] *ἑτέραν.* 9. *τ'* K. mutata simul interpunctione] *δ'.* *ἐπιλάβοι'* Porson.] *ἐπιλάβοι.* 10. *καὶ φιλήσας* Norrm.] *ἐφίλησας.*

'verba sunt novi amatoris, qui *ut vidit, ut periit* et repentino amoris ictu percussus didicit *ὅτι φιλήματος οὐδέν ἐστι δεινότερον ἔρωτος ὑπέκκαυμα'.* Cobet. 4. Phrynich. Epit. 396 *οἱ ἀρχαῖοι τὴν βίαιον τοῦ ἀνέμου εἴλησιν καὶ συστροφὴν στρόβιλον καλοῦσι.* 10. *ἁψάμενος, τῆς ἐρωμένης. φιλήσας exosculatus.* verba *ἐν βυθῷ* imaginem repetunt naufragii.

537

ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει
ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας.
ἐγὼ δ' ὑπέλαβον χρησίμους εἶναι θεοὺς
τἀργύριον ἡμῖν καὶ τὸ χρυσίον.
ἱδρυσάμενος τούτους γὰρ εἰς τὴν οἰκίαν
εὖξαι· τί βούλει; πάντα σοι γενήσεται,
ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα,
φίλοι, δικασταί, μάρτυρες. μόνον δίδου·
αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας.

Stobaeus Floril. 91, 29 *Μενάνδρου* A. Compar. Men. et Phil. 359 (Studemund. Men. et Phil. comp. 68 sq. p. 23. 4). v. 6 Plutarchus Mor. 1058 c *ἐκ τῆς στοᾶς γὰρ λαβόντα τὴν ἀρετὴν ἔστιν εἰπεῖν 'εὖξαι εἴτι βούλει, πάντα σοι γενήσεται'. βασιλείαν ἔχει, τύχην δίδωσιν.* 1. *ὁ μὲν γὰρ Ἐπ. θεοὺς* Dobr. Advers. II 283. 2. *ὕδωρ γῆν ἥλιον* Grot.] *ἥλιον γῆν ὕδωρ.* 4. *ἡμῖν* Grot.] *ἡμῶν.* in exitu *μόνους* add. B. cf. Cobet. N. l. 82. *μόνον* Heinsius. 6.

εὖξαι· τί βούλει; Madvig. Advers. crit. I 719] εὖξαι τί β. εὖξαιτ' εἰ β. A Voss. εὔξαι τ' εἰ Vind. εὖξαιϑ' ὃ B. γενήσεται] γενέσϑαι A. γενήσεσϑαι B. 8. δικασταί] βοηϑοί Mein. Stob. III xxxi ex Philem. 65. ac sane δικαστὰς nemo votis sibi expetet nisi *faventes*. scr. ϑιασῶται. de sententia cf. Aristoph. fr. 437. 9. τοὺς ὑπηρέτας ϑεούς Comp. Men.

de placitis Epicharmi et Menandri cf. M. Haupt. Opusc. II 191 sq. 6. cf. Antiphan. 109, 3. Philem. 65. Plaut. Pseud. 2, 3, 5 *haéc* (epistula) . . *córnu copiaést, ubi inest quidquíd volo.*

538

ὅταν εἰδέναι ϑέλῃς σεαυτὸν ὅστις εἶ,
ἔμβλεψον εἰς τὰ μνήμαϑ' ὡς ὁδοιπορεῖς.
ἐνταῦϑ' ἔνεστ' ὀστᾶ τε καὶ κούφη κόνις
ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν
καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν
αὐτῶν τε δόξῃ κἀπὶ κάλλει σωμάτων.
κᾆτ' οὐδὲν αὐτοῖς τῶνδ' ἐπήρκεσεν χρόνος.
κοινὸν τὸν ᾅδην ἔσχον οἱ πάντες βροτοί.
πρὸς ταῦϑ' ὁρῶν γίνωσκε σαυτὸν ὅστις εἶ.

Comparatio Men. et Phil. 361 (Studemund Men. et Philist. compar. 166 sq. p. 31). 1. ὅταν] ἂν Herwerd. Mnem. nov. VI 77. ϑέλῃς Heinsius] ϑέλεις QP. σεαυτὸν Grot. Exc. 761] σαυτόν. 3. ἐνταῦϑ' Grot.] ἐνϑ' αὐτ' QP. ἔνεστ' ὀστᾶ τε Pors. Adv. 291] ἔνεστιν ὄστεα (sic fere QP). 6. κἀπὶ Mein.] καί. σωμάτων Mein.] τῶν σωμάτων. 7. κᾆτ' K.] καὶ QP. ἀλλ' Mein. αὐτοῖς Mein.] αὐτῶν. χρόνον '*vim temporis*' Grot. χορός (coniung. cum τῶνδε) Enger. Mus. Rh. 1867, 638. 9. ὄλεϑρον Heimsoeth. Ind. Bonn. 1867 aest. xiiii, quod propter ictum (ἐπήρκεσέν) admitti non potest. μόρον Herwerd., qui haec aut tragici aut imitatoris tragicorum esse censet. cur comoediae abiudicentur nullam video causam.

cf. Philem. 116. Theophylact. Simoc. Epist. 85 (Gnomol. Vind. Ritschl. Opusc. I 566, 85) εἰ λύπης ἐϑέλεις κρατεῖν, περιπόλει τοὺς τάφους. . .καὶ τὰς μεγίστας τῶν ἀνϑρώπων εὐδαιμονίας ἐπόψει περαιτέρω κόνεως μὴ κεκτημένας τὸ φύσημα. — 2. scr. ὡς ὁδοιπόρος. 8. ἔσχον] ἔλαχον K.

539

ὁ πάντα βουληϑεὶς ἂν ἄνϑρωπος πονεῖν
πᾶν ἂν γένοιτο· πλούσιος τρόπον τινά·
πάλιν φιλόσοφός τινι μαϑήσει χρώμενος·

τὸ σῶμ' ὑγιαίνει τινὰ δίαιταν προσφέρων.
πλὴν ἕν τι τῶν πάντων ἀδύνατον ἦν ἄρα
εὑρεῖν, δι' οὗ τρόπου τις οὐ λυπήσεται.
οὐ γὰρ τὸ μὴ πράττειν κατὰ νοῦν ἔχει μόνον
λύπην, παρέχει δὲ φροντίδας καὶ τἀγαθά.

Stobaeus Floril. 98, 19 *Μενάνδρου* A. v. 8 Philostr. Vit. Apoll. 2, 36 p. 88 *πολλοὺς οἶδα τῶν σφόδρα ἡγουμένων εὖ πράττειν οὐδὲ καθεύδειν δυναμένους, ἀλλ' ἐκπηδῶντας τοῦ ὕπνου, καὶ τοῦτ' ἂν εἴη τὸ παρέχειν φροντίδας καὶ τἀγαθά.* 1. *βουληθεὶς*] *παιδευθεὶς* K. nam *voluntas* sola homini nihil proderit, nisi discendo et exercitatione excolatur. *ἂν* om. A. 2. *πᾶν* Mein. Stob.] *πᾶς. πῶς* AB. *τρόπον τινά* Mein.] *τρόπον οὗτος.* 4. *ὑγιαίνειν* AB. *ὑγιαίνων* Mein. Stob. 6. *λυπηθήσεται* AB. 8. *παρέχει* Grot.] *πῦρ ἔχει.*

540

μειράκιον, οὔ μοι κατανοεῖν δοκεῖς ὅτι
ὑπὸ τῆς ἰδίας ἕκαστα κακίας σήπεται,
καὶ πᾶν τὸ λυμαινόμενόν ἐστιν ἔνδοθεν.
οἷον ὁ μὲν ἰός, ἂν σκοπῇς, τὸ σιδήριον,
τὸ δ' ἱμάτιον οἱ σῆτες, ὁ δὲ θρὶψ τὸ ξύλον.
σὲ δὲ τὸ κάκιστον τῶν κακῶν πάντων, φθόνος
φθισικὸν πεποίηκε καὶ ποιήσει καὶ ποιεῖ,
ψυχῆς πονηρᾶς δυσσεβὴς παράστασις.

Stobaeus Floril. 38, 29 *Μενάνδρου* A. 3. *πᾶν τὸ λυμαινόμενόν ἐστιν ἔνδοθεν* Dobr. Adv. II 282] *πάντα τὰ λυμαινόμεν' ἔνδοθέν ἐστιν* A Voss. *ἔνεστιν ἔνδοθεν* Grot. 4. *ἂν*] *ἐὰν* Voss. *τἂν σκοπη* A (σ suprascr. m. 2). *τὸ σιδήριον* Bentl.] *τὸ σίδηρον* A. *τὸν σίδηρον* Voss. Hens. *τὸν σίδηρον, ἂν σκοπῇς* Grot., quod fortasse recipiendum. 5. *ὁ δὲ* AB^2 Voss.] *ἡ δέ.* cf. Porson. Adv. 289. *θρὶξ* Voss.[1] Hens. 6. *σὲ* Dobr.] *ὃ. ποεῖ* Voss. 8. *παράστασις* AB^2 Voss. *παραστάτης* Arsen.

Polyb. 6, 10 (Grot.) *καθάπερ σιδήρῳ μὲν ἰός, ξύλοις δὲ θρῖπες καὶ τερηδόνες συμφυεῖς εἰσι λῦμαι . . . τὸν αὐτὸν τρόπον καὶ τῶν πολιτειῶν κατὰ φύσιν ἑκάστῃ παρέπεταί τις κακία.* Diog. L. 6, 5 (*Ἀντισθένης*) *ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ἔλεγε τοὺς φθονεροὺς ὑπὸ τοῦ ἰδίου ἤθους κατεσθίεσθαι.* Gnomol. Vind. Ritschl. Opusc. I 565, 69 *ὥσπερ σκώληξ ἀναλίσκει τὸ ξύλον ὅπου εἰσέρχεται, οὕτως καὶ ἡ ἁμαρτία μένουσα ἐν τῷ ποιήσαντι αὐτήν.* 4. coniung. *ὁ ἰὸς λυμ. τὸν σίδ.* — *ἂν σκοπῇς.* cf. Philem. 31, 5. 7. tria tempora verbi coniunguntur ut Philem. 91, 1. 2. Eur. Tro. 467

πτωμάτων γὰρ ἄξια πάσχω τε καὶ πέπονθα κἄτι πείσομαι (Ellis). sed fortasse scrib. *καὶ πονεῖν ἀεὶ ποιεῖ.* 8. Suidas *παράστασις· ὁρμή, προθυμία.*

541

τίνι δεδούλωνταί ποτε;
ὄψει· φλύαρος· τῆς γὰρ αὐτῆς πάντες ἂν
ἤρων· κρίσιν γὰρ τὸ βλέπειν ἴσην ἔχει.
ἀλλ' ἡδονή τις τοὺς ἐρῶντας ἐπάγεται
συνουσίας· πῶς οὖν ἕτερος ταύτην ἔχων
οὐδὲν πέπονθεν, ἀλλ' ἀπῆλθε καταγελῶν,
ἕτερος δ' ἀπόλωλε; καιρός ἐστιν ἡ νόσος
ψυχῆς, ὁ πληγεὶς δ' εἴσω δὴ τιτρώσκεται.

Plutarchus Stob. Floril. 63, 34 *καὶ λελάληκε* (*Μένανδρος*) *περὶ τοῦ πάθους* (*τοῦ ἔρωτος*) *φιλοσοφώτερον. ἄξιον γὰρ εἶναι θαύματος φήσας τὸ περὶ τοὺς ἐρῶντας ὥσπερ ἐστὶν ἅμα λαλεῖ· εἶτα ἀπορεῖ καὶ ζητεῖ πρὸς ἑαυτὸν κτλ.* v. 7. 8 Plutarch. Mor. 763 b *τὸ αὐτὸ σῶμα πολλοὶ καὶ τὸ αὐτὸ κάλλος ὁρῶσιν, εἴληπται δ' εἷς, ὁ ἐρωτικός· διὰ τίνα αἰτίαν; οὐ γὰρ μανθάνομέν γέ που Μενάνδρου λέγοντος, οὐδὲ συνίεμεν καιρός ἐστιν κτλ.* 1. *δεδούλωνται* Vind. B] *δεδούλωται.* 5. *ταύτην*] *αὐτὴν* K. 7. *δ'* add. Dobr. 8. *εἴσω δὴ*] *εἰσβολῇ* Bentl. *εἷς ὁδὶ* G. Herm. *εὐστοχίᾳ* Iacobs. Lect. Stob. 105. 6 ex paraphrasi Plutarchea *τοῦτο δὲ εὐστοχίας ἐστὶ καιροῦ τῷ πάθει ἀμωσγέπως συνάπτοντος. ἔνδοθεν* Dorvill. cf. Cobet. N. l. 82. 3. *εἰς ὅλην* (*τὴν ψυχήν*) anon. apud Ellis. Journ. philol. X 21. *αὐτόθεν* Mein. V CCLXXI. *ἡσυχῇ* K.

quae apud Plutarchum praecedunt verba Meinekius ita in versus dispescit: *ἄξιον γὰρ θαύματος* | *τὸ πάθος ἔρωτος ὁπόθεν ἀρχὴν λαμβάνει.* versum alterum *τὸ τῶν ἐρώντων, οἷς πάρεστιν, ἀμποιεῖ* refingit Ellis 20. possunt multa alia excogitari.

542

εἴπερ τὸν ἀδικοῦντα μὲν ὡς ἠμύνετο
ἕκαστος ἡμῶν καὶ συνηγωνίζετο,
ἴσως νομίζων ἴδιον εἶναι τὸ γεγονὸς
ἀδίκημα, καὶ συνέπραττον ἀλλήλοις πικρῶς,
οὐκ ἂν ἐπὶ πλεῖον τὸ κακὸν ἡμῖν ηὔξετο
τὸ τῶν πονηρῶν, ἀλλὰ παρατηρούμενοι
καὶ τυγχάνοντες ἧς ἔδει τιμωρίας
ἤτοι σπάνιοι σφόδρ' ἂν ἦσαν ἢ πεπαυμένοι.

Stobaeus Floril. 43, 30 *Μενάνδρου* A. 1. *ἀδικοῦντ' ἀσμένως* Grot. *ἐπιμελῶς* Mein. Stob. II xi. 2. *συνηγωνίζετο* AB] *συνηγωνίσατο* Voss. Hens. 4. *συνεπράττομεν* Heringa Obs. 273. *πικρῶς*] *πονηρῶς* Voss. H. 5. *ηὔξετο* Bentl.] *ηὔξαιτο* AB. om. Voss. H. 8. *σφόδρα μὲν* Voss. H. — *ἀδικοῦντ' εὐμενῶς — ἡμῖν — συνηγωνίζετο | πικρῶς — ἀλλήλοις, ἴσως | οὐκ ἂν κτλ.* Herwerd. Anal. crit. 31.

nulla v. 1 emendatio earum quae adhuc prolatae sunt sufficit. fortasse scribendum *εἰ χειρὶ τοῖς ἀδικουμένοις ἠμύνετο κτλ.* cf. Plat. com. 174, 14. *ἀμύνεσθαί τινι* Plat. Reip. 5, 464 e *ἥλιξι ἥλικας ἀμύνεσθαι καλόν.* sed omnem paene dubitationem eximit quem Meinekius attulit Diog. L. 1, 59 *ἐρωτηθεὶς (Σόλων) πῶς ἥκιστ' ἂν ἀδικοῖεν οἱ ἄνθρωποι, εἰ ὁμοίως, ἔφη, ἄχθοιντο τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικούμενοι.* cf. etiam 679.

543

Δέρκιππε καὶ Μνήσιππε, τοῖς εἰρημένοις
ἡμῶν ὑπό τινος ἢ πεπονθόσιν κακῶς
ἔστιν καταφυγὴ πᾶσιν, οἱ χρηστοὶ φίλοι.
καὶ γὰρ ἀποδύρασθ' ἔστι μὴ γελώμενον,
καὶ συναγανακτοῦνθ' ὁπόταν οἰκείως ὁρᾷ
ἕκαστος αὑτῷ τὸν παρόντα, παύεται
τοῦτον μάλιστα τὸν χρόνον τοῦ δυσφορεῖν.

Stobaeus Floril. 113, 9 *Μενάνδρου* A. 2. *ἡμῖν* B². 4. *ἀποδύρασθ' ἔστι* L. Dindorf. Ann. Fleckeis. 1869, 524] *ἀποδύρασθαί τι* AB. alii *ἐποδ.* non adsentior Meinekio Stob. IIII xiiii. 6. *αὑτῷ* Mein. Stob.] *αὐτῶν.* — novasse Menandrum *τὸ λέγομαι κακῶς ὑπό τινος* pro *ἀκούω κακῶς* ad normam *τοῦ λέγω τινὰ κακῶς* monet Cobet. N. l. 54. 5.

544

παράδειγμα τοὺς Σύρους λαβέ·
ὅταν φάγωσ' ἰχθὺν ἐκεῖνοι, διά τινα
αὑτῶν ἀκρασίαν τοὺς πόδας καὶ γαστέρα
οἰδοῦσιν, ἔλαβον σακίον, εἶτ' εἰς τὴν ὁδὸν
ἐκάθισαν αὐτοὺς ἐπὶ κόπρου, καὶ τὴν θεὸν
ἐξιλάσαντο τῷ ταπεινοῦσθαι σφόδρα.

Porphyrius De abstin. 4, 347 (177, 4 Nauck.) *τὸ μέντοι τῶν ἰχθύων ἀπέχεσθαι ἄχρι τῶν Μενάνδρου χρόνων τοῦ κωμικοῦ διέμεινε·*

λέγει γὰρ κτλ. 2. *φάγωσ'* Pors. Toup. Opusc. IIII 471] *φάγωσιν.* 3. *αὐτῶν* Nauck. *ἄτοπον* Herwerd. Obs. crit. 122. *τὼ πόδε* R, quod recipiendum et scrib. *καὶ τὴν γαστέρα.* 4. *ἔλαβον* Scaliger] *εἶτ' ἔλαβον.* *σακίον* Pors. Dobr. Arist. p. 115] *σακκίον.* cf. Aristoph. fr. 328. Phrynich. Ecl. 257, sed ibi etiam Lobeck. Phot. 497, 10 *σάκος· οἱ Ἀττικοὶ λέγουσι διὰ τοῦ ἑνὸς κ̄.* Eustath. 588, 12 *οἱ παλαιοὶ τὸν σάκκον φασὶ καὶ δι' ἑνὸς γράφεσθαι κ̄, καθὰ δηλοῖ καὶ ὁ κωμικός.* 5. *αὐτοὺς* Toup. Opusc. II 149] *αὐτοί.* 6. *τῷ* Cleric.] *τοῦ.* *ταπεινοῦσθαι* K.] *ταπεινῶσαι.* *τεταπεινῶσθαι* Heringa.

ad *Δεισιδαίμονα* referebat Clericus. Plut. Mor. 168 d (*ὁ δεισιδαίμων*) *ἔξω κάθηται σακκίον ἔχων καὶ περιεζωσμένος ῥάκεσι ῥυπαροῖς, πολλάκις δὲ γυμνὸς ἐν πηλῷ καλινδούμενος ἐξαγορεύει τινὰς ἁμαρτίας αὐτοῦ.* at talia poterant in quavis fabula narrari. Diodor. 2, 4 *τοὺς Σύρους...ἀπέχεσθαι τούτου τοῦ ζῴου καὶ τιμᾶν τοὺς ἰχθῦς ὡς θεούς.* ubi cf. Wesseling. Lucian. De dea Syr. 14 (*οἱ Σύροι*) *ἰχθύας χρῆμα ἱρὸν νομίζουσι καὶ οὔκοτε ἰχθύων ψαύουσι.* 3. 4. Martial. 4, 43 *iuro per Syrios tibi tumores.* v. 2 scr. *ἰχθὺν ἐκεῖ καὶ — οἰδῶσιν,* ut apodosis incipiat ab *ἔλαβον.*

545

Lucianus Pseudolog. 4 *παρακλητέος ἡμῖν τῶν Μενάνδρου προλόγων εἷς ὁ Ἔλεγχος, φίλος Ἀληθείᾳ καὶ Παρρησίᾳ, θεὸς οὐχ ὁ ἀσημότατος τῶν ἐπὶ τὴν σκηνὴν ἀναβαινόντων, μόνοις ὑμῖν ἐχθρὸς τοῖς δεδιόσι τὴν γλῶτταν αὐτοῦ, πάντα εἰδότος καὶ σαφῶς διεξιόντος ὁπόσα ὑμῖν σύνοιδεν.* idem De conscr. hist. 41 *τοιοῦτος ὁ συγγραφεὺς ἔστω, ἄφοβος, ἀδέκαστος, ἐλεύθερος, παρρησίας καὶ ἀληθείας φίλος, ὡς ὁ κωμικός φησι, τὰ σῦκα σῦκα, τὴν σκάφην δὲ σκάφην ὀνομάσων.* Aphthonius Prog. 11 (p. 45, 1 Spengel.) *προσωποποιία, ὅταν ἅπαντα πλάττηται, καὶ ἦθος καὶ πρόσωπον ὥσπερ ἐποίησε Μένανδρος Ἔλεγχον.* Hermogenes Prog. 9 (p. 15, 44 Spengel.) *προσωποποιία, ὅταν πράγματι περιτιθῶμεν πρόσωπον, ὥσπερ ὁ Ἔλεγχος παρὰ Μενάνδρῳ.* Theon. Prog. 68, 21 *προσωποποιίας τί ἂν εἴη παράδειγμα κάλλιον...τῶν Μενάνδρου δραμάτων.* cf. etiam Doxopatr. Walz. Rhetor. II 646, 21. Cramer. Anecd. Par. I 398, 22 *Μενάνδρου φίλος ἀλήθεια καὶ θεοὶ παρρησία,* quae corrigenda sunt ex superioribus. *Ἐλευθερία, Παρρησία, Ἔλεγχος* cum *Veritate* coniunguntur Lucian. Pisc. 17. Apost. 16, 10 *τὰ σῦκα σῦκα λέγω καὶ τὴν κάρδοπον (κάρδοπον) ἐπὶ τῶν τὰ ἀληθῆ λεγόντων ἀνεπιφθόνως.* 15, 95 b *τὰ σῦκα σῦκα, τὴν σκάφην σκάφην λέγει.* cf. adesp. 227. Mein. ed. min. xxi. Fritzsch. Lucian. I p. 90, quocum ex parte tantummodo consentio. — his omnibus conlatis Menandrum sic fere scripsisse arbitror (ac v. 1. 2. 7 sic iam Meinekius):

Ἔλεγχός εἰμ' ἐγώ,
ὁ φίλος Ἀληθείᾳ τε καὶ Παρρησίᾳ
Ἐλευθερίᾳ τε (συγγενέστατος) θεός,
μόνοισιν ἐχθρὸς τῶν βροτῶν τοῖς τὴν ἐμὴν
γλῶτταν δεδιόσι, πάντα τ' εἰδὼς καὶ σαφῶς
διεξιὼν ὑπόσα σύνοιδ' ὑμῖν (κακά),
τὰ σῦκα σῦκα, τὴν σκάφην σκάφην λέγων.

Elenchus prologi est, non fabulae nomen. sic Philemo *Aëra*, poeta anon. (adesp. 154) *Φόβον προλογίζοντα* fecerat, Afranius *Σοφίαν (Sapientiam)*, Plautus *Arcturum, Auxilium, Larem familiarem, Luxuriam, Inopiam* cet.

546

τοὺς τῆς γαμετῆς ὅρους ὑπερβαίνεις, γύναι,
τὴν αὐλίαν· πέρας γὰρ αὔλειος θύρα
ἐλευθέρᾳ γυναικὶ νενόμιστ' οἰκίας·
τὸ δ' ἐπιδιώκειν εἴς τε τὴν ὁδὸν τρέχειν,
ἔτι λοιδορουμένην, κυνός ἐστ' ἔργον, Ῥόδη.

Stob. Floril. 74, 11 *Μενάνδρου* A. Harpocrat. *αὔλειος ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας, ὡς δηλοῖ Μένανδρος.* 2. *διὰ τὴν αὐλὰν λίαν* A Voss. *τὴν αὔλιον* Pors. Kidd. 387. *αὐθαδίᾳ* Bentl. (del. *διὰ τὴν*). *τὴν αὐλίαν (αὔλιον)* del. Cob. N. l. 76. 7. deinde *αὔλειος* B Bentl.] *αὔλιος*. *ὅρος γὰρ αὔλειος θύρα* Cob. ibid. 178. *ὅρους ὑπερβ. γ.* | *τοὺς τῆς γαμετῆς· πέρας γὰρ κτλ.* Nauck. cf. tamen Aristoph. fr. 255. Pac. 982. 5. *ἔστεργον ῥώδη* Voss. Hens. ac *ῥώδη* etiam A. *κυνὸς κτλ.* om. B.

ad *Ἱέρειαν* propter *Ῥόδης* nomen referebat Clericus, incerta prorsus coniectura. cf. Philem. 84.

547. 548

πάντες μὲν οἱ Θρᾷκες, μάλιστα δ' οἱ Γέται
ἡμεῖς ἁπάντων (καὶ γὰρ αὐτὸς εὔχομαι
ἐκεῖθεν εἶναι τὸ γένος), οὐ σφόδρ' ἐγκρατεῖς
ἐσμέν.
γαμεῖ γὰρ ἡμῶν οὐδὲ εἷς εἰ μὴ δέκ' ἢ
ἕνδεκα γυναῖκας, δώδεκ' ἢ πλείους τινές.
ἂν τέτταρας δ' ἢ πέντε γεγαμηκώς τις ᾖ,
καταστροφὴ γῆς, ἀνυμέναιος ἄθλιος,
ἄνυμφος οὗτος ἐπικαλεῖτ' ἐν τοῖς ἐκεῖ.

Strabo 296. 7 *λέγει Μένανδρος περὶ αὐτῶν (τῶν Γετῶν), οὐ πλάσας, ὡς εἰκός, ἀλλ' ἐξ ἱστορίας λαβών. πάντες — ἐσμέν. καὶ ὑποβὰς μικρὸν τῆς περὶ τὰς γυναῖκας ἀκρασίας τίθησι παραδείγματα γαμεῖ κτλ.* 5. *εἰ μὴ δέκ' ἢ* Salmasius Exerc. Plin. 112 a] *οὐδέκ' ἤ*. 6. *δώδεκ' ἢ* Porson.] *δώδεκά τε. δώδεκά τις πλ.* Vatic. *δωδεκέτις* Ven. Mosq. 7. *τις ἢ* K.] *τύχῃ*. 8. *γῆς* K.] *τις. τύχῃ | καταστροφῆς τις* Tyrwhitt. *ἄθλιος*] *ἤθεος* Naber. Mnem. nov. VIII 421. at eo nomine numquam ni fallor in malam partem utuntur. fortasse verba sic transponenda sunt *ἄνυμφος οὗτος, ἀνυμέναιος κἄφιλος* (*adfinibus carens*), *καταστρ. γ. ἐπικαλ.* — *καταστροφὴ γῆς pernicies patriae* vocatur, ut *δύ' ἄτα κἀπαναστάσεις θρόνων* Antigone et Ismene dicuntur Soph. Ant. 533.

549

ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν
αἰτοῦ παρὰ θεῶν, ἀλλὰ τὴν μακροθυμίαν.
ὅταν γὰρ ἄλυπος διὰ τέλους εἶναι θέλῃς,
ἢ δεῖ θεόν σ' εἶναί τιν' ἢ τάχα δὴ νεκρόν.
παρηγόρει δὲ τὰ κακὰ δι' ἑτέρων κακῶν.

Compar. Men. et Phil. 362 *Μένανδρος περὶ λογισμῶν* (Studemund Men. et Philist. comp. 201 sq. p. 34). v. 1—4 om. poetae nomine Boisson. Anecd. I 126. 1. *τὴν* om. Boiss. 2. *αἴτει* Boiss. *θεῶν* Heinsius] *θεοῦ*. *τὴν* add. Dobr. Adv. II 285. *μακροθυμεῖν σε χρή* Boiss. 3. *ὅταν δ'* Bentl. *ἐπὰν δὲ ἄλ.* Boiss. *ἐὰν δ'* Dobr. 4. *σ' εἶναί τιν'* Mein.] *σε εἶναι. ἢ γάρ σε θεὸν εἶναι δεῖ ἢ τάχα νεκρόν* Boiss. *ἐὰν δ' ἄλυπος — ἢ δεῖ θεόν σ' εἶναι γὰρ* Nauck. *ἄνθρωπον ὄντ' οὐδ. τ. ἀλ. | αἰτεῖν π. θ., ἀλλὰ μακροθυμεῖν σε χρὴ παρηγορεῖν τε τὰ κ. δι' ἑτ. κ. | ἢ δεῖ θεόν σ' εἶναι γὰρ ἢ τάχα δὴ ν. | ἐὰν ἄλυπος κτλ.* H. Iacobi Progr. Posn. 1861, 11 conl. Babr. 30, 10 *ἢ γάρ με νεκρὸν ἢ θεὸν σὺ ποιήσεις* et epigrammate in Epicharmum composito Bergk. Poet. lyr.[2] 456 *εἰμὶ νεκρὸς κτλ.* — mihi *παρηγορεῖν τὰ κακὰ δι' ἑτέρων κακῶν* non videtur defendi posse exemplo Philem. 234. nam si 'calamitates calamitatibus solvuntur eo quod mala malis consolantur' i. e. in oblivionem ducunt, idcirco non recte homo ipse mala malis consolari iubetur. fortasse scr. *παρηγόρει τε τὰ κάκ' ἀεὶ διακαρτερῶν*, qui versus post v. 2 inserendus est.

550. 551

ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γενομένῳ, μυσταγωγὸς τοῦ βίου

ἀγαθός· κακὸν γὰρ δαίμον' οὐ νομιστέον
εἶναι βίον βλάπτοντα χρηστόν . . .
. . . .
ἅπαντα δ' ἀγαθὸν εἶναι τὸν θεόν . .

Clemens Alex. Strom. 5, 14, 130 *Μένανδρος ὁ κωμικὸς ἀγαθὸν ἑρμηνεύων τὸν θεόν, φησίν ἅπαντι — χρηστόν. εἶτα ἐπιφέρει ἅπαντα — θεόν, ἤτοι πάντα θεὸν ἀγαθὸν λέγων ἢ ὅπερ καὶ μᾶλλον ἐν πᾶσι τὸν θεὸν ἀγαθόν.* cf. Eusebius Praep. ev. 13 p. 403. v. 1—3 (*ἀγαθός*) Plutarchus Mor. 474 b *ὡς ὁ Μένανδρός φησιν κτλ.* v. 1. 2 Ammianus Marc. 21, 14 *in lucem editis hominibus cunctis . . . quaedam . . . numina sociari . . . auctores docuere praeclari: inter quos est etiam Menander comicus, apud quem hi senarii duo leguntur κτλ.* Stobaeus Ecl. 1, 5 (4), 4 Wachsm. *Μενάνδρου* (adscr. ad ecl. 3, cf. Wachsm.). Schol. Theocr. 2, 28 *Μένανδρός φησι* '*δαίμων — γινομένῳ*' (*γεινομένῳ*) Ambros. Ziegler. p. 21.

1. *ἅπαντ' ὁ δ.* FP Stob. *συμπαρίσταται* Clem. Stob. Schol. Theocr. Vat. 4. 5. P (2835). *συμπαραστατεῖ* Plut. 4. in exitu *οὐδένα* ex Eurip. Iph. T. 391 *οὐδένα γὰρ οἶμαι δαμόνων εἶναι κακόν* addit Toeppel. Progr. Neobr. 1857, 15. 5. *ἀγαθὸν οἴομ' εἶναι* Dobr. Adv. II 284. *ἅπαντα δ' ἡγοῦμ' ἀγ. εἶναι τὸν θεόν* K. 'deum in omnibus bonum esse existimo'. — 1. Soph. El. 916 *τοῖς αὐτοῖσί τοι οὐχ αὑτὸς ἀεὶ δαιμόνων παρίσταται.* Senec. Epist. 110 *unicuique nostrum paedagogum dari deum.* de sententia cf. Heindorf. Plat. Phaed. 107 d. Lehrs Pop. Aufs. 169. 70.

552

ὦ γῆρας ἐχθρὸν σωμάτων ἀνθρωπίνων,
ἅπαντα συλῶν τὰ καλὰ τῆς εὐμορφίας,
καὶ μεταχαράττον τὴν μὲν ἀνδρίαν μελῶν
εἰς τἀπρεπές, τὸ δὲ τάχος εἰς ὄκνον πολύν.

Compar. Men. et Phil. 357 *Μένανδρος περὶ γήρως* (Studemund. Men. et Phil. Comp. 35 sq. p. 21). 2. *τὰ* add. Mein. 3. *μεταχαράττον* Mein.] *μεταχαράσσον. ἀνδρίαν*] *ἁρμονίαν* Bergk. *ἀγλαΐαν* Mein. 4. *τἀπρ.* Bentl.] *ἀπρ.* qui apud Studemundium sequuntur versus duo, huc certe non pertinent.

553

ἐὰν πονηροῦ γείτονος γείτων ἔσῃ,
πάντως παθεῖν πονηρὸν ἢ μαθεῖν σε δεῖ·
ἐὰν ἀγαθοῦ γείτονος γείτων ἔσῃ,
ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.

Compar. Men. et Phil. 361 *Μένανδρος περὶ γειτονίας* (Studemund. Men. et Phil. comp. 133 sq. p. 28). Boisson. Anecd. I 151, ubi v. 4 prorsus corruptus. 1. 3. *ἔσῃ*] *γένῃ* Mein. ed. mai. 2. *τι παθεῖν* Dobr. Adv. II 285. *ποιεῖν πονηρὸν ἢ παθεῖν τι δεῖ* K. 3. *ἐὰν δ' ἄρ'* Grot. *ἐὰν ἀγ. δὲ* Rutgers. *ἐὰν δικαίου* Heinsius. 4. *ὡς*] *καὶ* Dobr. *σῶς* K. *ἀγαθὰ* Grot.] *τὰ ἀγαθὰ. προσμανθάνεις*] fortasse *προσλαμβάνεις*. cf. 564, 3.

554

οὐκ ἐκ πότων καὶ τῆς καθ' ἡμέραν τρυφῆς
ζητοῦμεν ᾧ πιστεύσομεν τὰ τοῦ βίου,
πάτερ; οὐ περιττὸν οἴετ' ἐξευρηκέναι
ἀγαθὸν ἕκαστος, ἂν ἔχῃ φίλου σκιάν;

Plutarchus Mor. 479 c *ὁ Μένανδρος ὀρθῶς κτλ.* v. 4 idem Mor. 93 c *τὸν παρὰ τῷ Μενάνδρῳ νεανίσκον ὑπερφυῶς ἐπαινοῦμεν εἰπόντα θαυμαστὸν ὅσον νομίζειν ἀγαθὸν ἕκαστον, ἂν κτλ.* 3. *οὐ* Grot.] *οὗ*. idem per interrogationem haec efferri iussit. cf. Madvig. Advers. crit. I 642. Cobet. V. l.² 380. N. l. 90. '*nonne quaerimus? nonne quisque putat?*'.

555

ὀχληρὸν ὁ χρόνος ὁ πολύς. ὦ γῆρας βαρύ,
ὡς οὐδὲν ἀγαθόν, δυσχερῆ δὲ πόλλ' ἔχεις
τοῖς ζῶσι καὶ λυπηρά. πάντες εἰς σὲ δὲ
ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν.

Stobaeus Floril. 116, 8 *Μενάνδρου* A. 1. *ὦ* B] *τὸ*. *βαρύ*] *βαθύ* Mein. 3. *τοῖς ζῶσι*] *βροτοῖσι* K. nam prorsus aliter *οἱ ζῶντες* et *τὸν ζῶντα* Philem. 71, 12. 133, 3.

556

ἔνεγκ' ἀτυχίαν καὶ βλάβην εὐσχημόνως.
τοῦτ' ἔστιν ἀνδρὸς νοῦν ἔχοντος, οὐκ ἐὰν
ἀνασπάσας τις τὰς ὀφρῦς οἴμοι λαλῇ,
ἀλλ' ὃς τά γ' αὑτοῦ πράγματ' ἐγκρατῶς φέρει.

Stobaeus Floril. 108, 31 *Μενάνδρου* A. 2. *οὐκ ἐὰν — λαλῇ* Mein.] *οὐκ ἄνω — λαλεῖ. οὐχ ὃς ἂν* B. 3. *ἀνασπάσαντα — λαλεῖν* H. Stephanus. *οἴμοι* Gesn.] *εἰ μή. ἐμοὶ* B. 4. *τά γ' αὑτοῦ* Mein.] *τὰ αὑτοῦ.*

557

πλεονεξία μέγιστον ἀνθρώποις κακόν·
οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας
ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Stobaeus Floril. 10, 3 *Μενάνδρου* A. Antonius Mel. 41 p. 65. Maxim. Conf. 22, 59 p. 602 Combefis. 2. *γὰρ*] *μὲν* Max. Conf. 4. *ἀλλοτρίοις* iure corruptum putabat Mein. male defendit Herwerd. Obs. crit. 94. fortasse *ἐναντίοις*.

558

Διονυσίων μὲν ἦν
πομπή . . . .
ὁ δέ μ' ἠκολούθησεν μέχρι τοῦ πρὸς τὴν θύραν·
ἔπειτα φοιτῶν καὶ κολακεύων ἐμέ τε καὶ
5 *τὴν μητέρ' ἔγνω μ'.*

Hermogenes De inv. 4, 11 p. 177 Walz. 255, 28 Spengel. *ὅπου δ' ἂν ὁ νοῦς αἰσχρὸς ᾖ, τότε χρεία τῆς σεμνότητος τοῦ λόγου ... ὡς παρὰ τῷ Μενάνδρῳ. πυθομένου γάρ τινος κόρης πῶς εἴη διεφθαρμένη, σεμνῶς ἀφηγήσατο πρᾶγμα αἰσχρὸν ὀνόμασι βελτίστοις κτλ. τὸ γὰρ διεφθάρθαι καὶ ὑβρίσθαι σεμνῶς 'ἔγνω με' εἰπὼν ἐκόσμησε πρᾶγμα αἰσχρὸν σεμνοτέρᾳ λόγου συνθέσει.* Plautus Cist. 1, 1, 91 *per Dionýsia máter pompam mé spectatum dúxit. dum redeó domum cónspicillo cónsecutust clánculum me usque ád foris. índe in amicitiam ínsinuavit cúm matre et mecúm simul, blánditiis, munéribus, donis.* 1. *μὲν* add. Dobr. fortasse *ἦν Διονυσίων*. 2. *πομπή· 'πὶ τὴν θέαν δὲ μήτηρ μ' ἤγαγεν* ex Plauto Herwerd. Mnem. n. VI 77. 3. *με* Vind.] *μοι*. *ἠκολούθησεν* Dobr. Adv. II 285] *ἠκολούθησε*. *ὁ δ' ἐπηκολούθησεν* Bernhardy Synt. 98. *ὁ δ' ἠκολούθησεν* vel *ὁ δ' ἠκολούθει μοι* Herwerd. 4. *ἐμέ τε καὶ* add. Dobr. 5. *γινώσκειν* ut lat. *cognoscere*.

559

λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος·
ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια·
λέγουσι δ' αὐτὸν οἱ πάλαι σοφώτατοι
ἀστεῖον εἶναι φάρμακον.

Compar. Men. et Phil. 362 *Μένανδρος περὶ λόγου* (Studemund 182 sq. p. 32). v. 1. 2 Schol. Venet. Hom. Il. 15, 393 *Μέναν-*

δρος γὰρ ἔφη ὡς ἰατρός ἐστιν ὁ λόγος ἀνθρώποις νόσων. ψυχῶν γὰρ οὗτος μόνος ἔχει κουφίσματα, πρὸς τὸ μὴ συγκαταπίπτειν τῷ σώματι τὴν ψυχήν, ἀλλ' ὑπερορᾶν τὸ βάρος τοῦ σώματος. Schol. Aesch. Prom. 378 (om. auctoris nomine et v. 1 *λόγος γὰρ ἀνθρώποισιν ἰᾶται νόσους*). cf. 591, 3. monost. 326. 577. 622. 674. Diphil. 117. 1. *πάρεστιν ὁ λόγος ἰατρὸς ἀνθρώπῳ νοσοῦντι* QP. 2. *θελκτήρια* Schol. Aesch.] *ἰάματα* QP. 3. *σοφώτατα* Herwerd. Obs. crit. 93. 4. *ἀστίον* QP. *οἰκεῖον εἶναι φάρμακον τοῖς ἀθλίοις* Naber. Mnem. nov. VIII 422.

560

θύων οὐδεπώποτ' ηὐξάμην
ἐγὼ τὸ σῷζον τὴν ἐμὴν συνοικίαν,
ἀλλὰ παρέλιπον οἰκετῶν εἶναι στάσιν
ἔνδον παρ' αὐτῶν, πρᾶγμα χρησιμώτατον.

Schol. Victor. Hom. Il. 21, 389 *καὶ Μένανδρος* (*καὶ*) *τοῦτο* (an *Εὐνούχῳ*?) *θύων κτλ.* Schol. A *οὐδέποτε θύων εὐξάμην ἄλλως σῴζεσθαι τὴν οἰκίαν ἢ στάσιν οἰκετῶν εἶναι ἐν αὐτῇ.* Philodem. Hercul. vol. VIII col. 10 *βλακεύειν φραστέον, εἰ νομίζει* (*βασιλεὺς*) *τὴν ἀρχὴν οὕτως ἀσφαλεστέραν ἕξειν, ὡς καὶ τῶν ἰδιωτῶν τινες εὐκταῖον ὑπονοοῦσιν οἰκετῶν εἶναι στάσιν.* cf. Buecheler. Mus. Rhen. XXXXII 200. 2. *συνοικίαν* Fiorillo Herod. Att. 161] *οἰκίαν. τὸ σῴζειν τὴν ἐμὴν Δι' οἰκίαν* Buecheler. 3. *παρέλειπον* Mein. *ἀλλ' οὐ παρέλιπον* Buechel. 4. *αὐτῶν* (*αὐτ.*) Bothius] *αὐτῷ. αὐτῷ* Buechel.

scrib. *θεοῖσι θύων — ἔγωγε σῴζειν — ἀλλ' ἢ παρενείρων οἰκετῶν θεῖναι* (*τοὺς θεοὺς*) *στάσιν.* atque *ἀλλ' ἢ* etiam Ellis Journ. philol. X 21. multo violentius Herwerd. Obs. crit 94. — Plut. Cat. mai. 21 (Mein. 1) *ἀεὶ στάσιν τινὰ ἔχειν τοὺς δούλους ἐμηχανᾶτο καὶ διαφορὰν πρὸς ἀλλήλους, ὑπονοῶν τὴν ὁμόνοιαν καὶ δεδοικώς.*

561

τῆς σκιᾶς τὴν πορφύραν
πρῶτον ἐνυφαίνουσ'· εἶτα μετὰ τὴν πορφύραν
τοῦτ' ἔστιν οὔτε λευκὸν οὔτε πορφύρα,
ἀλλ' ὥσπερ αὐγὴ τῆς κρόκης κεκραμένη.

Athenaeus 2, 162. 3. Dindorf. *Μένανδρος πάλιν κτλ.* 2. *ἐνυφαίνουσιν* C. 4. *τῇ κρόκῃ* Mein. — cf. Aristoph. fr. 712. Plin. N. h. 35, 29 *tandem ars ... invenit lumen atque umbras, differentia colorum alterna vice sese excitante. postea deinde adiectus est*

splendor, alius hic quam lumen. quod inter haec et umbras esset adpellaverunt tonon, commissuras vero colorum et transitus harmogen.

562

πῶς δὴ τὸ τραῦμα τοῦτ' ἔχεις;
'μεσαγκύλῳ.' πῶς πρὸς θεῶν; 'ἐπὶ κλίμακα
πρὸς τεῖχος ἀναβαίνων.' ἐγὼ μὲν δεικνύω
ἐσπουδακώς, οἱ δὲ πάλιν ἐπεμυκτήρισαν.

Plutarchus Mor. 547 c *ἔνιοι δὲ κακοήθως οἷόν τι δέλεαρ μικρὸν εὐλογίας ὑποβάλλοντες ἐκκαλοῦνται τὴν περιαυτολογίαν· οἱ δὲ προσπυνθάνονται καὶ διερωτῶσιν ὡς παρὰ τῷ Μενάνδρῳ τὸν στρατιώτην, ἵνα γελάσωσι κτλ.* v. 4 Tryphon De tropis 21 (VIII 759 Walz. 205, 23 Spengel. cf. Bachm. Anecd. II 423. 4) *μυκτηρισμός ἐστι τὸ μετὰ ποιᾶς κινήσεως καὶ συναγωγῆς τῶν μυκτήρων γινόμενον, ὥσπερ καὶ Μένανδρός φησιν 'οἱ δὲ ἐμυκτήρισαν'.* 1. *πῶς*] *τῷ*, i. e *τίνι*, K.: nam respondet *μεσαγκύλῳ* et tum demum alter interrogat *πῶς*; *δὴ* add. cod. Duebn. 2. *κλίμακι* vel *-ος* Mein. *πρὸς κλίμακα* | *ἐπὶ τεῖχος* Bachmann. Coniect. Arist. 82. 3: sed quae ad tuendam coniecturam attulit non magni sunt pretii.

ad *Colacem* refert Cobet. V. l.[2] 317. sed cf. 58. Lucian. Dial. meretr. 9 et 13. narrat parasitus quomodo in convivio militem ad stultam magniloquentiam provocaverit eoque risum eorum qui aderant excitaverit. *δείκνυμι ἐσπουδακώς* est '*serium vultum ostendo* quasi his omnibus' militis narrationibus "habeam fidem'. Cobet. 4. Pollux 2, 78 *μυκτηρίζειν . . . τῷ μυκτῆρι ἐνδείκνυσθαι τὸ δυσχεραίνειν. . .καὶ τὸν εἴρωνα ἔνιοι μυκτῆρα καλοῦσιν.* Phot. *μυκτηρίζει· ἐξουθενεῖ.* Hesych. *μυκτηρίζει· χλευάζει, καταγελᾷ.*

563

ταύτας μεγίστας ἀποτίνω 'γὼ συμβολάς.
σφάττει με, λεπτὸς γίνομ' εὐωχούμενος
τὰ σκώμμαθ' οἷα τὰ σοφά τε καὶ στρατηγικά.
οἷος δ' ἀλαζὼν ἐστιν ἀλιτήριος.

Plutarchus Mor. 547 cd *καὶ κόλακι καὶ παρασίτῳ δύσοιστον ἐν χρείᾳ καὶ δυσκαρτέρητον ἑαυτὸν ἐγκωμιάζων πλούσιός τις ἢ σατράπης ἢ βασιλεύς. καὶ συμβολὰς ταύτας ἀποτίνειν μεγίστας λέγουσιν, ὡς ὁ παρὰ Μενάνδρῳ κτλ.* v. 1 ex Plut. add. K., inserto *'γὼ*. 3. *τὰ σκωμμάτια* Mein. *κομπάσμαθ'* G. A. Hirschig. Ann. crit. 26, incertum relinquens quomodo versus absolvendus esset. *τὰ σκεμμάτια* Herwerd. Mnem. nov. VI 78. cum deminutivum de magniloqua

militis oratione aptum non esse videatur, scribo *τὰ σκέμματ' ἀεὶ τὰ σοφὰ καὶ στρ.* — proclive est ad *Colacem* vel ad *Thrasyleontem* haec referre, sed non minus incertum.

564. 565

καίτοι τί λογίζομ' ὁ κακοδαίμων προσδοκῶν
χάριν παρὰ γυναικὸς κομιεῖσθαι; μὴ μόνον
κακόν τι προσλάβοιμι, καὶ κάλλιστ' ἔχει.
οὐκ ἐν γυναικὶ φύεται πιστὴ χάρις.

Stobaeus Floril. 73, 40 *Μενάνδρου* A. *καίτοι*] *καί γε* A Voss. Hens. *τί* add. Bentl. 2. *χάριν κομιεῖσθαι παρὰ γ.* Bothius multo ante Cobet. N. l. 87. *μὴ μόνον*] *μὴ μὲν οὖν* Valck. 4. *πιστὴ* Bentl.] *πλείστη*.

v. 4 a reliquis separatum Euripidi tribuit Dobr. Adv. II 282. cuius rei necessitatem non video. fortasse alteri personae adscribendus est.

566

χαλεπόν, Παμφίλη,
ἐλευθέρᾳ γυναικὶ πρὸς πόρνην μάχη.
πλείονα κακουργεῖ, πλείον' οἶδ', αἰσχύνεται
οὐδέν, κολακεύει μᾶλλον.

1. de *Sophone* cf. Bato 4, 4. Pollux 6, 70 πολλὰ ἂν εἴη τῶν περὶ τὴν ἡδυντικὴν σκευασίαν ἐξευρεῖν ἐκ τῶν ὀψοποιικῶν συγγραμμάτων Παντολέοντος καὶ Μιθαίκου καὶ Ζωπυρίνου (Bat. 4, 6) καὶ Σόφωνος καὶ Ἡγησίππου καὶ Παξάμου καὶ Ἐπαινέτου. συναριθμοῖτο δ' ἂν τούτοις Ἡρακλείδης τε ὁ Συρακόσιος καὶ Τυνδάριχος ὁ Σικυώνιος (Bat. 4, 5) καὶ Σιμωνακτίδης ὁ Χῖος (Bat. 4, 4) καὶ Γλαῦκος ὁ Λοκρός. 4. θρυλούμενα, cf. Antiphan. 246, 2. 11. *patrem* adpellat *erum*. 13. ἐπόθουν, i. e. nihil amplius *desiderabant* quam oleum cet. 16. πόρους, *venas*. cf. Damox. 2, 29 (Mein.). 18. 'non mirandum esse dicit hominem lenibus cibis adsuetum muria pota mortuum esse.' Mein. 22. καινὰ] fortasse κανόνα. Damox. 2, 15 τὸν Ἐπικούρου κανόνα (διανεγνωκώς). 23. cf. Alexid. 173, 12 cum eis quae adnotavimus. 26. Athen. 4, 163d (ex Archestrato) 'πρέπει. . .ὁπόσοι τάδε μωρολογοῦσιν τοῖς λαχάνοις προσάγειν καὶ πρὸς Διόδωρον ἰόντας τὸν σοφὸν ἐγκρατέως μετ' ἐκείνου πυθαγορίζειν.' ἦν δὲ ὁ Διόδωρος οὗτος τὸ μὲν γένος Ἀσπένδιος, Πυθαγορικὸς δὲ δόξας εἶναι τῶν κυνικῶν τρόπον ἔζη, κομῶν καὶ ῥυπῶν καὶ ἀνυποδητῶν. et 163f Σωσικράτης. . .βαθεῖ πώγωνι χρήσασθαι τὸν Διόδωρον ἱστορεῖ καὶ τρίβωνα ἀναλαβεῖν κόμην τε φορῆσαι, κατά τινα τῦφον τὴν ἐπιτήδευσιν ταύτην εἰσαγαγόντα, τῶν πρὸ αὐτοῦ Πυθαγορικῶν λαμπρᾷ τε ἐσθῆτι ἀμφιεννυμένων καὶ λουτροῖς καὶ ἀλείμμασι κουρᾷ τε τῇ συνήθει χρωμένων. cf. Diog. L. 6, 13 et Mein. Anal. Ath. 78. gloriatur coquus tam acriter mane se arti studere, ut alter Diodorus esse videatur. 42. τὸ περίδειπνον hic '*die Henkersmahlzeit*' (Mein.), non *silicernium*, quod proprie significat. λαμπρόν, ut Demetr. 6 τὴν τυραννικὴν φακῆν. 45. σίναπι, apud antiquiores νᾶπυ, Hehn Kulturpfl. 183. 4. Phrynich. Epit. 288 σίναπι οὐ λεκτέον, νᾶπυ δέ, ὅτι Ἀττικὸν καὶ δόκιμον. attamen σιναπίζειν Xenarch. 12. 47. '*ut excitata senum natura aerem corporibus inclusum suscitem.*' Mein. conl. Erotian. 45, 2 Klein. ἀὴρ . . .καὶ τὸ ἐν ἡμῖν πνεῦμα, καὶ ἡ δι' ἕδρας δυσώδης πνοή, et Damox. 2, 28. πνευματῶ, ut Theophr. fr. 5, 40 (ὁ ζέφυρος) βορέου ἧττον ψυχρὸς διὰ τὸ ἀφ' ὕδατος πνευματουμένου καὶ μὴ χιόνος πνεῖν. Plut. Mor. 878e πνευματούμενος (ὁ ἀὴρ) κατὰ τὴν κίνησιν '*motu in ventum mutatus.*' Meinekii πνευματιῶ (post ἵνα) quid sit nescio.

ΕΠΙΔΙΚΑΖΟΜΕΝΟΣ

Cf. quae ad cognominem Apollodori Carystii fabulam adnotavimus.

2

ἐάν με κινῇς καὶ ποιήσῃς τὴν χολὴν
ἅπασαν ὥσπερ καλλιωνύμου ζέσαι,
ὄψει διαφέροντ' οὐδὲ ἓν ξιφίου κυνός.

Aelianus H. an. 13, 4 *ἐπὶ τοῦ λοβοῦ τοῦ δεξιοῦ καθημένην ἔχει (ὁ καλλιώνυμος) χολὴν πολλήν ... καὶ μαρτυρεῖ τούτοις ... καὶ Ἀνάξιππος ἐν Ἐπιδικαζομένῳ κτλ.* cf. Menand. 31. Polyb. 34, 2, 15 *τοὺς γαλεώτας, οὓς καὶ ξιφίας λέγεσθαι καὶ κύνας* (Strab. 1 p. 24 C.).

ΚΕΡΑΥΝΟΣ

Tituli ratio exponitur fr. 3. cf. Mein. I 438. 469. 70.

3

ὁρῶ γὰρ ἐκ παλαίστρας τῶν φίλων
προσιόντα μοι Δάμιππον. B. ἢ τοῦτον λέγεις,
τὸν πέτρινον; τοῦτον οἱ φίλοι καλοῦσί σοι
νυνὶ δι' ἀνδρείαν Κεραυνόν. A. εἰκότως.
ἀβάτους ποιεῖν γὰρ τὰς τραπέζας οἴομαι
αὐτόν, κατασκήπτοντά γ' αὐταῖς τῇ γνάθῳ.

Athenaeus 10, 416 f *Ἀνάξιππος Κεραυνῷ κτλ. ἐν τούτοις ἐδήλωσεν ὁ κωμικός, δι' ὅ τι καὶ τὸ δρᾶμα Κεραυνὸν ἀπ' αὐτοῦ ἐπιγέγραφε.* v. 4—6 Eustath. 862, 9 *ἕτερος πολυφάγος Κεραυνὸς ἐκαλεῖτο, ἐπεὶ κατά τινα ποιητὴν ἀβάτους ἐποίει τὰς τραπέζας κατασκήπτων αὐταῖς τῇ γνάθῳ.* 2. *ἢ* add. Schweigh. 3. *τὸν πέτρινον τοῦτον οἱ φίλοι καλοῦσί σοι νυνὶ* AC. *τὸν . . . ὃν οἱ φίλοι κτλ.* Elmsl. Eurip. Bacch. 10, dubitans de epitheto *πέτρινον. τὸν πτέρινον; B. οἶδ' ὃν* Mein. Anal. Ath. 184, ubi *οἶδα* post interrogationem *ἢ τοῦτον λέγεις* non aptum videtur. fortasse *τὸν κέδρινον; A. αὐτὸν τοῦτον ὃν καλοῦσί τοι κτλ.* nam *φίλοι* ex v. 1 ortum videtur. *τὸν κέδρινον*, ut Chaerephon Socraticus adpellabatur *ὁ θάψινος.* 6. *γ'* om. A. *αὐταῖς* C et Eust.] *αὐτῇ* A. *κατασκήπτοντα ταύταις* Mein. in Ath. malim *κατασκήπτοντ' ἐπ' αὐτάς.* — cf. Aristophont. 3.

4

οἴμοι, φιλοσοφεῖς. ἀλλὰ τούς γε φιλοσόφους
ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον,
ἐν τοῖσι δ' ἔργοις ὄντας ἀνοήτους ὁρῶ.

Athenaeus 13, 610 f *ἐμφανίζει ὑμῶν τὸ ἀνόητον Ἀνάξιππος ὁ κωμῳδιοποιός, ἐν Κεραυνουμένῳ λέγων οὕτως κτλ.* 1. *γε* Grot.

Excerpt. 863] τε A. 2. μόνοις et 3. ἀνοήτους σφόδρα Herwerd. Obs. crit. 102.

5

ἀποτετύχηται

ἀντὶ τοῦ ἀποτέτευκται. Ἀνάξιππος Κεραυνῷ. Bekker. Anecd. 79, 5.

ΚΙΘΑΡΩΙΔΟΣ

6

ζωμήρυσιν φέροις· ὀβελίσκους δώδεκα·
κρεάγραν· θυΐαν· τυρόκνηστιν παιδικήν·
στελεόν· σκαφίδας τρεῖς· δορίδα· κοπίδας τέτταρας·
οὐ μὴ πρότερον οἴσεις, θεοῖσιν ἐχθρὲ σύ,
τὸ λεβήτιον· τὰκ τοῦ νίτρου· πάλιν ὑστερεῖς;
καὶ τὴν κύβηλιν τὴν ἀγωνιστηρίαν.

Athenaeus 4, 169b μαγειρικὰ σκεύη καταριθμεῖται Ἀνάξιππος ἐν Κιθαρῳδῷ οὕτως κτλ. Eustathius 872, 12 τυρόκνηστις μαγειρικὸν σκεῦος ἦν, καθά φησι (Ἀθήναιος), καὶ ἡ ζωμήρυσις καὶ οἱ ὀβελίσκοι καὶ ἡ κρεάγρα καὶ ἡ θυεία καὶ ὁ στελεὸς καὶ αἱ κοπίδες καὶ ἡ κύβηλις καὶ ἡ χύτρα. 1. φέρ'· οἶσ' Dobr. Adv. II 271. fortasse φέρ'· εἶτ'. 2. θυίαν A. παιδικήν] παῖ, λύκον Mein. Anal. Ath. 80. at λύκος idem est ac κρεάγρα. Poll. 6, 88. παῖ, δίδου Herwerd. Obs. crit. 102. πελλίκην Nauck. 3. ἐλεόν Steph. δορίδα Cas.] διριδα A. om. C. 4. οὐ μὴ] οὐ δὴ Herwerd. Obs. crit. 103. οὔ μοι K. sententia per interrogationem efferenda. οἴσεις Villebrun.] νεύσεις. 6. τὰκ τοῦ νίτρου Mein.] κὰκ τοῦ λητρου A. cf. Cobet. N. l. 180. 6. ἀγωνιστηρίαν] ταγηνιστηρίαν Mein. in Ath.

3. στελεόν Schweighaeuserus interpretatur *lignum massae farrinaceae extendendae et aequandae inserviens.* Photius στελεόν· τὸ τοῦ πελέκεως ξύλον. Hesych. στελεόν· οὐδετέρως· τὸ τοῦ πελέκυος ξύλον. contra Bekker. Anecd. 64, 9 στελεός· ἀρρενικῶς λέγεται ὑπὸ τῶν Ἀττικῶν. Poll. 6, 89 κοπίδα, μαχαίρας, δορίδας, αἷς ἔδερον ἢ ἐφ' ὧν, ἴσως δὲ καὶ τυρόκνηστιν, ἣν καὶ κύβηλιν καλοῦσιν. 10, 104 μαγειρικὰ δὲ καὶ κοπίδες καὶ μαχαιρίδες καὶ δορίδες. Hesych. et Etym. m. 284, 13 δορίδες· μάχαιραι μαγειρικαὶ εἰς τὸ ἐκδεῖραι τὰ θύματα ἐπιτήδειοι. Eustath. 243, 6 δορίδες κατὰ Αἴλιον Διονύσιον μαγειρικαὶ τράπεζαι. 5. Hesych. τὰκ τοῦ νίτρου (τακτονίτου cod., emend. Pierson.)· τὰ τῶν μαγείρων ξηρὰ ἀρτύματα, διὰ τὸ ἔνθα καὶ τὸ νίτρον πωλεῖσθαι. itaque τὸ νίτρον ea fori pars est ubi νίτρον et cetera arida condimenta venibant. de κοπίδι cf. Aristoph. fr. 138. 6. κύβηλις est Cratin. 315. Philem. 13. eam neque ἀγωνιστηρίαν neque ταγηνιστηρίαν intellego.

7

μυιοσόβην λαβὼν παράστηθ' ἐνθάδε.

Pollux 10, 94 *τὴν μυιοσόβην. . . ἔστιν εὑρεῖν καὶ ἐν Ἀναξίππου Κιθαρῳδῷ κτλ.* initio *καὶ* add. Mein. sed multa alia (*τὴν, σὺ δὲ*) possunt suppleri.

ΦΡΕΑΡ

Cf. Diphili fabula cognominis.

8

σὺ δὲ τὴν μέλην, Συρίσκε, ταυτηνὶ λαβὼν
ἔνεγκον ἐπὶ τὸ μνῆμ' ἐκείνῃ, μανθάνεις;
καὶ κατάχεον.

Athenaeus 11, 486 ef *μέλη. οὕτω καλεῖταί τινα ποτήρια, ὧν μνημονεύει Ἀνάξιππος ἐν Φρέατι λέγων οὕτως κτλ.* 2. *ἔνεγκον* Iacobs. Add. Ath. 269] *ἔνεγκ'* A. iubet nescio quis servum mulieri mortuae libationem ferre.

ΦΙΛΙΠΠΙΔΗΣ

Meinek. I 471. 2. Droysen. Hellenism. I 500 n. 61. Wachsmuth. Athen. I 624 n. 2.

ΑΔΩΝΙΑΖΟΥΣΑΙ

Cf. Meinek. I 349. 472 et Diphil. 50. similes sunt *Διονυσιάζουσαι* Timoclis, *Θεσμοφοριάζουσαι* Aristophanis.

1

ἀναμασχαλιστῆρας

Pollux 5, 100 (de ornatu muliebri) *περὶ δὲ τοῖς στέρνοις αἰγίδας καὶ μασχαλιστῆρας. καὶ ἀναμασχαλιστῆρας Φιλιππίδης ὁ τῆς κωμῳδίας ποιητὴς ἐν Ἀδωνιαζούσαις. ἀναμασχαλιστῆρας* Bekker.] *ἀναμασχαλιστήρ, ὡς.* Hesychius *ἀναμασχαλιστήρ· εἶδος γυναικείου κόσμου. ἀμφιμασχαλιστήρ (la pèlerine)* Mein. ed. mai.

2

γυναί

ἀντὶ τοῦ γυναῖκες. Φιλιππίδης Ἀδωνιαζούσαις. Bekker. Anecd. 86, 12. cf. Pherecr. 91. dubitat de Philippide Nauck. Bullet. Petrop. XIII 360.

3

κατεύχεσθαι

ἐπὶ τοῦ ἀγαθοῦ, ἀντὶ τοῦ εὔχεσθαι. Φιλιππίδης Ἀδωνιαζούσαις. Bekker. Anecd. 104, 26.

ΑΜΦΙΑΡΕΩΣ

Cf. quae ad Aristophanis *Amphiaraum* adnotavimus.

4

ὄστρει', ἀκαλήφας καὶ λεπάδας παρέθηκέ μοι.

Athenaeus 3, 90 b τῆς μέντοι θαλασσίας ἀκαλήφης μνημονεύει καὶ Φιλιππίδης ἐν Ἀμφιαράῳ οὕτως κτλ. ὄστρει' Mein.] ὄστρε'. καὶ add. Dindf. παρέθηκέν A.

ΑΝΑΝΕΟΥΣΑ

I. e. mulier quae Medeae instar magicis opinor artibus humanis corporibus florem aetatis reddere se posse profitebatur. in quo titulo cur offenderit Meinekius (I 472. 3) non video. *Ἀνανεουμένη* fuit Philemonis.

5

ἔπειτ' ἐπὶ τούτοις πᾶσιν ἧκ' ὄρχεις φέρων
πολλούς. τὰ μὲν οὖν γύναια τἄλλ' ἠκκίζετο,
ἡ δ' ἀνδροφόνος Γνάθαινα γελάσασα
'καλοί γε', φησίν, 'οἱ νεφροί, νὴ τὴν φίλην
Δήμητρα.' καὶ δύ' ἁρπάσασα κατέπιεν,
ὥσθ' ὑπτίους ὑπὸ τοῦ γέλωτος καταπεσεῖν.

Athenaeus 9, 384e καὶ ὄρχεις ἤσθιον, οὓς καὶ νεφροὺς ἐκάλουν. Φιλιππίδης ἐν τῇ Ἀνανεώσει (i. e. Ἀνανεούσῃ) Γναθαίνης τῆς ἑταίρας τὸ γαστρίμαργον ἐμφανίζων λέγει κτλ. Eustathius 1231, 41 δοκοῦσιν ἀστείως καὶ οἱ ὄρχεις νεφροὶ κληθῆναι παρὰ τῷ εἰπόντι τὸ ἧκεν ὄρχεις φέρων πολλούς. καὶ ἡ Γνάθαινα τῶν ἄλλων γυναικῶν ἀκκιζομένων 'καλοί γε' εἶπεν 'οἱ νεφροί' καὶ δύο κτλ. δῆλον οὖν ἐν τούτοις ὅτι οὐ κυριολεκτικῶς ἡ Γνάθαινα ἐλάλησεν, ἀλλ' ἐσεμνολόγησεν εὐφημότερον τοὺς ὄρχεις νεφροὺς διὰ τὰς αἰδουμένας γυναῖκας. 2. τἄλλα ἀκκίζετο (superscr. η) A. ἠκκ. C. 3. sic A. γελάσασ' ἡδέως Porson. Γνάθαιν' ἀναγελάσασ', ἄγαν Iacobs. Addit. Athen. 204. ἀναγελάσασα δὴ Mein., ἀναγελάσασ' ἅμα idem in Ath. — de verbo ἀκκίζεσθαι cf. Philem. 4, 14. narratio similis est illius, de qua dixi Herm. XXI 406 sq.

6

ἔλεγον ἐγώ σοι μὴ γαμεῖν, ζῆν δ' ἡδέως.
τὸ Πλάτωνος ἀγαθὸν δ' ἐστὶ τοῦτο, Φειδύλε,
μὴ λαμβάνειν γυναῖκα, μηδὲ τῇ τύχῃ
διὰ πλειόνων αὑτὸν προβάλλειν πραγμάτων.

Stobaeus Floril. 68, 6 *Φιλιππίδου Ἀνανεούσης* A. 2. *δ'* add. A (supra scr.) Voss. Hens. B. *Φειδύλε* Mein. ʿ*φίδυλε* A Voss. Arsen. Gesn. mrg. *φείδυλε* A.' Gaisf. 4. *προβάλλειν* A] *παραβάλλειν*. cf. Plat. Phaedr. 241e. — 1. *ἡδέως*] *ἡθέῳ* K. cf. Eupol. 332. Plat. Leg. 8, 840d. 9, 877e. 12, 947c. Ruhnk. Tim. 132. 3.

7

ὅταν δ' ἁμαρτάνῃς τι, χαῖρ' ἡττώμενος·
μάλιστα γὰρ οὕτω σῴζεται τὸ συμφέρον.

Stobaeus Floril. 1, 13 *Φιλιππίδου Ἀνανεούσης* cod. Ven. sec. Kirchhoff. (Mein. Stob. I III). *Philippid. in Ananeusa.* Gesner. deest ecl. in plerisque cod. 1. *δ'* add. Mein. — *ἡττώμενος* i. e. *cedens.* Lobeck. Soph. Ai. 1353.

8

ψωμοκολακεύων καὶ παρεισιὼν ἀεί

Athenaeus 6, 262a *Φιλιππίδης ἐν Ἀνανεώσει* (i. e. *Ἀνανεούσῃ*) *κτλ.* Bekker. Anecd. 116, 23 *ψωμοκόλακες· Φιλιππίδης Ἀνανε*[*υ*]*ούσῃ.* Photius *ψωμοκόλακες· Φιλιππίδης.* cf. Aristoph. fr. 167.

ΑΡΓΥΡΙΟΥ ΑΦΑΝΙΣΜΟΣ

Cf. quae ad Antiphanis fabulam cognominem (et fr. 39) adnotavimus. Philippideae fabulae argumentum Meinekius versibus ultimis fr. 9 quodammodo inlustrari censet I 473.

9

ἀλλ' ἔλεός ἐμπέπτωκέ τίς μοι τῶν ὅλων,
ὅταν ἀπορουμένους μὲν ἀνθρώπους ἴδω
ἐλευθέρους, μαστιγίας δ' ἀπ' ἀργυροῦ
πίνακος ἄγοντος μνᾶν τάριχος ἐνίοτε
δυοῖν ὀβολῶν ἔσθοντας ἢ τριωβόλου,
καὶ κάππαριν χαλκῶν τριῶν ἐν τρυβλίῳ
ἄγοντι πεντήκοντα δραχμὰς ἀργυρῷ·
πρότερον δὲ φιάλην ἦν ἀνακειμένην ἰδεῖν

ἐργῶδες. Β. ἀμέλει τοῦτο μὲν καὶ νῦν ἔτι·
ἂν γὰρ ἀναθῇ τις, εὐθὺς ἕτερος ἥρπασεν.

Athenaeus 6, 230a *Φιλιππίδης δ' ἐν Ἀργυρίου ἀφανισμῷ ὡς φορτικοῦ μέμνηται τοῦ τοιούτου* (argenteorum vasorum usum dicit) *καὶ σπανίου, ζηλουμένου δὲ ὑπό τινων νεοπλούτων μετοίκων κτλ.* 1. *μοί τις* C. 3. *ἀπ'* Herwerd. Anal. crit. 44] *ἐπ'*. 5. *δυεῖν* A. *ὀβολοῖν* Dindf. 6. *ἐν ἀργυρῷ* et 7. *τρυβλίῳ* Roeper. — *νεόπλουτοι* isti metoeci vilissimis quidem cibis, quippe quibus adsuevissent, sed ex vasis argenteis ostentationis causa vescebantur. 5. *ἔσθειν* solus inter comicos in trimetro pro *ἐσθίειν* usurpavit: nam Archipp. 20 dubiae est fidei. 8. *ἀνακειμένην* ambigue: *in mensa domi propositam* et *dedicatam*.

Cf. praeterea fr. 27 et 33.

ΑΥΛΟΙ

10

τοὺς δὲ πυριέφθας καὶ τὰ λάχανα ταῦτ' ἔχων

Athenaeus 14, 658de *πυριέφθων μνημονεύει* (*οὕτω δὲ καλεῖται τὸ πρῶτον γάλα*) *Φιλιππίδης ἐν Αὐλοῖς κτλ.* *λάχανα* et *αὐλοῖς* A. in C nihil exstat nisi *πυριέφθα* (sic) *δὲ καλεῖται παρὰ φιλιππίδῃ τὸ πρῶτον γάλα.* Pollux 6, 54 *Φιλιππίδης ἐν Αὐλοῖς καὶ πυρίεφθα εἴρηκεν.* unde Schweighaeuserus *τὰ δὲ πυρίεφθα κτλ.* vel *τοὺς δὲ πυρίεφθα — ἔχειν.* Poll. 1, 248 *πυριάτη τὸ ὑπὸ τῶν πολλῶν λεγόμενον πυρίεφθον.* Eustath. 1626, 4. Cratin. 142. Eubul. 74, 5.

ΒΑΣΑΝΙΖΟΜΕΝΗ

11

ἐπανακάμψαι

ἐπαναστρέψαι. Φιλιππίδης Βασανιζομένῃ. Bekker. Anecd. 92, 22.

[ΚΟΘΟΡΝΟΙ]

Cf. Philonid. 6, huius edit. I 255. Mein. I 103.

ΛΑΚΙΑΔΑΙ

Cf. Meinek. I 473. Hesych. *Λακιάδαι· δῆμος τῆς Ἀττικῆς, ῥαφανῖδας φέρων, ὃν ἐπιβοῶνται κατὰ τῶν μοιχῶν.* Append. prov. 5, 43 *ὦ Λακιάδαι· ἐπὶ τῶν μοιχῶν. δῆμος γὰρ τῆς Ἀττικῆς αἵ* (*οἵ*) *Λακιάδαι, ἐν ᾧ ῥαφανῖδες πολλαί, αἷς ἐχρῶντο κατὰ τῶν ληφθέντων μοιχῶν ἐνυβρίζοντες.* cf. Mantiss. prov. 3, 50. Posidipp. 4. Bursian. Geogr. gr. I 326. ‘solebant Athenienses cum moechum videbant exclamare *ὦ Λακιάδαι*, quo significabant opus esse *ταῖς ῥαφανῖσιν.*’ Heins. ad Hesych.

12

κράτιστόν ἐστι τοῦτον ἐκτεμεῖν, γύναι,
τὸν δίφρον· ἄχρηστα παντελῶς τὰ σπαρτία·
ἕτερον δὲ καινὸν ἐμβαλεῖν αὐτῷ τόνον.

Pollux 10, 36 *καὶ μὴν τό γε τῇ κλίνῃ ἢ τῷ σκίμποδι ἐντεταμένον, ὡς φέρειν τὰ τυλεῖα, σπάρτα, σπαρτία, τόνος, κειρία . . . Φιλιππίδης ἐν Λακιάδαις κτλ.* 2. *παντελῶς τὰ σπαρτία*] *παντελῶς οὕτως ἔχει τὰ σπάρτα* C. cf. Arist. Av. 815. 16 cum interpr.

13

ὀρθῶς γε τὴν ῥύμην ὡδοιπορήκαμεν.

Pollux 9, 38 *τάχα δ' ἂν εὕροις καὶ ῥύμην (τὸν στενωπὸν) εἰρημένην . . . Φιλιππίδου (εἰπόντος) . . . Λακιάδαις* (sic Meurs. pro *Λακιάδης*) *κτλ.* *ὁδοιπεπορ.* Mein. *ὁδωπορήκαμεν* Dobr. Adv. I 578, quod quid sit nescio. *ὁδοιπορήσομεν* Herwerd. Anal. crit. 34. 5. cui numquam fuisse *ὁδοιπεπόρηκα* facile concedo, sed non magis quid sit *ῥύμην ὀρθῶς ὁδοιπορεῖν* exputo. itaque scrib. *ὁδοπεποιήκαμεν.*

ΜΑΣΤΡΟΠΟΣ

14

ἀπόστασις

ἀντὶ τοῦ οἴνου ἀποθήκας ἔχουσα. Φιλιππίδης Μαστροπῷ. Bekker. Anecd. 80, 32. Strabo 17, 794 *εἶτα τὸ Καισάρ(ε)ιον καὶ τὸ Ἐμπόριον καὶ ἀποστάσεις καὶ μετὰ ταῦτα τὰ νεώρια,* ubi *ἀποστάσεις* manifesto sunt *horrea (Niederlagen, Speicher).* apud Antatticistam post *ἀντὶ τοῦ* videtur excidisse *συνοικία* vel aliquid simile.

ΟΛΥΝΘΙΑ

Cf. Meinek. I 341.

15

οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ
εἰπεῖν τιν' ἐσθίοντα 'μὴ κακῶς ἔχε',
πύκτῃ τ' ἐπιτιμᾶν οὐδὲν ἔργον μαχομένῳ,
αὐτὸν μάχεσθαι δ' οὐκέτ' ἐστὶ ῥᾴδιον.
ἕτερόν τι τὸ λέγειν ἐστὶ τοῦ πεπονθέναι.

Stobaeus Floril. 113, 17 *Φιλίππου Ὀλυνθιακῷ* Trinc. deest in A. *φιλι*$^{\pi\pi}$ *ὀλυν*$^{\vartheta}$ (alterum vocabulum in litura) Voss. Hens. *Philippides Olynthiaco* Grot. 2. *ἐσθίοντα*] *εὐσθενοῦντα* Thom. Mag. p. 382 b. *εὐθενοῦντα* Bernard. *τινα σθένοντα* Meinek. at *σθένειν*

praeter formulam καθ' ὅσον ἂν σθένω (Arist. Plut. 912) comicis non videtur in usu fuisse. τιν' εὖ πράττοντα Cobet. Mnem. nov. II 450. facilius est τὸν εὖ ἔχοντα. 4. μάχεσθαι δ' Porson. Advers. 297] δὲ μάχεσθαι. οὐκέτ' Arsen.] οὐκ. 5. τὸ -- τοῦ Porson.] τοῦ — τὸ. ἔστιν ἕτερόν τι τοῦ λ. τὸ π. Nauck. Philol. VI 423. πεπονθέναι] πεποιηκέναι Both. versum 5 proscribit Herwerd. Anal. crit. 34.

ΣΥΝΕΚΠΛΕΟΥΣΑΙ

Sic Athenaei *Συμπλεούσας* et Pollucis *Συνεκπλέουσαν* coniungit Meinek. I 474.

16

ὁ φανὸς ἡμῖν οὐκ ἔφαινεν οὐδὲ ἕν.
Β. ἔπειτα φυσᾶν δυστυχὴς οὐκ ἠδύνω;

Athenaeus 15, 700c ἄλλοι δ' ἔφασκον φανὸν λέγεσθαι τὴν λαμπάδα, οἱ δὲ τὴν ἔκ τινων ξύλων τετμημένων δέσμην... Φιλιππίδης Συμπλεούσαις κτλ. Eustathius 1571, 13 φανὸς ἡ ἐκ ξύλων τετμημένων δέσμη. καὶ δηλοῖ αὐτὸ Φιλιππίδης ἐν τῷ 'ὁ φανὸς — οὐδέν' (sic). πρὸς ὃ λέγει ὁ ἀκούσας 'ἔπειτα — ἠδύνω'. καὶ ὅρα τὸ ὁ φανὸς οὐκ ἔφαινεν ἐτυμολογικῶς ῥηθέν. — altercantur inter se emptor et venditor.

17

ὅταν ἐξίῃς,
παραγώγιον ὧν ἂν ἐκφέρῃ σ' εἰσπράξομαι.

Pollux 9, 30 καὶ παραγώγιον τέλους ὄνομα, εἰ δεῖ πρὸς ἀπολογίαν τῆς κοινῆς χρήσεως παρέχεσθαι τὸ ἐν τῇ Φιλιππίδου Συνεκπλεούσῃ εἰρημένον κτλ. 1. ἐξίῃς Cobet. N. l. 125] ἐξῆς. 2. ὧν add. Cobet. ἐκφέρῃ σ' Cobet.] ἐκφέρῃς. de sententia cf. Dionys. com. 3, 16. 17. paciscitur enim ianitor cum servo, ut furti partem ipse accipiat.

ΦΙΛΑΔΕΛΦΟΙ

18

ὅταν ἀτυχεῖν σοι συμπέσῃ τι, δέσποτα,
Εὐριπίδου μνήσθητι, καὶ ῥᾴων ἔσει.
'οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.'
εἶναι δ' ὑπόλαβε καὶ σὲ τῶν πολλῶν ἕνα.

Stobaeus Floril. 108, 10 Φιλιππίδου Φιλαδέλφων A. pro suis venditavit Michael Hamartolus Boissonad. Anecd. IIII 456. 2. ἔσει Mein.] ἔσῃ. 3. Eurip. fr. 662 N. 4. νόμιζε δ' εἶναι Mich. Hamart. — 2. cf. Theopomp. com. 62, 5 et adesp. 478.

ΦΙΛΑΘΗΝΑΙΟΣ

U. Koehler. I. A. n. 975 V 8 *ἐπὶ Μνησιθέου παλαιᾷ Δάμων Φιλαθηναίῳ Φιλιππ[ίδου]* et 12 *ὑπε(κρίνετο) Δάμων.* de tempore fabulae repetitae cf. quae Koehlerus exposuit p. 403.

19

τοῖς συκαμίνοις δ' ἀντὶ τοῦ φύκους ὅλον
τὸ πρόσωπον

Photius 547, 7 *συκάμινα· τὰ μόρα. Φιλιππίδης Φιλαθηναίῳ κτλ.* 2. *ἐστι καταπεπλησμένον* suppl. Mein., *ἐστι καταπεπλασμένη* coni. Arist. Eccl. 878 Herwerd. Obs. crit. 103. sic quoque duae syllabae desunt.

ΦΙΛΑΡΓΥΡΟΣ

20

πλακοῦντες, ἐπιδορπίσματ', ᾠά, σήσαμα·
ὅλην λέγοντ' ἄν μ' ἐπιλείποι τὴν ἡμέραν.

Athenaeus 14, 640c *τραγήματα Κράτης φησὶ Φιλιππίδην λέγειν ἐν Φιλαργύρῳ οὕτως κτλ.* 2. *λέγοντ' ἄν μ'* Iacobs. Add. Ath. 339| *λέγοντά με* A. *ἐπιλείποι* A. pro quo male *ἐπιλίποι* VL. miror enim neminem vidisse contrario opus esse *ὅλην λέγοντ' οὐκ ἂν ἐπιλείποι μ' ἡμέραν.*

ΦΙΛΑΡΧΟΣ

21

μακρὸν ποιῶ . . . .

ἀντὶ τοῦ μηκύνω. Φιλιππίδης Φιλάρχῳ. Bekker. Anecd. 108, 12. Photius et Suidas *μακρὸν ποιῶ· ἀντὶ τοῦ μηκύνω. οὕτω Φιλιππίδης.* an *Φιλαργύρῳ?*

ΦΙΛΕΥΡΙΠΙΔΗΣ

Cf. Meinek. I 341. 474.

22

πόστην ὑφοδώσεις, παιδάριον, ῥύμην; B. τρίτην.
ὁ γὰρ στενωπὸς οὗτος ἐν Ἀθήνησιν ἦν.

Pollux 9, 38 *τάχα δ' ἂν εὕροις καὶ ῥύμην εἰρημένην ... Φιλιππίδου (εἰπόντος) ἐν Φιλευριπίδῃ κτλ.* sic Bekker. 1. *ὑφοδώσεις* Dobr. Adv. I 578] *ὑφ' ὁδοῦ ὡς εἶναι.* 2. *ἐν Ἀθήνησιν] Λακιάδαισιν* Dobr.: sequitur enim apud Pollucem *καὶ Λακιάδαις* (fr. 13). v. 2 Philippidi abiudicat Mein. — videtur nescio quis puerum viam monstrantem interrogare quotum angiportum ducturus sit. in v. 2 omnia obscura. fortasse *ἐν ἀφόδοισιν ἦν.* cf. Arist. Eccl. 1059.

23

οὗτος οἴεται περισπάσειν
κερμάτιον αὐτοῦ.

Pollux 9, 88 *κέρματα ἀλλ' οὐ κέρμα λέγειν Ἀττικόν . . . εὕροι δ' ἄν τις αὐτὸ* (*τὸ κέρμα*) *καὶ παρὰ τοῖς Ἀττικοῖς, ὥσπερ ἐν . . . τῷ Φιλίππου* (*Φιλιππίδου* Bekker.) *Φιλευριπίδῃ κτλ.* in distinguendis versibus secutus cum Cobet. N. l. 32. 3. Meinekius *οἴεται* | *περισπ. κτλ.* *opinatur nummulos ei se surrepturum esse.*

24

περικατάληπτος γίνομαι.

Φιλιππίδης Φιλευριπίδῃ. Bekker. Anecd. 112, 31. *circumcirca prehendor.*

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

25

ὁ τὸν ἐνιαυτὸν συντεμὼν εἰς μῆν' ἕνα,
ὁ τὴν ἀκρόπολιν πανδοκεῖον ὑπολαβὼν
καὶ τὰς ἑταίρας εἰσαγαγὼν τῇ παρθένῳ,
δι' ὃν ἀπέκαυσεν ἡ πάχνη τὰς ἀμπέλους,
δι' ὃν ἀσεβοῦνθ' ὁ πέπλος διερράγη μέσος,
τὰς τῶν θεῶν τιμὰς ποιοῦντ' ἀνθρωπίνας.
ταῦτα καταλύει δῆμον, οὐ κωμῳδία.

v. 1 — 3 Plutarchus Demetr. 26, v. 4 — 7 Dem. 12. coniunxit Meinekius. incertum tamen est num continuo cohaeserint. Plut. 26 *Φιλιππίδης τὸν Στρατοκλέα λοιδορῶν ἐποίησεν* ʻ*ὁ τὸν — ἕνα*', *καὶ περὶ τῆς ἐν τῷ Παρθενῶνι κατασκηνώσεως* ʻ*ὁ τὴν — παρθένῳ.*' et 12 *διὸ καὶ Φιλιππίδης ἐχθρὸς ὢν τοῦ Στρατοκλέους ἐν κωμῳδίᾳ πρὸς αὐτὸν ἐποίησε ταῦτα· δι' ὃν ἀπέκαυσεν κτλ. ἦν δὲ ὁ Φιλιππίδης Λυσιμάχου φίλος, καὶ πολλὰ δι' αὐτὸν ὁ δῆμος εὖ ἔπαθεν ὑπὸ τοῦ βασιλέως.* 3. *εἰσαγαγὼν* Mein.] *εἰσάγων. ἐπαγαγὼν* Naber. Mnem. nov. VIII 428. 5. *διερράγη* Cobet. N. l. 29] *ἐρράγη.*

cum Demetrius intra brevissimum tempus parvis magnisque mysteriis initiari vellet, *Στρατοκλέους γνώμην εἰπόντος Ἀνθεστηριῶνα τὸν Μουνιχιῶνα ψηφισαμένους καλεῖν καὶ νομίζειν ἐτέλουν τῷ Δημητρίῳ τὰ πρὸς Ἄγραν· καὶ μετὰ ταῦτα πάλιν ἐξ Ἀνθεστηριῶνος ὁ Μουνιχιὼν γενόμενος Βοηδρομιὼν ἐδέξατο τὴν λοιπὴν τελετήν, ἅμα καὶ τὴν ἐποπτείαν τοῦ Δημητρίου προσεπιλαβόντος.* Plut. Demetr. 26. ibidem 24 *Δημήτριος τοσαύτην ὕβριν εἰς παῖδας ἐλευθέρους καὶ γυναῖκας ἀστὰς κατεσκέδασε τῆς ἀκροπόλεως, ὥστε δοκεῖν τότε μάλιστα καθαρεύειν τὸν τόπον, ὅτε Χρυσίδι καὶ*

Λαμίᾳ καὶ Δημοῖ καὶ Ἀντικύρᾳ, ταῖς πόρναις ἐκείναις, συνακολασταίνοι. et 12 *ἐπεσήμηνε δὲ τοῖς πλείστοις τὸ θεῖον. ὁ μὲν γὰρ πέπλος, ᾧπερ ἐψηφίσαντο μετὰ τοῦ Διὸς καὶ τῆς Ἀθηνᾶς προσενυφῆναι Δημήτριον καὶ Ἀντίγονον, πεμπόμενος διὰ τοῦ Κεραμεικοῦ μέσος ἐρράγη θυέλλης ἐμπεσούσης . . . καὶ πάχνης βαθείας ἐμπεσούσης οὐ μόνον ἀμπέλους καὶ συκᾶς ἁπάσας ἀπέκαυσε τὸ ψῦχος, ἀλλὰ καὶ τοῦ σίτου τὸ πλεῖστον κατέφθειρεν ἐν χλόῃ.* — scripta haec sunt a Philippide Ol. 120: nam archonte Nicocle Ol. 119, 3 *μύησις* illa facta erat. Mein. I 437. de *Stratocle* Demetrii adulatore cf. etiam Droysen. Hellenism. I 81. 2. 438 sq. 504. 5. ʻversiculo ultimo significantur oratorum criminationes, qui poetarum petulantia rempublicam pessum dari calumniabantur'. Cobet. Obs. crit. Plat. 123, antiquae comoediae indolem Philippidis versus spirare admonens.

26

οὐκ ἔστιν ʻἐμεθύσθην, πάτερ' λέγοντα
ʻἥμαρτον', ὥστε πρὸς ἐμὲ συγγνώμης τυχεῖν.
ὁ γὰρ εἰς τὸν ἀσθενῆ βίᾳ τι, Πάμφιλε,
ποιῶν ὑβρίζειν, οὐχ ἁμαρτάνειν δοκεῖ.

Stobaeus Floril. 18, 21 *Φιλιππίδου* A. 1. in exitu *νῦν* add. Gesner. *σε* vel *καὶ* (in Stob.) Mein. fortasse *λέγοντά σ' ἢ*. 2. sic A. *ὡς τὸ πάρος σε* Iacobs. Lect. Stob. 14. *ὡς τὸ πρόσθε* (*ἔμπροσθε*) Mein. negat pater filio non leviter peccanti, sed homini inopi vim inferenti ignosci posse.

27

τὰ ποτήρι' ἂν ἴδῃς τὰ παρεσκευασμένα,
ἅπαντα χρυσᾶ, Τρόφιμε, νὴ τὸν οὐρανόν,
ὑπερήφανα. ἐγὼ μὲν γὰρ ἐξέστην ἰδών.
κρατῆρες ἀργυροῖ, κάδοι μείζους ἐμοῦ.

Athenaeus 11, 781f *Φιλιππίδης κτλ.* v. 2—4 Eustathius 1632, 29 *ἀστειότερον ἔφρασεν ὁ γράψας οὕτω· νὴ τὸν οὐρανόν, ὑπερήφανοι κρατῆρες, ἀργυροῖ κάδοι καὶ μείζονες ἐμοῦ.* 3. *οὑπερήφανα* C. *ὑπερήφαν'· ἔγωγε* Mein 4. *μείζους* Schweigh.] *καὶ μείζους.* apodosis ad quam pertinebat *ἂν* v. 1 verbis superioribus quae omisit Athenaeus continebatur: ut non opus sit cum Herwerdeno Stud. crit. 92 scribere *ἄν*. v. 3. 4 cum Eustathio, qui hic meliore codice videtur usus esse, sic constituendi videntur: *ὑπερήφανοι κρατῆρες, ἀργυροῖ κάδοι, | μείζους ἐμοῦ· 'γὼ μὲν γὰρ ἐξέστην ἰδών.* ad *Ἀργυρίου ἀφανισμόν* referebat Schweigh.

28

αἰσχρὰν γυναῖκ' ἔγημας, ἀλλὰ πλουσίαν·
κάθευδ' ἀηδῶς ἡδέως μασώμενος.

Stobaeus Floril. 69, 8 *Φιλιππίδου* A. 1. *ἀλλ' οὐ.* Trinc. 'non credo haec recte Herwerdenum' (Obs. crit. 103) 'inter duas conloquentes personas distribuisse sic ut verba *ἀλλὰ πλουσίαν* maritus dixerit. a *κάθευδε* orditur apodosis, nota dicendi forma'. Mein. Stob. IIII LXXIII. cf. quae adnotavimus ad Philem. 4, 11.

29

ὁ τραχύτατος δὲ συκοφάντης μνᾶς δύο
λαβὼν ἄπεισιν ἀρνίου μαλακώτερος.

Stobaeus Floril. 2, 10 *Φιλιππίδου* A.

30

Athenaeus 1, 23c *ἀνακεῖσθαι δέ φαμεν ἐπὶ ἀνδριάντος. ὅθεν τοὺς ἐπὶ κατακειμένων χρωμένους τῇ λέξει διέσυρον . . . Φιλιππίδης· καὶ δειπνῶν ἀεὶ ἀνακείμενος παρ' αὐτόν . . . καὶ ἐπάγει· πότερον ἀνδριάντα εἱστία; — ἀνδριάντας ἑστιᾷς* Pierson. Moer. 442. Phryn. Ecl. 216 '*ἀνάκειται μὲν γὰρ ἀνδριὰς καὶ ἀναθήματα' καλῶς ἐρεῖς· ἀνάκειται δὲ ἐπὶ τῆς κλίνης οὐκέτι, ἀλλὰ κεῖται,* ubi cf. Lobeck. Append. prov. 1, 27 *ἀνδριὰς σφυρήλατος· ἐπὶ τῶν ἀναισθήτων.* similiter Diphil. 125.

31

ἀποστρεφομένης τὴν κορυφὴν φιλεῖς μόλις.

Plutarchus Mor. 750f *τούτου οὐδέν ἐστιν ἐρωτικώτερος ὁ μὴ διὰ κέρδος ἀλλ' ἀφροδισίων ἕνεκα καὶ συνουσίας ὑπομένων γυναῖκα μοχθηρὰν καὶ ἄστοργον· ὥσπερ Στρατοκλεῖ τῷ ῥήτορι Φιλιππίδης ὁ κωμικὸς ἐπεγγελῶν ἐποίησεν κτλ.* si *φιλεῖς* poeta scripsit, *Stratoclem* ipsum quisquis haec dicit adloquebatur. fortasse eiusdem fabulae est cum fr. 25.

32

ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος.

Stobaeus Floril. 124, 21 *Φιλιππίδου* (*φιλιππίδους*) A. — cf. Mein. I 342. 3.

33

ἀλύσιον εἶχε τετταράκοντ' ἄγον δραχμάς.

Pollux 10, 167 *ἡ ἄλυσις . . . ἐπὶ τοῦ γυναικείου κόσμου . . .*

Φιλιππίδης δὲ ἔφη κτλ. cf. quae ad Arist. Nub. 320 adnotavimus. — ad *Ἀργυρίου ἀφανισμόν* refert Mein. I 473, coniectura incerta.

34

τυροὺς καὶ ταρίχους

Eustathius 73, 42 *κατὰ Ἡρωδιανὸν καὶ τάριχος ἑκατέρως λέγεται. τὸ τάριχος γὰρ καὶ ὁ τάριχος. Φιλιππίδης κτλ.* cur post *τυρούς* Mein. addat *τε* nullam video causam.

35

ἐξαλλάξαι

τὸ τέρψαι καὶ παραγαγεῖν εἰς εὐφροσύνην· φυλαττόμενον χρὴ οὕτω λέγειν· οὐ γὰρ χρῶνται οἱ δόκιμοι. Φιλιππίδης δὲ καὶ Μένανδρος αὐτῷ χρῶνται. Phrynichus Epit. 363. cf. Anaxandr. 20. Menand. 747.

36

κοράσιον

Photius 369, 26 *παιδισκάριον· κοράσιον δ' οὐ λέγεται, ἀλλὰ καὶ κεκωμῴδηκεν Φιλιππίδης ὡς ξενικόν.* Phrynich. Ecl. 73 *κόριον ἢ κορίδιον ἢ κορίσκη λέγουσι· τὸ δὲ κοράσιον παράλογον.* Poll. 2, 17 *τὸ κοράσιον εἴρηται μέν, ἀλλὰ εὐτελές, ὥσπερ καὶ τὸ κορίδιον.* Schol. B Hom. Il. 20, 404 *κοράσιον μᾶλλόν ἐστι Μακεδονικόν.*

37

κοσκινομάντεις

εἴρηκε Φιλιππίδης. Pollux 7, 188. Philostr. Vit. Apollon. 6, 11 p. 114 (222 Kayser.) *γρᾶες ἀνημμέναι κόσκινα φοιτῶσιν ἐπὶ ποιμένας, ὅτε δὲ καὶ βουκόλους, ἰώμεναι τὰ νοσοῦντα τῶν θρεμμάτων μαντικῇ.* Theocr. 3, 31 *Ἀγροιὼ κοσκινόμαντις.*

38

λυχνοῦχον

τὸν κεράτινον φανὸν ἀπὸ τοῦ λύχνον ἐν αὐτῷ περιέχεσθαι. φανὸς δὲ ἡ ἐκ ξύλων λαμπάς. Φιλιππίδης. Photius 238, 5. cf. Aristoph. fr. 8.

39

μυρίνης

Aelianus V. hist. 12, 31 *μύρῳ οἶνον μιγνύντες οὕτως ἔπινον καὶ ὑπερησπάζοντο τὴν τοιαύτην κρᾶσιν· καὶ ἐκαλεῖτο ὁ οἶνος μυρίνης. μέμνηται δὲ αὐτοῦ Φιλιππίδης ὁ τῆς κωμῳδίας ποιητής.* cf. Diphil. 17, 10. Posidipp. 34.

40

συνεπαινεῖν

ἀντὶ τοῦ συγκατατίθεσθαι. Φιλιππίδης. Bekker. Anecd. 113, 33. Cf. praeterea Philem. 227. Menand. 1093.

ΗΓΗΣΙΠΠΟΣ

Meinek. I 475 sq.

ΑΔΕΛΦΟΙ

1

βέλτιστε, πολλοῖς πολλὰ περὶ μαγειρικῆς
εἰρημέν' ἐστίν. ΣΥΡ. ἢ λέγων φαίνου τι δὴ
καινὸν παρὰ τοὺς ἔμπροσθεν ἢ μὴ κόπτε με.
Α. οὐκ ἀλλὰ τὸ πέρας τῆς μαγειρικῆς, Σύρε,
εὑρηκέναι πάντων νόμιζε μόνον ἐμέ.
οὐ γὰρ παρέργως ἔμαθον ἐν ἔτεσιν δυσὶν
ἔχων περίζωμ', ἀλλ' ἅπαντα τὸν βίον
ζητῶν κατὰ μέρη τὴν τέχνην ἐξήτακα,
εἴδη λαχάνων ὅσ' ἐστί, βεμβράδων τρόπους,
φακῆς γένη παντοδαπά. τὸ πέρας σοι λέγω·
ὅταν ἐν περιδείπνῳ τυγχάνω διακονῶν,
ἐπὰν τάχιστ' ἔλθωσιν ἀπὸ τῆς ἐκφορᾶς,
τὰ βάπτ' ἔχοντες, τοὐπίθημα τῆς χύτρας
ἀφελὼν ἐποίησα τοὺς δακρύοντας γελᾶν.
τοιοῦτος ἔνδοθέν τις ἐν τῷ σώματι
διέδραμε γαργαλισμὸς ὡς ὄντων γάμων.
ΣΥΡ. φακῆν παρατιθείς, εἰπέ μοι, καὶ βεμβράδας;
Α. τὰ πάρεργά μου ταῦτ' ἔστιν· ἂν δὲ δὴ λάβω
τὰ δέοντα, καὶ τοὐπτάνιον ἁρμόσωμ' ἅπαξ,
ὅπερ ἐπὶ τῶν ἔμπροσθε Σειρήνων, Σύρε,
ἐγένετο, καὶ νῦν ταὐτὸ τοῦτ' ὄψει πάλιν·
ὑπὸ τῆς γὰρ ὀσμῆς οὐδὲ εἷς δυνήσεται
ἁπλῶς διελθεῖν τὸν στενωπὸν τουτονί·
ὁ δὲ παριὼν πᾶς εὐθέως πρὸς τὴν θύραν
ἑστήξετ' ἀχανής, προσπεπατταλευμένος,
ἄφωνος, ἄχρι ἂν τῶν φίλων βεβυσμένος

τὴν ῥῖν' ἕτερός τις προσδραμὼν ἀποσπάσῃ.
ΣΥΡ. μέγας εἶ τεχνίτης. Α. ἀγνοεῖς πρὸς ὃν λαλεῖς·
πολλοὺς ἐγὼ σφόδρ' οἶδα τῶν καθημένων,
οἳ καταβεβρώκασ' ἕνεκ' ἐμοῦ τὰς οὐσίας.

Athenaeus 7, 290b *ἀλαζονικὸν δ' ἐστὶ πᾶν τὸ τῶν μαγείρων φῦλον, ὡς καὶ Ἡγήσανδρος ἐν δελφοῖς* (sic A) *παρίστησι. παράγει δὲ μάγειρον λέγοντα κτλ.* atque *Ἡγήσανδρος* etiam C. v. 1—3 Athenaeus 9, 405d *βέλτιστε — εἰρημέν' ἐστὶν κατὰ τοὺς Ἡγησίππου Ἀδελφούς· σὺ οὖν δρῶν τι φαίνου καινὸν — ἐμέ.* v. 11—14 Eustathius 1604, 27 *δηλοῖ μάγειρος εἰπών· ὅταν ἐν π. τ. δ., τοὐπίθημα — γελᾶν.* v. 19—27 Eustathius 1709, 60 *Ἀθήναιος δὲ παραφέρει μάγειρόν τινα ἐκ τοῦ κατὰ τὰς Σειρῆνας μύθου ἀστεϊζόμενον οὕτως· ἦν τοὐπτανεῖον — ἀποσπάσῃ.*

2. *ΣΥΡ.* add. K. *φαινουτιλη* A. 3. *κόπτε ἐμέ* A. 4. *Σύρε* Petit. Misc. 6, 4] *εὗρε* A. 5. *εὕρημα μόνον εἰδέναι τῶν νομιζομένων ἐμέ* A. *εὑρηκέναι τανῦν νόμιζε μόνον ἐμέ* Casaub. *εὑρημένον μόνον εἰδέναι νόμιζ' ἐμέ* Valck. Annot. N. t. 331. *εὑρηκέναι νόμισόν με τῶν ὄντων* (vel *νυνί, ζώντων, πάντων*) *μόνον* Dobr. Adv. II 314. *εὑρηκέναι πάντων νόμιζε μόνον ἐμέ* Mein. 6. *δυσὶν* Porson.] *δυεῖν* A. 9. *εἰ δὴ* A. *βεμβράδων*] *μεμβράδων* C. idem 17 *μεμβράδας.* 10. *Α. τὸ πέρας μοι λέγε* Mein. Anal. Ath. 128. non credo. 12. *ἀπὸ* Mein. ibid.] *ἐκ.* 13. *βάπτ'*] *φαῖ* Madvig. Advers. crit. III 60. 1. 18. *ἐὰν* A. *ἦν* C. *δὲ δή*, non *δὲ μή*, A. *δὲ* C. 19. *τοὐπτανεῖον* AC. 20. *ἔμπροσθεν* AEust. *Σύρε* om. Eust. 22. *γὰρ ὀσμῆς* Piers. Moer. 59] *ὀσμῆς γὰρ* ACEust. 26. *ἄχρι ἂν* C] *αχαριαν* A. *ἄχρις ἂν* Eust. 29. *κεκλημένων* Mein. Anal. Ath. 128 '*hospitum ad cenam invitatorum.*'

conloquitur cum servo (Syro) coquus gloriosus, suae ut videtur, non alienae domi (23) cenam adparans. *οἱ καθήμενοι* v. 29 videntur esse adulescentuli qui popinam eius frequentant, nunc ipsum cenantes. 3. *κόπτε*, cf. Anaxipp. 1, 23. 13. colorati, i. e. *atrati,* ut in funere. 19. Herodian. I 375, 28 *ὀπτανεῖον· παρὰ δὲ τοῖς Ἀττικοῖς* [*καὶ*] *διὰ τοῦ ῑ γράφεται καὶ προπαροξύνεται, οἷον ὀπτάνιον.* cf. I 363, 5. II 417, 13. 459, 32. Phrynich. Epit. 276 *ὀπτάνιον λέγουσιν, τῆς μὲν δευτέρας συλλαβῆς ὀξυτονουμένης, τῆς δὲ τρίτης συστελλομένης.* '*ὀπτάνιον* in omnibus veterum comicorum locis metri ratio partim fert partim exigit.' Lobeck. cf. Arist. Eq. 1033. Pac. 891. Alexid. 173, 13. Philem. 61. Sosip. 39. Damox. 2, 45. Nicomach. 1, 25. 25. Moeris 59 *ἀχανὴς Ἀττικῶς, ἄφωνος Ἑλληνικῶς,* ubi cf. quae adnot. Pierson.

ΦΙΛΕΤΑΙΡΟΙ

Φιλέταιρος apud Suidam. cf. Mein. I 477.

2

Ἐπίκουρος ὁ σοφὸς ἀξιώσαντός τινος
εἰπεῖν πρὸς αὐτὸν ὅ τι ποτ' ἐστὶ τἀγαθόν,
ὃ διὰ τέλους ζητοῦσιν, εἶπεν ἡδονήν.
εὖ γ', ὦ κράτιστ' ἄνθρωπε καὶ σοφώτατε·
τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ' οὐδὲ ἓν
ἀγαθόν· πρόσεστιν ἡδονῇ γὰρ τἀγαθόν.

Athenaeus 7, 279d *Ἡγήσιππος ἐν Φιλεταίροις κτλ.* 3. *εἰπεῖν* AC. corr. Cas. 6. *ἡδονῇ*, non *ἡδονὴ*, A. 'edere enim suave simul et bonum est'.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΟΝ

3

Σατύας Σατύαντος

παρ' Ἡγησίππῳ. Herodian. I 650, 9 (Bekker. Anecd. 1185 ad 976, 25). Mein. I 477. non credo comicum dici. *Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς* est Herodian. I 331, 9, Tarentinus identidem apud Athenaeum.

ΣΩΣΙΠΑΤΡΟΣ

Meinek. I 477.

ΚΑΤΑΨΕΥΔΟΜΕΝΟΣ

Cognomines fuerunt fabulae Alexidis, Philemonis, Menandri.

1

οὐ παντελῶς εὐκαταφρόνητος ἡ τέχνη,
ἂν κατανοήσῃς, ἐστὶν ἡμῶν, Δημύλε·
ἀλλὰ πέπλυται τὸ πρᾶγμα, καὶ πάντες σχεδὸν
εἶναι μάγειροί φασιν, οὐδὲν εἰδότες.
ὑπὸ τῶν τοιούτων δ' ἡ τέχνη λυμαίνεται.
ἐπεὶ μάγειρον ἂν λάβῃς ἀληθινόν,
ἐκ παιδὸς ὀρθῶς εἰς τὸ πρᾶγμ' εἰσηγμένον,
καὶ τὰς δυνάμεις κατέχοντα καὶ τὰ παθήματα
ἅπαντ' ἐφεξῆς εἰδόθ', ἕτερόν σοι τυχὸν
φανήσεται τὸ πρᾶγμα. τρεῖς ἡμεῖς . .
ἐσμὲν ἔτι λοιποί, Βοιδίων καὶ Χαριάδης
ἐγώ τε. τοῖς λοιποῖς δὲ προσπέρδου. ΔΗΜ. τί φής;
Α. ἐγώ. τὸ διδασκαλεῖον ἡμεῖς σῴζομεν

τὸ Σίκωνος. οὗτος τῆς τέχνης ἀρχηγὸς ἦν.
20 ΔΗΜ. ἆρα σύ με κόπτειν οἷος εἶ γε, φίλτατε;
Α. οὐκ ἀλλ' ἐν ὅσῳ προσέρχετ' ἐξ ἀγορᾶς ὁ παῖς,
μικρὰ διακινήσω σε περὶ τοῦ πράγματος,
23 ἵνα τῷ λαλεῖν λάβωμεν εὔκαιρον χρόνον.
17 περὶ φύσεως κατεῖχε πάντας τοὺς λόγους·
15 ἐδίδασκεν ἡμᾶς πρῶτον ἀστρολογεῖν . .
16 ἔπειτα μετὰ ταῦτ' εὐθὺς ἀρχιτεκτονεῖν·
18 ἐπὶ πᾶσι τούτοις ἔλεγε τὰ στρατηγικά.
19 πρὸ τῆς τέχνης ἔσπευδε ταῦθ' ἡμᾶς μαθεῖν.
24 ΔΗΜ. Ἄπολλον, ἐργῶδές γ'. Α. ἄκουσον, ὦγαθέ.
δεῖ τὸν μάγειρον εἰδέναι πρώτιστα μὲν
περὶ τῶν μετεώρων, τάς τε τῶν ἄστρων δύσεις
καὶ τὰς ἐπιτολάς, καὶ τὸν ἥλιον πότε
ἐπὶ τὴν μακράν τε καὶ βραχεῖαν ἡμέραν
ἐπάνεισι, κἀν ποίοισίν ἐστι ζῳδίοις.
τὰ γὰρ ὄψα, φασί, καὶ τὰ βρώματα σχεδὸν
ἐν τῇ περιφορᾷ τῆς ὅλης συντάξεως
ἑτέραν ἐν αὑτοῖς λαμβάνει τὴν ἡδονήν.
ὁ μὲν οὖν κατέχων τὰ τοιαῦτα, τὴν ὥραν ἰδὼν
τούτων ἑκάστοις ὡς προσήκει χρήσεται·
ὁ δ' ἀγνοῶν ταῦτ' εἰκότως τυντλάξεται.
πάλιν τὸ περὶ τῆς ἀρχιτεκτονικῆς ἴσως
ἐθαύμασας τί τῇ τέχνῃ συμβάλλεται.
ΔΗΜ. ἐγὼ δ' ἐθαύμασ'; Α. ἀλλ' ὅμως ἐγὼ φράσω.
τοὐπτάνιον ὀρθῶς καταβαλέσθαι καὶ τὸ φῶς
λαβεῖν ὅσον δεῖ καὶ τὸ πνεῦμ' ἰδεῖν πόθεν
ἔστιν, μεγάλην χρείαν τιν' εἰς τὸ πρᾶγμ' ἔχει.
ὁ καπνὸς φερόμενος δεῦρο κἀκεῖ διαφορὰν
εἴωθε τοῖς ὄψοισιν ἐμποιεῖν τινα.
τί οὖν; ἔτι σοι δίειμι τὰ στρατηγικά.
ἔγωγε τὸν μάγειρον. ἡ τάξις σοφὸν
ἁπανταχοῦ μέν ἐστι κἀν πάσῃ τέχνῃ,
ἐν τῇ καθ' ἡμᾶς δ' ὥσπερ ἡγεῖται σχεδόν.
τὸ γὰρ παραθεῖναι κἀφελεῖν τεταγμένως
ἕκαστα καὶ τὸν καιρὸν ἐπὶ τούτοις ἰδεῖν,
πότε δεῖ πυκνότερον ἐπαγαγεῖν καὶ πότε βάδην,

καὶ πῶς ἔχουσι πρὸς τὸ δεῖπνον, καὶ πότε
εὔκαιρον αὐτοῖς ἐστι τῶν ὄψων τὰ μὲν
θερμὰ παραθεῖναι, τὰ δ' ἐπανέντα, τὰ δὲ μέσως,
τὰ δ' ὅλως ἀποψύξαντα, ταῦτα πάντα δὴ
ἐν τοῖς στρατηγικοῖσιν ἐξετάζεται
μαθήμασιν. ΔΗΜ. τίς δή τι παραδείξας ἐμοὶ
τὰ δέοντ' ἀπελθὼν αὐτὸς ἡσυχίαν ἄγε.

Athenaeus 9, 377f *μέγας ἐστὶ σοφιστὴς καὶ οὐδὲν ἧττων τῶν ἰατρῶν εἰς ἀλαζονείαν καὶ ὁ παρὰ Σωσιπάτρῳ μάγειρος ἐν Καταψευδομένῳ, λέγων ὧδε κτλ.* 2. *ἐὰν* A. 3. *πέπλυται* Porson. Med. 139 x, cf. Cobet. V. l.² 225. 6] *πέπαυται* AC. Aeschin. 3, 178 *νῦν δ' ἤδη καταπέπλυται τὸ πρᾶγμα.* cf. Poll. 7, 38. 4. *οὐδὲν* Dindf.] *οὐθὲν* A. 6. *ἂν* Grot. Excerpt. 887] *ἐὰν* A. 8. *παθήματα* Both.] *μαθήματα.* alimenta *quomodo adficiant* (*τὰς δυνάμεις*) *et quomodo ipsa adficiantur* (*τὰ παθήματα*). *οὐράνια παθήματα* Plat. Ion. 531c. *τὰ τοῦ κόσμου παθήματα* [Plat.] Axioch. 370c. 10. *τρεῖς δ'* G. A. Hirschig. Ann. crit. 29. in exitu *μόνοι* add. Casaub., *ἔτι* (*ἐσμὲν ἐπίλοιποι*) Both. 12. 13. fortasse *ΔΗΜ. τί φής; ἐγώ; A. τὸ κτλ. ἐρῶ* pro *ἐγώ* Mein. Anal. Ath. 166. 15. in exitu *Σίκων* add. Grot. *B. βαβαί* Mein. Anal. Ath. v. 17 ante 15 posuit G. A. Hirschig. Ann. crit. 29. mihi praeterea v. 20—23 inter 14 et 17. 15 conlocandi videbantur. 19—24 om. C. 20. *οἷος εἶ γε* 'vix sanum est'. Mein. Anal. fortasse *ἐννοεῖς, ὦ φίλτατε;* 22. *μικρὸν διαμνήσω* Iacobs. at imitatur Arist. Nub. 477. 23. ante hunc versum nonnulla excidisse censet Herwerd. Anal. crit. 35. 6. fortasse *τῷ γὰρ λαλεῖν ἐλάβομεν.* 24. *γ'* add. Dindf. *ὡς ἐργῶδες,* caesura rarissima, Casaub. 28. *ἐπὶ τὴν μακρὰν καὶ τὴν βρ.* Herwerd. Obs. crit. 104. 29. *ἔσται* Mein. Anal. 30. *ὄψα, φασί, καὶ K.*] *ὄψα, φασί, πάντα καὶ. τὰ γ. ὄψα πάντα καὶ τὰ βρ. σχεδὸν* Mein. in Ath. atque om. *φασί* C. 32. *ἑτέραν ἐν ἑτέροις* Mein. Anal. *αὐτοῖς λαμβάνει* A, non *λαμβάνειν.* 34. *προσήκει* C] *προσῆκε* A. 38. *ἐγὼ δ' ἐθαύμασα* A. *ἐγὼ δ' ἐθαύμασ';* Mein. Anal. conl. Straton. 7 *ἐγὼ κέκληκα μέροπας; ich soll mich gewundert haben?* 39. *τοὐπτάνειον* AC. *καταβάλλεσθαι* A. 40. *λαβεῖν* Casaub.] *λαμβάνειν* AC. 41. *ἐστὶ* A. 42. *δεῦρ' ἐκεῖσε* Herwerd. Mnem. nov. VI 81. 43. *ὄψοισιν* Dobr. Adv. II 321] *ἑψοῦσιν* AC. 44. *τί οὖν* Casaub.] *τοιοῦτον* A. om. C. deinde *ἔτι δίειμί σοι τὰ στρατηγικά. ἡ τάξις σοφὸν πανταχοῦ. καθ' ἡμᾶς δὲ πάνυ* C. post hunc v. lacunam indicavit Dindf. *εἶναι δέ φημι δεῖν στρατηγικώτατον* vel *πάντων γὰρ οὖν κρίνω στρατηγικώτατον ἔγωγε τὸν μ* supplet Herwerd. Obs. crit. 105. 45. *ἔχωγε* A. fortasse (sine lacuna) *ΔΗΜ. ζηλῶ σε τὸν μάγειρον. A. ἡ κτλ.* 47. *ἡγεῖται,* non *ἡγεῖτο,* A. 52. *αὐτοῖς* Both.] *αὐτῶν.* 54. *δὴ* add. LV.

56. *τίς — ἄγε* om. C. fortasse *τί φῂς σύ; καταδείξας κτλ.* cf. tamen Epinic. 1, 3.

exponit coquus Demylo, quot et quibus disciplinis opus sit ei qui coqui nomine dignus esse velit. 2. *ἂν κατανοήσῃς*, ut *ἂν σκοπῇς* Philem. 31, 5. 2. *Δημύλε.* alii *Δήμυλε.* cf. Lobeck. Pathol. prol. 122. 137. 8. cf. Nicomach. 1, 19 *τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τύχας ἐντεῦθεν εἴσει.* 11. *Boedio* aliunde non cognitus, *Chariades* Atheniensis est. Euphron. 1, 7. 20. *κόπτειν* ut Anaxipp. 1, 23. Alexid. 173, 12. 31. Plut. Mor. 430 init. *ἐναρμόνιος ἡ τοῦ κόσμου σύνταξις.* 35. Bekker. Anecd. 65, 15 *τυντλώδης καὶ ληρώδης λόγος· οἷον ὁ πεπατημένος καὶ κοινός. τύντλος γὰρ ὁ πεπατημένος πηλός.* Photius *τυντλάζειν· ἐπιρραίνειν πηλῷ* (Arist. Pac. 1148). *τύντλος γὰρ ὁ πηλώδης τόπος.* '*ludibrio habetur*' Schweigh. conl. *προπηλακίζειν.* 39. quid sit *τοὐπτ. καταβαλέσθαι* nescio. 47. cf. Posidipp. 26, 6. 53. *ἐπανέντα, τὸν μάγειρον.* 56. cf. Nicomach. 1, 41. 2.

ΕΥΦΡΩΝ

Meinek. I 477. 8.

ΑΔΕΛΦΟΙ

1

πολλῶν μαθητῶν γενομένων ἐμοί, Λύκε,
διὰ τὸ νοεῖν ἀεί τι καὶ ψυχὴν ἔχειν
ἄπει γεγονὼς μάγειρος ἐκ τῆς οἰκίας
ἐν οὐχ ὅλοις δέκα μησί, πολὺ νεώτατος.
Ἆγις Ῥόδιος ὤπτηκεν ἰχθὺν μόνος ἄκρως·
Νηρεὺς δ' ὁ Χῖος γόγγρον ἧψε τοῖς θεοῖς·
θρῖον τὸ λευκὸν οὐξ Ἀθηνῶν Χαριάδης.
ζωμὸς μέλας ἐγένετο πρώτῳ Λαμπρίᾳ.
ἀλλᾶντας Ἀφθόνητος, Εὔθυνος φακῆν,
ἀπὸ συμβολῶν συνάγουσιν ἀρίστων πόρους.
οὗτοι μετ' ἐκείνους τοὺς σοφιστὰς τοὺς πάλαι
γεγόνασιν ἡμῶν ἑπτὰ δεύτεροι σοφοί.
ἐγὼ δ' ὁρῶν τὰ πολλὰ προκατειλημμένα
εὗρον τὸ κλέπτειν πρῶτος, ὥστε μηδένα
μισεῖν με διὰ τοῦτ', ἀλλὰ πάντας λαμβάνειν.
ὑπ' ἐμοῦ δ' ὁρῶν σὺ τοῦτο προκατειλημμένον
ἴδιον ἐφεύρηκάς τι, καὶ τοῦτ' ἐστὶ σόν.

πέμπτην ἔθυον ἡμέραν οιτινι οἱ
πολλοὶ γέροντες, πλοῦν πολὺν πεπλευκότες,
λεπτὸν ἔριφον καὶ μικρόν. οὐκ ἦν ἐκφορὰ
Λύκῳ κρεῶν τότ' οὐδὲ τῷ διδασκάλῳ.
ἑτέρους πορίσασθαι δύ' ἐρίφους ἠνάγκασας·
τὸ γὰρ ἧπαρ αὐτῶν πολλάκις σκοπουμένων,
καθεὶς κάτω τὴν χεῖρα τὴν μίαν λαθὼν
ἔρριψας εἰς τὸν λάκκον ἰταμῶς τὸν νεφρόν.
πολὺν ἐποίησας θόρυβον. 'οὐκ ἔχει νεφρόν'
ἔλεγον. ἔκυπτον οἱ παρόντες ἀποβολῇ.
ἔθυσαν ἕτερον. τοῦ δὲ δευτέρου πάλιν
τὴν καρδίαν εἶδόν σε καταπίνοντ' ἐγώ.
πάλαι μέγας εἶ, γίνωσκε· τοῦ γὰρ μὴ χανεῖν
λύκον διακενῆς σὺ μόνος εὕρηκας τέχνην.
χορδῆς ὀβελίσκους ἡμέρας ζητουμένους
δύ' ἐχθὲς ὠμοὺς εἰς τὸ πῦρ ἀποσβέσας,
καὶ πρὸς τὸ δίχορδον ἐτερέτιζες, ᾐσθόμην.
ἐκεῖνο δρᾶμα, τοῦτο δ' ἐστὶ παίγνιον.

Athenaeus 9, 379cd *Εὔφρων. . .ἐν τοῖς Ἀδελφοῖς τῷ δράματι ποιήσας τινὰ μάγειρον πολυμαθῆ καὶ εὐπαίδευτον μνημονεύοντά τε τῶν πρὸ αὐτοῦ τεχνιτῶν καὶ τίνα ἕκαστος εἶχεν ἰδίαν ἀρετὴν καὶ ἐν τίνι ἐπλεονέκτει. . .λέγει οὕτως κτλ.* 5. *ὤπτα μὲν* Mein. Anal. Ath. 167. 7. *θρῖον* Casaub.] *οριον* A. *Ἀθηνῶν* L] *ἀνθηνων* A. 8. *ζωμὸς ὁ μέλας* Mein. v. 9 ante 8 conlocat Herwerd. Obs. crit. 107. 6. 10. 7. 9. 8 hoc ordine Kaibel. post v. 10 lacunam indicavit Mein., nomen coqui et cibum ab eo inventum desiderans. 10. om. C. *ἀρίστων*] *εὗρ' Ἵππων* Herwerd. Obs. crit. 106. Mnem. nov. VI 82. *αὖ Κρίτων* K., *ὁ τὰ ὀψαρτυτικὰ συνθείς* Athen. 12, 516c. *πόρους*] *σπάρους* Kaibel. 12. *ἡμῖν* alicubi ni fallor Herwerd. 14. *πρῶτος*, non *πρῶτον*, AC. 15. et 35. om. C. 18. sic A. *οἱ Τήνιοι* VL. in articulo iure offendit Herwerd. Mnem. nov. IIII 308. 9. nondum persanatus est versus. 19. *γέροντες*] *παρόντες* Kaibel. 21. *Λύκῳ κρεῶν τότ'* Porson. Toup. Emend. IIII 499] *τότε λευκω κρεων* A. 23. *σκοπουμένων* Casaub.] *κοπουμένων* A. 24. *λαθὼν*] *λαβὼν* Both. *τὴν ψόαν λαβὼν* Naber. Mnem. nov. VIII 431 conl. fr. 7. 25. *τὼ νεφρώ* et 26. *νεφρώ* Dobr. Adv. II 322. 26. *ἔχει* Schweigh.] *εἶχε* A. 27. *ἔλεγον*] *λέγων* Herwerd. Mnem. nov. VI 81. *ἔκυπτον*] *ἐλυποῦνθ'* vel *ἐκόπτονθ'* Herwerd. Obs. crit. 106. Mnem. nov. VI 81. *προσβολήν* pro *ἀποβολῇ* ibidem conl. Arist. Pac. 39. sed nondum persanatus est versus. 28. *πάλιν* Tyrwhitt.

Toup. Emend. III 428] πάνυ A. post 29 lacuna statuenda est. cf. infra Casaub. 30. γίνωσκε] Λυκίσκε K. 32. ἡμέρας] ἥρπασας? 33. ἀπέσβεσας Casaub. 34. καὶ πρὸς] κατὰ Fritzsch. Quaest. Arist. 282. 35. δρᾶμ' ἦν Both.

coquus discipulum ingeniosum conlaudat. 2. ψυχὴν ἔχειν *fortem esse*. 4. Damoxen. 2, 3 confert Cobet. Mnem. XI 402. nov. III 303. 5. Athen. 12, 516c περὶ (τῆς καρύκης) τῆς σκευασίας οἱ τὰ ὀψαρτυτικὰ συνθέντες εἰρήκασι, Γλαῦκός τε ὁ Λοκρὸς καὶ Μίθαικος καὶ Διονύσιος, Ἡρακλεῖδαί τε δύο γένος Συρακόσιοι, καὶ Ἆγις καὶ Ἐπαίνετος. cf. Poll. 6, 70. Hedylus poeta Athen. 8, 345a νῦν ἔμβαλε τὴν βαλανάγραν, ἔλθῃ μὴ Πρωτεὺς Ἆγις ὁ τῶν λοπάδων· γίγνεθ' ὕδωρ καὶ πῦρ καὶ ὅ βούλεται. cf. Baton. 4. 6. de *Nereo* cf. Anaxandr. 30. Mein. I 372. τοῖς θεοῖς, cf. Philem. 79, 23. 11. τοὺς πάλαι, Solonem, Biantem, Periandrum cet. 18. i e. 'quintus hodie dies est post sacrificium illud', quod moneo contra Casaubonum qui haec non recte interpretatus est. cf. Pherecr. 182. Antiphan. 280. Menand. 717. 881. in fictis enim id genus narrationibus quasi fidei faciendae causa tempus definiri solet. cf. v. 33. 20. contra morem sacrificiorum, in quibus fere permissa erat ἐκφορά. cf. Arist. Plut. 1138 cum interpr. et Theopomp. com. 28. 70. Eupol. 281. 24. 'mactato primo haedo, dum curiosius iecur spectant nautae, nebulo iste manum ulterius promovet, renem aufert iacitque in foveam: quem ubi animadversum est deficere, tumultuari nautae et sibi timere, quibus hoc portentum esset oblatum'. itaque 'succidaneam victimam praecidaneae substituunt. sed hoc quoque frustra: nam haec sine corde reperitur, fraude simili eiusdem hominis. *ita opus est tertio haedo*'. Casaub. 27. ἔκυπτον '*sie liessen die Köpfe hängen*' vel συνέκυπτον Mein. Anal. Ath. 167. 30. μέγας, ut Dionys. 2, 36. Hegesipp. 1, 28. Posidipp. 27, 1. itaque frustra μάγος Iacobs. 31. de proverbio (λύκος χανών) cf. Eubul. 15, 11. Aristoph. fr. 337. ludit hic simul in nomine coqui. Aristaen. 2, 20 λύκος χανών, ὦ Λύκων, ἄπιθι διακενῆς (Coraes). τέχνη hic non est *ars* coquinaria (τὴν τέχνην), sed *artificium* aliquod singulare. 32—34. ludit in duplici significatione vocis χορδή, quae et *farcimen* et *chordam* lyrae designat. sed haec extrema tenebris premuntur, quas nequaquam discussit Herwerdenus Stud. crit. 92 et Mnem. nov. VI 81.

ΑΙΣΧΡΑ

I. e. *Αἴσχρα*, quod erat mulieris nomen. Mein. I 369. 477.

2

Μίδας δὲ κεστρεύς ἐστι· νῆστις περιπατεῖ.

Athenaeus 7, 307c ὅτι δὲ εἶδος κεστρέων οἱ νῆστεις ... Εὔφρων

Αἴσχρα (*αἰσχρα* A) *κτλ.* *κεστρεὺς ὥστε νῆστις* Madvig. Adv. crit. III 61 non memor talium exemplorum qualia congesta sunt Cratin. 52. *Midas* servi nomen est. Strab. 7, 304 (*τοὺς οἰκέτας*) *προσηγόρευον Μάνην ἢ Μίδαν τὸν Φρύγα, Τίβιον δὲ τὸν Παφλαγόνα.*

ΑΠΟΔΙΔΟΥΣΑ

Cf. Meinek. I 477. 8.

3

ἐπὰν δὲ καλέσῃ ψυγέα τὸν ψυκτηρίαν,
τὸ τευτλίον δὲ σεῦτλα, φακέαν τὴν φακῆν,
τί δεῖ ποιεῖν; σὺ γὰρ εἶπον. B. ὥσπερ χρυσίου
φωνῆς ἀπότισον, Πυργόθεμι, καταλλαγήν.

Athenaeus 11, 503 a *ὃν ἡμεῖς ψυγέα καλοῦμεν, ψυκτηρίαν τινὲς ὀνομάζουσιν· τοὺς δ' Ἀττικοὺς καὶ κωμῳδεῖν τὸν ψυγέα ὡς ξενικὸν ὄνομα. Εὔφρων* (*εὐφορίων* A, corr. Mein. Euphor. 37) *ἐν Ἀποδιδούσῃ κτλ.* 1. *τὸν* Casaub.] *τὴν* A. Eustathius 1632, 13 *ὁ ψυκτηρίας ὡς κοχλίας.* 2. *τευτλίον — σεῦτλα* Schweigh.] *σευτλίον — τεῦτλα* A. *φακέαν* Mein.] *φακέα* A. 3. *σὺ* Schweigh.] *εὖ* A. 4. *ἀπότισαι* Mein. potius *ἀποτῖσαι* (*δεῖ*). *Pyrgothemis* tam rarum et magnificum nomen est, ut poeta eo non sine certa quadam causa in comoedia usus esse videatur. de *καταλλαγῇ* cf. Diphil. 66, 14.

ΔΙΔΥΜΟΙ

4

ὁ γὰρ τὸν ἴδιον οἰκονομῶν κακῶς βίον,
πῶς οὗτος ἂν σώσειε τῶν ἔξω τινά;

Stobaeus Floril. 15, 2 *Εὔφρονος Διδύμων* Voss. Hens. (*δυδίμων*) et Froben. *Εὔφρονος* B. 'nihil enotavi ex A'. Gaisfordus. cum ecl. 1 (Menandri) perperam coniungit Trinc.

5

ὦ Ζεῦ, τί ποθ' ἡμῖν δοὺς χρόνον τοῦ ζῆν βραχὺν
πλέκειν ἀλύπως τοῦτον ἡμᾶς οὐκ ἐᾷς;

Stobaeus Floril. 98, 12 *Εὔφρονος Διδύμων* A. 1. *ποθ'*] *πάνθ'* A. 2. *πλέκειν*, ut *διαπλέκειν* Arist. Av. 754.

ΘΕΩΝ ΑΓΟΡΑ

6

καινοὺς πορίζου πρός με θεῶν θεούς,
ἵνα τοὺς παλαιοὺς μὴ 'πιορκῇς πολλάκις.

Stobaeus Floril. 28, 11 *Εὔφρονος Θεῶν ἀγορᾶς* A. 1. *πρός με πρὸς θεῶν* Grotius. *πρὸς σὲ τῶν θεῶν* Bailei. Com. gr. I 76. '*novós reperito, pér deos te oró, deos, ne véterum fallas úsque et usque númina*'.

ΘΕΩΡΟΙ

7

λοβός τίς ἐστι καὶ ψύαι καλούμεναι·
ταύτας ἐπιτεμὼν πρὶν θεωρῆσαι μαθών —

Athenaeus 9, 399 bc *ὀσφύος αἱ ἐκ πλαγίων σάρκες ἐπανεστηκυῖαι ψύαι...μνημονεύει αὐτῶν καὶ Εὔφρων ὁ κωμικὸς ἐν Θεωροῖς κτλ. χαί* Herwerd. — Phrynich. Epit. 300 *ψύα· οἱ μὲν ἁπλῶς ἁμαρτάνοντες διὰ τοῦ ῡ· οἱ δὲ διπλῇ ἁμαρτάνοντες διὰ τοῦ ο̄ι, οἷον ψοία. ἔστι δὲ καὶ τὸ ὄνομα κίβδηλον. νεφρὸν οὖν λέγε.* ubi cf. Lobeck. '*pulpa lumborum*' Nunnes. Erotian. 7, 8 Klein. et Zonar. 1875 *ψόαι καὶ ψοιαὶ καὶ ψύαι· αἱ λαγόνες...ἡ ἐπιψαύουσα σὰρξ ἐπιπολῆς οὖσα τοῖς ὀστέοις.* Hesych. *ψυῖαι . . . αἱ κατὰ τὴν ὀσφὺν σάρκες.* Phot. *ψόας ἢ ψοίας ἢ ὅπη χρὴ καλεῖν, παρ' οὐδενὶ Ἀττικῶν εὗρον. οἱ δὲ παλαιοὶ γυμνασταὶ ἀλώπεκα προσαγορεύουσιν.* vel *νεφρομήτραν* Clearch. Athen. 399 b. Poll. 2, 185 *οἱ ἔνδοθεν κατὰ τὴν ὀσφὺν μύες καλοῦνται ψόαι καὶ νευρομῆτραι καὶ ἀλώπεκες.* 2. *πρὶν θεωρῆσαι* '*priusquam θεωροῦ munus obeas.* constat enim' *τοὺς θεωροὺς* 'ante profectionem hostiae exta consuluisse. omisit Athenaeus quae proxime sequebantur: *his incisis si videris fausta portendi, proficiscaris licet.*' Mein.

ΜΟΥΣΑΙ

8

Φοινικίδης δ' ὡς εἶδεν ἐν πλήθει νέων
μεστὴν ζέουσαν λοπάδα Νηρείων τέκνων,
ἐπίσχετ' ὀργῇ χεῖρας ἠρεθισμένας·
'τίς φησιν εἶναι δεινὸς ἐκ κοινοῦ φαγεῖν;
τίς ἐκ μέσου τὰ θερμὰ δεινὸς ἁρπάσαι;
ποῦ Κόρυδος, ἢ Φυρόμαχος, ἢ Νείλου βία;
ἴτω πρὸς ἡμᾶς, καὶ τάχ' οὐδὲν μεταλάβοι.'

Athenaeus 8, 343 b *Εὔφρων ἐν Μούσαις κτλ.* 1. *νέων* Schweigh.] *νεῶν* A. 2. *νηρίων* A. 3. scrib. *οὐκ ἔσχεν manus non continuit. ἠρεθισμένος* (*ὀργῇ*) Both. 5. *γ' ἄρ ἁρπάσαι* A. 6. *νιλλον* A. 7. *οὐδὲν ἂν λάβοι* Mein. in Ath. *τάχ' ἂν οὐδὲν μεταλ.* Herwerd. Obs. crit. 107. — *Εὔφρων* (*εὐφάνης* A) Schweigh. conl. Suida, qui Athenaeo auctore *Μούσας* in Euphronis fabulis numerat.

de lurconibus quos commemorat poeta cf. Antiphan. 48. 190, 4.

Alexid. 47. 168. 221, 16. 227. Timocl. 10. 11. Cratin. min. 8. 2. *Νηρείων* nescio utrum ad maris fetus an ad Nerei coqui artificia referam. 4. *ἐκ κοινοῦ* Antiphan. 230. 6. periphrasi Homerica per iocum utitur. extrema *παρὰ προσδοκίαν* addidit.

ΠΑΡΑΔΙΔΟΜΕΝΗ

Fortasse *Παρεκδιδομένη*. cf. Meinek. I 478 et quae ad Antiphanis *Παρεκδιδομένην* adnotantur.

9

οὑμὸς διδάσκαλος δὲ μήτραν σκευάσας
παρέθηκε Καλλιμέδοντι, κἀσθίονθ' ἅμα
ἐποίησε πηδᾶν, ὅθεν ἐκλήθη Κάραβος.

Athenaeus 3, 100d *Εὔφρων ἐν Παραδιδομένῃ κτλ.* 2. *κἀσθίονθ'* C] *κἀσθίων θ'* A. — loquitur coquus. cf. Antiphan. 26, 5. Alexid. 145. similis iocus est Athen. 3, 104cd *ἐπεισῆλθον φέροντες . . καράβους μείζονας Καλλιμέδοντος τοῦ ῥήτορος, ὃς διὰ τὸ φιληδεῖν τῷ βρώματι Κάραβος ἐκλήθη.* 3. *πηδᾶν* non intellego, nisi sit *gaudio exsultare.*

ΣΥΝΕΦΗΒΟΙ

10

ὅταν ἐρανισταῖς, Καρίων, διακονῇς,
οὐκ ἔστι παίζειν, οὐδ' ἃ μεμάθηκας ποιεῖν.
ἐχθὲς κεκινδύνευκας· οὐδεὶς εἶχέ σοι
κωβιὸς ὅλως γὰρ ἧπαρ, ἀλλ' ἦσαν κενοί·
ἐγκέφαλος ἠλλοίωτο. δεῖ δέ, Καρίων,
ὅταν μὲν ἔλθῃς εἰς τοιοῦτον συρφετόν,
Δρόμωνα καὶ Κέρδωνα καὶ Σωτηρίδην,
μισθὸν διδόντας ὅσον ἂν αἰτήσῃς ἁπλῶς,
εἶναι δίκαιον, οὗ δὲ νῦν βαδίζομεν,
εἰς τοὺς γάμους, ἀνδροφόνον, ἂν τοῦτ' αἰσθάνῃ.
ἐμὸς εἶ μαθητὴς καὶ μάγειρος οὐ κακός.
ὁ καιρὸς εὐκτός· ὠφελοῦ. φιλάργυρος
ὁ γέρων, ὁ μισθὸς μικρός· εἴ σε λήψομαι
νῦν μὴ κατεσθίοντα καὶ τοὺς ἄνθρακας,
ἀπόλωλας. εἴσω πάραγε. καὶ γὰρ οὑτοσὶ
προσέρχεθ' ὁ γέρων. ὡς δὲ καὶ γλίσχρον βλέπει.

Athenaeus 9, 377d *ὁ ἐν τοῖς Εὔφρονος Συνεφήβοις μάγειρος ἀκούσατε οἷα παραινεῖ κτλ.* 5. *ὁ κέφαλος*, vel, si *ἐγκ.* (*οὑγκέφαλος*) retineatur, *ἠλλοτρίωτο* (*fraude tua subductum erat*) Mein.

εἷς κέφαλος Both. 8. *αἰτήσῃς* Dindf.] *αἰτήσαις*. 9. *οἷ* Dindf. 15. *οὑτοσὶ* Dindf.] *αὐτὸς οὑτοσὶ* A. *πάραγε* del. Schweigh. 16. *προσέρχεσθ'* A.

coquus famulo praecipit. 'quandocumque mercedem accipies quantam poposceris, non licet furta ista committere quae a me didicisti: at nunc, cum senex dives et avarus mercede perexigua promissa nuptias (filii opinor vel filiae) celebrat, surripe quidquid poteris'. 10. *ἀνδροφόνον*, cf. Amphid. 30, 8 et quae ad Philemonis *Ἀνδροφόνον* adnotantur. *ἂν τοῦτ' αἰσθάνῃ*, *si sentis quid hoc sibi velit, ἀνδροφόνον* esse. 14. Ion. trag. fr. 29 N. (*Ἡρακλῆς*) *κατέπινε καὶ τὰ κᾶλα καὶ τοὺς ἄνθρακας*. 16. Arist. Vesp. 900 *ὡς δὲ καὶ κλέπτον βλέπει*.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

11

ἐγὼ μαθητὴς ἐγενόμην Σωτηρίδου,
ὃς ἀπὸ θαλάττης Νικομήδει δώδεκα
ὁδὸν ἀπέχοντι πρῶτος ἡμερῶν ποτε
ἀφύης ἐπιθυμήσαντι χειμῶνος μέσου
παρέθηκε νὴ Δί' ὥστε πάντας ἀνακραγεῖν.
B. πῶς δὲ δυνατὸν τοῦτ' ἐστί; A. θήλειαν λαβὼν
γογγυλίδα, ταύτην ἔτεμε λεπτὰ καὶ μακρά,
τὴν ὄψιν αὐτῆς τῆς ἀφύης μιμούμενος·
ἀποζέσας, ἔλαιον ἐπιχέας, ἅλας
δοὺς μουσικῶς, μήκωνος ἐπιπάσας ἄνω
κόκκους μελαίνης τὸν ἀριθμὸν δώδεκα,
περὶ τὴν Σκυθίαν ἔλυσε τὴν ἐπιθυμίαν.
καὶ Νικομήδης, γογγυλίδα μασώμενος,
ἀφύης τότ' ἔλεγε τοῖς φίλοις ἐγκώμιον.
οὐδὲν ὁ μάγειρος τοῦ ποιητοῦ διαφέρει·
ὁ νοῦς γάρ ἐστιν ἑκατέρῳ τούτων τέχνη.

Athenaeus 1, 7 d *Νικομήδει τῷ Βιθυνῶν βασιλεῖ ἐπιθυμήσαντι ἀφύης (μακρὰν δὲ οὗτος ἦν τῆς θαλάσσης) μάγειρός τις μιμησάμενος τὸ ἰχθύδιον παρέθηκεν [ὡς ἀφύας]. ὁ γοῦν παρ' Εὔφρονι τῷ κωμικῷ μάγειρός φησιν κτλ.* v. 6—12 Suidas *ἀφύα· θήλειαν λαβὼν γογγυλίδα ταύτην ἔτεμεν εἰς μακρὰ καὶ λεπτὰ τὴν ὄψιν τῆς ἀφύης μιμούμενος ἐπιζέσας, ἔλαιον ἐπιχέας, ἅλας, μήκωνας ἐπιπάσας, ἔλυσε τὴν ἐπιθυμίαν.* 2. *θαλάττης* Dindf.] *θαλάσσης*. 3. *πρῶτος* BCD] *πρῶτον* VL. corruptum videtur. 5. *παρέθηκε νὴ Δί'* Mein.] *παρέθηκεν ἡδείας* C (*ἡδεῖς* VL). 7. *ταύτην ἔτεμε λεπτὰ τὴν ὄψιν* BCD. ex Suida

suppl. Porson. et Elmsl. Arist. Ach. 301 p. 32. 9. *κἀποζέσας* K. 11. *τετταράκοντα τὸν ἀριθμόν* Porson.] *τὸν ἀριθμὸν* β̄ C. μ̄ E. *μελαίνης, τὸν ἀριθμὸν δὲ δώδεκα* Mein. 12. *ἔλυσε* C] *ἐγλύσε* V. *ἐκλύσε* Basil. *ἔπαυσε* Porson. 13. *μασώμενος* Dindf.] *μασσώμενος* C.

'Nicomedes, quem sui nominis primum et Bithyniae regem fuisse probabile est, regnavit ab Ol. 125, unde apertum est fabulam ex qua fragmentum petitum est ante Ol. 126 vix doceri potuisse'. Mein. I 478. 6. Theophr. H. plant. 7, 4, 3 (*γογγυλίδα φασὶ*) *τῷ ἄρρενι καὶ τῇ θηλείᾳ διαφέρειν. γίγνεσθαι δὲ ἐκ τοῦ αὐτοῦ σπέρματος ἄμφω. πρὸς δὲ τὸ ἀποθηλύνεσθαι πηγνύναι δεῖν μανάς· ἐὰν γὰρ πυκνάς, πάσας ἀπαρρενοῦσθαι.* 12. '*τὴν ἐπιθυμίαν λύειν* dictum est ut *νόσον λύειν* et similia, *desiderium, morbum levare* vel *tollere.* Plut. Mor. 662c (*τί*) *οὕτω ῥαδίως νόσον ἔλυσεν ὡς λουτρόν . . . καὶ τροφὴ παρελθοῦσα μεθ' ἡδονῆς εὐθὺς ἔλυσε τὰ δυσχερῆ πάντα.*' sic *λύειν λύπην* Liban. IIII 227, 16. Iacobs. Addit. Ath. 5.

12

οὐκ ἔστι μοιχοῦ μεῖζον οὐδὲ ἓν κακόν·
ἐν ταῖς γὰρ ἑτέρων βούλετ' ἀτυχίαις τρυφᾶν.

Stobaeus Floril. 6, 21 *Εὔφρονος* A.

Μ Α Χ Ω Ν

Meinek. I 478 sq.

Quamquam Athenis neque natus est neque fabulas docuit, tamen cum ad Atticorum poetarum exemplum se conformaverit, non omittendus esse videbatur. *Χρειῶν* vero fragmenta, utpote comoediae aliena, non recepimus.

ΑΓΝΟΙΑ

1

ἥδιον οὐδέν ἐστί μοι τῆς ματτύης.
τοῦτ' εἴτε πρῶτοι Μακεδόνες τοῖς Ἀττικοῖς
κατέδειξαν ἡμῖν, εἴτε πάντες οἱ θεοί,
οὐκ οἶδα· πλήν γ' ὅτι μουσικωτάτου τινὸς

Athenaeus 14, 664a *Μάχων ὁ Σικυώνιος . . . οὐκ ἐδίδαξεν Ἀθήνησι τὰς κωμῳδίας, ἀλλ' ἐν Ἀλεξανδρείᾳ . . . ἐποίησε δὲ ἐν δράματι Ἀγνοίᾳ ταυτί κτλ.* 3. *κατέδειξαν* L] *κατεδίδαξαν* A. 4. *πλήν γ' ὅτι* Schweigh.] *πλήν ἐστίν γε* A. in exitu *τοῦτ' ἔστιν εὕρημ' ἀνδρός,* vel *εὑρήματ' ἀνδρός ἐστι* (*εὕρημα γέγονεν ἀνδρός* Anal. 321)

Athenaeus 3, 107ef *μήποτε δὲ καὶ Κρώβυλος* (*ρωβουλος* A) *ὁ κωμῳδιοποιὸς αἰσχυνόμενον εἶπε τὸ τοιοῦτον ἧπαρ ἐν Ψευδυποβολιμαίῳ λέγων οὕτως κτλ.* *ἐν*] *ἐπὶ* Mein. Anal. Ath. 48. 2. *καπρίσκου σκατοφάγου* Porson.] *καὶ πρίσκους καταφάγου* A. — cf. Alexid. 110, 17. '*pudore suffusum* vocat iecur, quoniam fere omento involuta adponebantur'. *πλεκτάνη* 'conlective sunt bracchia polyporum'. Mein.

Praeterea cf. fr. 9.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

8

ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ
τοὺς δακτύλους δήπουθεν Ἰδαίους ἔχω,
καὶ τὸν λάρυγγ' ἥδιστα πυριῶ τεμαχίοις.
B. κάμινος, οὐκ ἄνθρωπος.

Athenaeus 1, 5f *παρὰ Κρωβύλῳ τῷ κωμικῷ* (*τις*) *φησιν κτλ.* v. 1—3 Suidas *Τιμαχίδας . . . καὶ Κρώβυλός φησιν κτλ.* v. 1. 2 Suidas et Zonaras 1085 *Ἰδαίους· ψυχρούς. κτλ.* 3. *φάρυγγ'* Suid. *Τιμαχ.* *πυρειῶ* CE. *τεμαχίοις* Suid. *Τιμ.* et L] *τεμάχοις*. *τεμαχείοις* C. *τεμμαχίοις* E. — 1. *ὑπερβολῇ* coniung. cum *θερμά*. 2. 'heluo aliquis gloriatur se *Idaeos* digitos, i. e. ferro et aeri similes habere, quibus cibos calidissimos absque ullo doloris sensu contrectare possit.' Kuster. cf. etiam Lobeck. Aglaoph. II 1181. Suidas Idaeos interpretatur *frigidos*, i. e. caloris patientes, quales fuerunt Dactyli Idaei, *εὐπάλαμοι θεράποντες, οἳ πρῶτοι τέχνην πολυμήτιος Ἡφαίστοιο εὗρον ἐν οὐρείῃσι νάπαις, ἰόεντα σίδηρον ἐς πῦρ τ' ἤνεγκαν.* Schol. Apollon. Rhod. 1, 1129. cf. Preller. Myth. gr.[2] I 518.

9

χλωρὸν ἐρέβινθόν τινα
ἐκοττάβιζον κενὸν ὅλως. B. τράγημα δὲ
ἔστιν πιθήκου τοῦτο δήπου δυστυχοῦς.

Athenaeus 2, 54e *Κρώβυλος κτλ.* 2. *τράγημα δὲ* Dindf.] *τραγήματα δ'* CE. *δυστυχῆ* E. ad *Ψευδυποβολιμαῖον* propter simili-

tudinem fr. 6. 7. referebat Mein. — non intellego, ne post Schweighaeuseri quidem explicationem.

10

τὸν πλακοῦντα κόμμιδι,
οὐ μέλιτι διεκόσμει.

Bekker. Anecd. 1208 *δεῖ γινώσκειν ὅτι τοῦ κόμμι εὑρέθη παρὰ Κρωβύλῳ* (sic Mein. pro *Κρυβόλῳ*) *ἡ δοτικὴ κόμμιδι ὡς παρὰ τῆς κόμμιδος γενικῆς· ἔχει δὲ οὕτως κτλ.* Bekker. Anecd. 104, 1 *κόμμιδι· ἡ δοτική. Ἡρόδοτος δευτέρῳ* (2, 86). cf. Herodian. II 767, 9. apud Herodotum hodie scribitur *ὑποχρίοντας τῷ κόμμι.*

11

Harpocration 141, 11 *χιλίας ἐξημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες . . . Κρώβυλος δὲ ὁ κωμικός φησι τοῦ Φιλιππίδου τὸν νόμον εἶναι τὸν περὶ τούτων κείμενον.* *Philippidem* dicit Hyperidis in administranda republica adversarium, quem Crobylus mortuum commemoraverat iudice Meinekio I 490. 1.

ΛΑΩΝ

Meinek. I 492. 3.

ΔΙΑΘΗΚΑΙ

1

τῶν γὰρ μετ' ἐμαυτὸν εἰκόνος καὶ μνημάτων
ἀεὶ καταφρονῶν ζῶν ἔχειν τι βούλομαι.

Stobaeus Floril. 123, 5 *Λάωνος ἐκ Διαθηκῶν* A. *εἰκόνων* Mein. ed. mai. — contemnit simulacra et monumenta mortuorum prae voluptatibus vitae.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

2

Βοιωτὸν ἄνδρα στέργε, τὴν Βοιωτίαν
μὴ φεῦγ'· ὁ μὲν γὰρ χρηστός, ἡ δ' ἐφίμερος.

[Dicaearchus] 1, 22 in C. Mueller. Geogr. min. I 104 *γράφει* (*Λάων*) *ἐπαινῶν αὐτοὺς καὶ οὐ λέγων τὴν ἀλήθειαν. μοιχὸς γὰρ ἁλοὺς ἀφείθη, μικροῦ διαφόρου τὸν ἀδικηθέντα ἐξαγοράσας· Βοιωτὸν κτλ. ἐφίμερος* Steph.] *ἐφήμερος.* extremis verbis (*μοιχὸς κτλ.*) non ipsum Laonem, sed adulterum quem in fabula induxerit significari monet Mein. I 492. 3. Pherecr. 160 *ἤνπερ φρονῇς εὖ, φεῦγε τὴν Βοιωτίαν.*

ΛΕΞΙΦΑΝΗΣ

Meinek. I 493.

ΜΕΝΕΚΡΑΤΗΣ

ΜΑΝΕΚΤΩΡ Η ΕΡΜΙΟΝΕΥΣ (ΕΡΜΙΟΝΗ)

Meinek. I 493. 4.

[ΜΕΝΙΠΠΟΣ]

ΚΕΡΚΩΠΕΣ ΟΦ[Ε]ΙΣ

Nomen poetae dubium. Meinek. I 494. V 12.

ΝΙΚΟΛΑΟΣ

Meinek. I 495. 6.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

1

τὸ τῶν παρασίτων, ἄνδρες, ἐξηῦρεν γένος
Διὸς πεφυκώς, ὥς λέγουσι, Τάνταλος.
οὐ δυνάμενος δὲ τῇ τέχνῃ χρῆσθαι καλῶς
ἀκόλαστον ἔσχε γλῶσσαν, εἶτ' ἀκουσίῳ
δίφρῳ περιπεσὼν δυναμένῳ λιμὸν ποιεῖν
ἀπὸ τῆς τραπέζης ἐξαπίνης ἀπεστράφη·
ἄφνω δὲ πληγεὶς εἰς μέσην τὴν γαστέρα
ἔδοξεν αὐτῷ γεγονέναι τἄνω κάτω,
Σίπυλόν τε τοῦτον ἀνατετράφθαι τὸν τρόπον·
καὶ μάλα δικαίως· Φρὺξ γὰρ ὢν οὐχ ἱκανὸς ἦν
τὴν τοῦ τρέφοντος εὖ φέρειν παρρησίαν.
διὸ δὴ τοιαύτης παντελῶς καχεξίας
ἐν τοῖς βίοις παρὰ πᾶσιν ἐξηλωμένης
πικρῶς ἐπιπλῆξαι βούλομ', ἄνπερ νὴ Δία
παρρησίαν μοι δῶτε, τοὺς ἀσυμβόλους

τἀλλότρια δειπνεῖν ἑλομένους ἄνευ πόνου.
τί γὰρ παθών, ἄνθρωπε, πρὸς τῶν δαιμόνων
βούλει παρασιτεῖν; ἢ τί τῶν ἐν τῷ βίῳ
ηὔξηκας; εἰπόν· ἄξιον γὰρ εἰδέναι·
τίνος μαθητὴς γέγονας; αἵρεσιν τίνα
ζηλοῖς; ἀπὸ τίνων δογμάτων ὁρμώμενος
τολμᾷς παρασιτεῖν; ἃ μόλις ἡμεῖς τὸν βίον
ἅπαντα κατατρίψαντες οὐδὲ νῦν ἔτι
ἀνεῳγμένην δυνάμεθα τὴν θύραν ἰδεῖν
διὰ τοὺς ἄνω διὰ τἀλλότρια μασωμένους.
οὐ παντὸς ἀνδρὸς ἐπὶ τράπεζάν ἐσθ᾽ ὁ πλοῦς.
πλευρὰν ἔχειν πρώτιστον ἐν τούτοισι δεῖ,
πρόσωπον ἰταμόν, χρῶμα διαμένον, γνάθον
ἀκάματον, εὐθὺς δυναμένην πληγὰς φέρειν.
στοιχεῖα μὲν ταῦτ᾽ ἐστὶ τῆς ὅλης τέχνης.
ἔπειτα δεῖ σκωπτόμενον ἐφ᾽ ἑαυτῷ γελᾶν·
αἰσχρὸν γὰρ οἶμαι δοῦλον εἶναι σκώμματος.
ἀπὸ τῶν ἐτῶν κλέπτει τις ἢ καὶ βάπτεται,
θέλων καλὸς εἶναι, καὶ παρ᾽ ἡλικίαν νοσεῖ·
ἔστω Γανυμήδης οὗτος ἀποθεούμενος·
πρὸς χάριν ὁμιλεῖ τοῦ τρέφοντος ἐπ᾽ ὀλέθρῳ·
παρατάττεταί τις καὶ ποιεῖ πάντας νεκρούς,
δειπνῶν σιωπῇ τοῦτον ὑπομυκτηρίσας
εἰς τὴν τράπεζαν καὶ σὺ τὴν χολὴν ἄφες.
οἶμαι δ᾽ ἐμαυτὸν εὔθετον τῷ πράγματι,
παῖδες, γεγονέναι· πάντα γὰρ πρόσεστί μοι
ὅσα περ ἔχειν τἀλλότρια τὸν δειπνοῦντα δεῖ,
λιμός, ἀπόνοια, τόλμα, γαστήρ, ἀργία.
καὶ νῦν μ᾽ ὁ Λυδῶν τῶν πολυχρύσων ἄναξ
σύνδειπνον αὑτῷ κέκρικεν εἶναι καὶ φίλον.

Stobaeus Floril. 14, 7 *Νικολάου* A. v. 1—11 om. A.

1. *ἐξεῦρεν* cod. 4. *ἀκούσιος* vel *ἀκουσίως* Mein. 6. *ἀπὸ τῆς* B[2]] *εἰ τῆς* Trinc. Gesn. *θείης* (-*ας*) Iacobs. 8. *τἄνω καὶ κάτω* Trinc. 12. *διὸ δεῖ* A. 14. *πικρὸς* A. *ἐπιπλῆξαι* A Gesn. mrg.] *ἐκπλῆξαι*. 15. *τοῖς ἀσυμβόλοις — ἑλομένοις* K. nam *ἐπιπλήττειν* semper cum dativo coniungitur. cf. Heindorf. Plat. Protag. 327a. 17. *παθών* Mein. (cf. Cobet. Mnem. VIIII 113)] *μαθών*. 19. *ηὔξηκας* B (*ἴσως*)] *νυξῆκας* AN. *νὺξηκας* Vind. *εὕρηκας* A mrg. ʿquid eorum quae ad

vitam humanam pertinent tu *promovisti?*' 21. *ζηλοῖς* Valcken.] *ηλοῖς* Vind. *κλοῖς* Trinc. Gesn. *εἶλον* AB[2] Gesn. mrg. (ex coniectura). 22. *ἃ*] ὃ Mein. *εἰ* Naber. Mnem. nov. VIII 432. *ᾧ* K. '*quo studio* nos totam vitam consumpsimus'. 23. *ἅπαντα* Iacobs. Add. Ath. 9] *πάντα*. *οὐδὲ νῦν γέ πω* Mein. sententiam mutavit V 116. 25. *ἄνω διὰ* A et Vindob.] *ἀναιδῶς* Grot. *ἀνώδυνα* B[2]. *ἀνοδίᾳ* Mein. 'dici videntur qui in parasitica arte exercenda *praecipitem et negatam viam* sequuntur'. de qua re magnopere dubito. fortasse *ἀνοίᾳ* (cf. *σπουδῇ*, *παιδιᾷ*). *μασωμένους* Mein.] *μασσωμένους*. 27. *πρώτιστον ἐν τούτοισι* AB[2] Gesn. mrg. *πρώτοισι τούτοισι* Trinc. *πρώτιστον εὔτονόν σε* Mein. *ἄτρυτόν σε δεῖ* K. ultra soccum enim adsurgit oratio: *ᾱτρυτ.* ut *πολῡχρύσων* 44. 29. *εὐθὺς*] *εὖ τε* Herwerd. Obs. crit. 113. 33. *βάπτεται* A corr. et B] *βλάπτεται*. v. 36 ante 33 transponit Mein. a monacho versum 36 interpositum esse censet Cobet. N. l. 38. 9. sed ante 33 aliquid deesse constat. *ὁμίλει* B corr. 37. *παρατάττεταί* A mrg. B mrg.] *ταράττεται*. *παράττεται* Vind. AB. 'fortasse *χαράττεται*'. Mein. cf. Elmsl. Eur. Med. 154. *ποιεῖ*] *πτοεῖ* Gesn. mrg. 38. *δειπνῶν* Cobet. N. l. 39] *δείπνῳ*. *δείπνει* B. 40. *τῷ πράγματι* A Vind.] *τοῖς πράγμασι*. 41. *παῖδες*] *ἄνδρες* ut v. 1 Mein. Stob. IIII LIX. fortasse *πάλαι*. 42. *παρέχειν* (supra *α* scr. *ε*) A. *τὸν τἀλλότρια δειπνοῦντα* G. A. Hirschig. Ann. crit. 33. Cobet. N. l. 39 et 643. 43. *γαστριμαργία* Badham. 44. *μ' ὁ*] *με* B Trinc. 45. *καὶ* add. Grot.

1. *ἐξηῦρεν*, i. e. primus in vitam hominum et consuetudinem induxit. Athen. 4, 154d (Mein.) *τῶν μονομαχούντων εὑρετὰς ἀποφαίνει Μαντινεῖς*. 2. est Euripidis Orest. 5, ut 4 Orest. 10, quocirca retineri potest *γλῶσσαν*. 5. 6 nemo adhuc intellexit. fortasse versus transponendi et sic scribendi sunt: (*ἀκουσίως*) | *Διὸς τραπέζης ἐξαπίνης ἀπεστράφη* (*ἀπεστάθη*)· | *δεσμῷ περιπεσὼν δ' ἔμαθέ πως λιμὸν παθεῖν*, ac deinceps *ἄφνω τε* — *γαστέρα λέγουσιν αὐτῷ κτλ.*: nam cum *ἔδοξεν* accus. casus (*Σίπυλον*) coniungi nullo modo potest. de anacolutho, haud raro sane, cf. Plat. Apol. 21c *διασκοπῶν οὖν τοῦτον*...*καὶ διαλεγόμενος αὐτῷ ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ κτλ.* 9. Strab. 1, 58 *σεισμούς τινας μεγάλους τοὺς μὲν πάλαι περὶ Λυδίαν γενομένους καὶ Ἰωνίαν μέχρι τῆς Τρῳάδος, ὑφ' ὧν καὶ κῶμαι κατεπόθησαν καὶ Σίπυλος κατεστράφη, κατὰ τὴν Ταντάλου βασιλείαν.* Plut. Mor. 1059c (*οἱ ποιηταὶ λέγουσιν*) *ὡς ἐκ θεῶν προνοίας ἀνατροπὴν ἔσχεν ἡ παλαιὰ Σίπυλος τὸν Τάνταλον κολαζόντων.* cf. Aristot. Meteor. 2, 8. Plin. N. h. 2, 205. 5, 117. Aristid. I 427 Dind. 11. i. e. *libertatem a domino sibi concessam.* 12. *iam cum prava haec consuetudo hodie ab omnibus celebretur, ego vituperare adgredior eos qui* cet. 26. ridicule inmutat proverbium *οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ' ὁ πλοῦς.* 37. i. e. 'si qui miles gloriosus de proeliis narrat et quomodo hostes omnes interfecerit'. cf. Tibull. 1, 10, 29 sq. 39. '*bilem* ex insipidis militis iactationibus

conlectam in mensam effunde, i. e. cibis fortiter te ingurgita'. Mein. 44. verba ex tragico petita (Mein.). cf. Eurip. Iph. Aul. 787. videtur autem *satrapam* aliquem Lydiae dicere.

2

ἀκολαστοτέρα

Νικόλαος. Bekker. Anecd. 367, 25. neque tamen iuraverim comicum dici.

ΝΙΚΟΜΑΧΟΣ

Meinek. I 496 sq.

ΕΙΛΕΙΘΥΙΑ

1

ὑποδεικνύεις μὲν ἦθος ἀστεῖον πάνυ
καὶ πρᾷον, ὀλίγωρον δὲ πεποίηκάς τι. Β. πῶς;
Α. ἐν τῇ τέχνῃ τίνες ἐσμὲν οὐκ ἐξήτακας.
ἢ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων
οὕτω τ' ἐμισθώσω με; Β. μὰ Δί' ἐγὼ μὲν οὔ.
Α. καὶ μὴν ἴσως ὅσον μαγείρου διαφέρει
μάγειρος οὐκ οἶσθ'. Β. εἴσομαι δέ γ', ἢν λέγῃς.
Α. τὸ γὰρ παραλαβόντ' ὄψον ἠγορασμένον
πότερον ἀποδοῦναι σκευάσαντα μουσικῶς
διακόνου 'στὶ τοῦ τυχόντος. Β. Ἡράκλεις.
Α. ὁ μάγειρός ἐσθ' ὁ τέλεος ἑτέρα διάθεσις.
πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ,
ὧν τὸν μαθεῖν βουλόμενον ὀρθῶς οὐκ ἔνι
ταύταις προσελθεῖν εὐθύς· ἀλλ' ἔμπροσθε δεῖ
. . . .
ζωγραφίας ἧφθαι. ταὐτὰ καὶ μαγειρικῆς
πρότερον μαθεῖν δεῖ τῆς τέχνης ἑτέρας τέχνας,
ὧν εἰδέναι σοι κρεῖττον ἦν μοι πρὶν λαλεῖν,
ἀστρολογικήν, γεωμετρικήν, ἰατρικήν.
τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τέχνας
ἐντεῦθεν εἴσει, παρακολουθήσας χρόνοις,
πότ' ἄωρός ἐσθ' ἕκαστος ἢ πόθ' ὥριμος.
τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα·
ἐνίοτε κρείττων γίνεται θύννου βόαξ.

Β. ἔστω. γεωμετρικῇ δὲ καὶ σοὶ πρᾶγμα τί;
Α. τοὐπτάνιον ἡμεῖς σφαῖραν εἶναι τιθέμεθα.
τοῦτο διελέσθαι καὶ τόπον λαβόνθ' ἕνα
μερίσαι κατ' εἶδος τῆς τέχνης ἐπιδέξια,
ἐκεῖθεν ἐνταῦθ' ἐστὶ μετενηνεγμένα.
Β. οὗτος, πέπεισμαι, κἂν τὰ λοιπὰ μὴ λαλῇς.
Α. περὶ τῆς ἰατρικῆς δέ· τῶν γὰρ βρωμάτων
πνευματικὰ καὶ δύσπεπτα καὶ τιμωρίαν
ἔχοντ' ἔνι' ἐστίν, οὐ τροφήν. δειπνῶν δὲ πᾶς
τἀλλότρια γίνετ' ὀξύχειρ κοὐκ ἐγκρατής.
τοῖς δὴ τοιούτοις βρώμασιν τὰ φάρμακα
εὕρητ' ἐκεῖθεν, μεταφορὰ δ' ἐστὶν τέχνης.
ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμόν
. . . .
περὶ τακτικῆς, ἕκαστα ποῦ τεθήσεται·
ἀριθμῷ τὸ πλῆθος εἰδέναι μαγειρικῆς.
οὐδεὶς ἕτερός σοι πρὸς ἐμὲ καὶ γραφήσεται.
Β. μίκρ' ἀντάκουσον ἐν μέρει κἀμοῦ. *Α.* λέγε.
Β. σὺ μηδὲν ἐνόχλει μήτε σαυτὸν μήτ' ἐμέ,
ἀπραγμόνως δὲ διαγενοῦ τὴν ἡμέραν.

Athenaeus 7, 290ef *Νικόμαχος ἐν Εἰλειθυίᾳ* (*εἰληθυία* A) *καὶ αὐτὸς παράγει τινὰ μάγειρον ὑπερβάλλοντα τοὺς περὶ τὸν Διόνυσον τεχνίτας. λέγει δ' οὖν οὗτος πρὸς τὸν μισθωσάμενον κτλ.* v. 33 Eustathius 1753, 48 *ὁ ἐσθίων κατὰ σπουδὴν διὰ πεῖναν ὀξυχειρίᾳ χρῆσθαι οὐκ ἐγκρατῶς λεχθείη ἂν κατὰ τὸν εἰπόντα, ὡς ἐπὶ τὰ ἀλλότρια δεῖπνα . . . πᾶς γίνεται ὀξύχειρ, οὐκ ἐγκρατής.*

2. *πεποίηκάς τί πως* Mein. 6. *καὶ μὴν* Iacobs. Add. Ath. 166] *κᾤμην* (coniunct. cum *οὐ* v. 5) A. *ἦ μὴν* Grot. Excerpt. 883. *μαγείρου δῖαφέρει* Schweigh.] *διαφέρει μαγείρου* AC. 7. *ἦν*] *ἂν* Mein. *δ' ἐὰν* Nauck. post hunc v. *ἔπειτα αὐχήσας ὁ μάγειρος εἰδέναι τὸ ἠγορασμένον ὄψον σκευάζειν μουσικῶς ληρεῖ ὅτι πρὸ τῆς μαγειρικῆς τέχνης πρότερον μαθεῖν δεῖ ἑτέρας τέχνας, ἀστρολογικήν κτλ.* C. 9. *πότερον* A] *πότερ'* Dobr. Arist. append. 114. *ὁτιοῦν* Hanov. Exerc. crit. 131. *πάτερ* Mein. 'blandientis est ut apud Diphil. 17, 5. 20, 2. Anaxipp. 1, 11'. V 117. 10. *διακονουστούτου* A. *διακόνου 'στ' οὐ τοῦ* Schweigh. 11. *τέλεος* Herwerd. Nov. add. crit. 47] *τέλειος*. idem inter 14 et 15 *τὴν τεκτονικήν* commemorari debuisse arbitratur. Meinekius post v. 14 et post 36 lacunae signa ponit. 14. *ταύταις*] fortasse *αὐταῖς*. 15. corrupta haec esse constat. sententia perspicua fit, si scribas *ἄλλων* vel *ἑτέρων προῆφθαι.* sed plura hic turbata sunt.

ταὐτὰ (*κατὰ ταὐτὰ*) Dindf.] *ταῦτα* A. 16. *τῆς*] *τινα* G. Herm. 17. *ὧν εἰδέναι τι κρεῖττον ἢ μάτην λαλεῖν* Iacobs. 166. 7. 18. *γεωμ.*, *ἰατρ.* Mein.] *ἢ ἰατρικήν, γεωμ.* A. 19. *τέχνας*] *τύχας* Erfurdt. Obs. 462. *σχέσεις* K. coni. Alexid. 124, 12. quae vox medicorum potissimum est. 20. *εἴσῃ* A. *παρακολουθήσας* Mein.] *παρακολουθήσεις* A. 21. *πότ' ἄωρος* C] *ποθ' ωρος* (sic) A. *πόθ' ὥριός ἐσθ' ἕκαστος ἢ πότ' ἀώριος* Mein. 25. *τοὐπτάνιον* Casaub.] *τοὐπτάνειον* AC. 29. *κἂν* K.] *καὶ.* ac sic nunc Kaibel. *λαλῇς* C] *λαλεῖς* A. 32. *ἔνι' ἔστιν* Mein.] *ἔνεστιν* A. *δειπνῶν δὲ πᾶς* Dindf.] *δείπνω δέπας* A. *ἐπὶ τὰ ἀλλότρια δεῖπνα πᾶς* C. 34. 35. 37. 38 (*ἀριθμητικῆς ἀριθμῷ τὸ πλῆθος εἰδέναι*), 36 (*συμμέτρως ἔχον*, quod est Iacobsii 167), 39, in quo extrema corrupta censet, transponit G. A. Hirschig. Ann. crit. 33. 4. 36. *εἰ δὴ — συμμέτρως ἔνι* Kaibel. post hunc v. *ἔπειτα δεικνύει ὁ μάγειρος ὅτι καὶ τακτικῆς ἐστι τὸ εἰδέναι ἕκαστα ποῦ τεθήσεται. τὸ ἀριθμεῖν τὸ πλῆθος, ἣν καὶ αὐτὴν δεῖ προειδέναι τὸν μάγειρον* om. ceteris C. 37. sic A. 38. *μαγειρικῆς*] *ἀριθμητικῆς* Grot. 885. *λογιστικῆς* Iacobs. 167. *εἰδέναριθμητικῆς* Mein. *ἀριθμητικῆς τὸ πλῆθος ὀρθῶς εἰδέναι* Kaibel. 39. *οὐθεὶς* A. 'fort. *κἀγγραφήσεται*, sc. in tabulas quibus coquorum nomina inscripta erant'. Mein. *καταγραφήσεται* Both. 40. *μίκρ' ἀντάκουσον* Cobet. N. l. 127. 8] *μικρὰ διάκουσον* A. 41. *μηθὲν* A. 42. *δίαγε νῦν* Cobet.

10. 'famuli est cuiuslibet' talia administrare: maiora conficere nemo potest nisi coquus (11). 14. 'multae sunt artes, ad quas *ipsas* (*αὐταῖς*) accedere non licet, nisi antea alias quasdam didiceris.' Sosip. 15—19 confert Mein. *ὧν* pendet a *μαθεῖν*. 25. 'dicit coquus culinam sic *dividi* a coquis solitam, ut *singulis suae artis partibus* proprium locum adsignent'. Casaub. 33. *τἀλλότρια*, i. e. quae suae naturae non conveniant. 38. *τὸ πλῆθος*, i. e. quantum cuiusque earum rerum quae ad epulas comparantur sumendum sit.

ΝΑΥΜΑΧΙΑ

2

ἐργῶδές ἐστιν ἐν βίῳ βεβιωκότα
τοὺς τῶν φθονούντων πάντας ὀφθαλμοὺς λαθεῖν.

Stobaeus Floril. 38, 10 *ἐκ τοῦ Νικομάχου Ναυμαχίας* A. 1. *εὖ βίον βεβηκότα* Mein. quam locutionem non memini usquam inveniri. *ἐστ' ἐν ὀλβίοις βεβηκότα* Herwerd. Anal. crit. 33. *ἐν πόλει βεβιωκότα* Cob. Mnem. VIIII 121. 'nam qui in urbe vivunt invidorum oculos nullo modo possunt effugere'. fortasse *ἐστ' ἐν εὐδίᾳ βεβιωκότα.* cf. Xen. Anab. 5, 8, 19. Cyr. 6, 1, 16.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

3

οὐσίδιόν μοι καταλιπόντος τοῦ πατρὸς
οὕτω συνεστρόγγυλα κἀξεκόκκισα
ἐν μησὶν ὀλίγοις ὥσπερ ᾠόν τις ῥοφῶν.

Athenaeus 2, 58 a *ᾠῶν δὲ ῥοφητῶν μνημονεύει Νικόμαχος κτλ.* 1. *μοι κ. τοῦ* Cobet. V. l.[2] 375. 6. N. l. 614] *γὰρ κ. μοι τοῦ* CE. 2. *συνεστρόγγυλα* Mein] *συνεστρογγύλικα* CE. cf. Cob. V. l.[2] 375. cf. Alexid. 246, 4. 2. *ἐξεκόκκισα* ab Aristophane mutuatus est. Ach. 1179. Pac. 63. Lys. 364. 448. 3. i. e. *οὕτω ῥᾳδίως ὥσπερ τις ᾠὸν ῥοφεῖ.*

4

ὦ χαῖρε, χρυσοκλύστα καὶ χρυσοῦς ἐμῶν.

Athenaeus 11, 781 f *φησὶ πρός τινα Νικόμαχος κτλ. χαῖρε* add. Mein. *χρυσόκλυστα* Letronn. De nom. vas. gr. 56] *χρυσοκλαῦστα* C. — Midam aliquem adloquitur. cf. Pherecr. 131. Diphil. 43, 21.

Quae Bekker. Anecd. 337, 11 et 349, 10 adferuntur Nicomachi frustula, ea ad tragicum Nicomachum potius pertinere intellexit Meinekius I 498. cf. Nauck. Tr. gr. fr. p. 591.

ΝΙΚΩΝ

Meinek. I 495.

ΚΙΘΑΡΩΙΔΟΣ

1

κἀὶ πάνυ τις εὐκαίρως προπίνων φησὶ
πατριῶτα. μάνην δ' εἶχε κεραμεοῦν ἁδρόν,
χωροῦντα κοτύλας πέντ' ἴσως. ἐδεξάμην.

Athenaeus 11, 487 c *μάνης· ποτηρίου εἶδος. Νίκων Κιθαρῳδῷ κτλ.* v. 2. 3 (-*ἴσως*) Pollux 6, 99 *μέμνηται μάνου Νίκων ἐν Κιθαρῳδῷ κτλ.* 1. *φησί, σοὶ* Heringa Obs. 29. *μοι* Porson. 2. *πατρίωι ταμανην δὲ* et *ἀδρόν* A Ath. *πατριώτιδα δὲ μανὴν λάβε κερ. κτλ.* A Poll. *μάνην δέχου, πατριῶτα* Porson. facilius est *φησίν, ἦν,* | *πατριῶτα. μάνην δ' εἶχε κτλ. ἤν,* i. e. *ἰδού* (*λαβέ* Poll.), *προπίνω σοι. πατριώτας* inter se adpellant servi. Cratin. 30. Pherecr. 11.

ΞΕΝΩΝ

Meinek. I 500.

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

1

πάντες τελῶναι, πάντες εἰσὶν ἅρπαγες.
κακὸν τέλος γένοιτο τοῖς Ὠρωπίοις.

[Dicaearchus] 1, 7 in C. Mueller. Geogr. min. I 101 *τελωνῶν* (*ἐν Ὠρωπῷ*) *ἀνυπέρβλητος πλεονεξία ἐκ πολλῶν χρόνων ἀνεπιθέτῳ τῇ πονηρίᾳ συντεθραμμένη . . . οἱ στίχοι Ξένωνος κτλ.* v. 1 et 2 transponendi videntur. — cf. Bursian. Geogr. gr. I 220. Boeckh. Oec. Att. I 342.

ΠΟΛΙΟΧΟΣ

Meinek. I 498.

ΚΟΡΙΝΘΙΑΣΤΗΣ

Cf. quae ad Philetaeri fabulam cognominem adnotantur.

1

. . . ὅπως σε πείσει μηδὲ εἷς, πρὸς τῶν θεῶν,
τοὺς βόακας, ἄν ποτ' ἔλθῃ, λευκομαινίδας καλεῖν.

Athenaeus 7, 313c *καλοῦνταί τινες* (*μαινίδες*) *καὶ λευκομαινίδες, ἃς ἔνιοι βόακας ὀνομάζουσι. Πολίοχος Κορινθιαστῇ κτλ.* 1. *πείσει* Cobet. N. l. 617] *πείσῃ*. 2. *ἔλθῃ* ut certo corruptum, ita non emendatum est ab Herwerd. Anal. crit. 33. Mnem. nov. IIII 307 (*ἔσθῃς*).

ΑΔΗΛΟΥ ΔΡΑΜΑΤΟΣ

2

μεμαγμένην
μικρὰν μελαγχρῆ μᾶζαν ἠχυρωμένην
ἑκάτερος ἡμῶν εἶχε δὶς τῆς ἡμέρας
καὶ σῦκα βαιά, καὶ μύκης τις ἐνίοτ' ἂν
ὠπτᾶτο, καὶ κοχλίας γενομένου ψακαδίου
ἠγρεύετ' ἄν, καὶ λάχανα τῶν αὐτοχθόνων
θλαστή τ' ἐλάα, καὶ πιεῖν οἰνάριον ἦν
ἀμφίβολον.

Athenaeus 2, 60b *μύκαι . . . Πολίοχος κτλ.* 5. *κοχλίον* C. 6. *ἠγρεύετ'* Brunck.] *ἀνηγρεύετ'* CE. 7. *ἐλάα* Dindf.] *ἐλαία.* — cf. Antiphan. 226. 8. vinum *dubium* vinumne an acetum sit.

ΣΩΣΙΚΡΑΤΗΣ

Meinek. I 498. 9.

ΠΑΡΑΚΑΤΑΘΗΚΗ

1

ὅταν γάρ, οἶμαι, λευκὸς ἄνθρωπος, παχύς,
ἀργός, λάβῃ δίκελλαν εἰωθὼς τρυφᾶν
πεντεστάτηρον, γίνεται τὸ πνεῦμ' ἄνω.

Pollux 9, 57 *ὅταν εἴπωσι πενταστάτηρον, πεντάμνουν δοκοῦσι λέγειν, ὡς ἐν τῇ Σωσικράτους Παρακαταθήκῃ κτλ.* idem 4, 173 *δίκελλαν πενταστάτηρον Σωσικράτης* (*κράτης* A) *ἐν Παρακαταθήκῃ τὴν πεντάλιτρον.* 2. *εἰωθὼς* I. Scalig.] *εἰδώς.* 3. *πεντεστάτηρον* K.] *πενταστάτηρον.* cf. Hermipp. 34. Polluci falsam formam relinquendam esse duxi. Hesych. *πεντεστατήριον· πενταετῆ,* ubi *πεντεστάτηρον· πεντάλιτρον* Bernh. — non mirum esse nescio quis dicit, si homo laboris inperitus tamen laborare coactus anhelare incipiat. cf. Menand. 23, 3.

ΦΙΛΑΔΕΛΦΟΙ

2

λεπτὴ δὲ κυρτοῖς ἐγγελῶσα κύμασιν
αὔρα, κόρη Σκείρωνος, ἡσύχῳ ποδὶ
προσῆγε πράως καὶ καλῶς τὸν κάνθαρον.

Athenaeus 11, 474a *Σωσικράτης Φιλαδέλφοις κτλ.* 3. *πράως* A. *καλῶς*] *μαλακῶς* vel *κἀκαλῶς* Mein. Anal. Ath. 218. at 'videtur neque haerendum esse in *πράως καὶ καλῶς*, quod est fere *πράως καὶ εὐσχημόνως*, neque *ἀκαλῶς* tuto tribui posse comico poetae'. Haupt. Opusc. III 396. — 2. Strab. 1, 28 *ἀπὸ τῶν Σκειρωνίδων πετρῶν . . . Σκείρωνες καλοῦνται οἱ ζέφυροι, καὶ μάλιστα οἱ ἀργέσται.* et 9, 391 *ἀπὸ τῶν ἄκρων τούτων* (*τῶν Σκειρωνίδων*) *καταιγίζοντα σκαιὸν τὸν ἀργέστην Σκείρωνα προσηγορεύκασιν Ἀθηναῖοι.* Theophrast. fr. 5, 10, 62 *ἀργέστην οἱ μὲν Ὀλυμπίαν, οἱ δὲ Σκίρωνα καλοῦσιν. ποδὶ* 'nautico'. Arist. Eq. 436. Mein. — genus dicendi in his versibus conspicuum mihi quidem simillimum videtur Nausicratis.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

3

ἀγαθοὶ δὲ τὸ κακόν ἐσμεν ἐφ' ἑτέρων ἰδεῖν,
αὐτοὶ δ' ὅταν ποιῶμεν οὐ γινώσκομεν.

Stobaeus Floril. 23, 2 Σωσικράτους (σωσικρα͞) A. σικρα͞ Voss. Hens. fol. 5 v. σιοκρα͞ idem fol. 19 v. Euripidi tribuit Antonius Mel. p. 349. cf. monost. 46. 47. Stobaeus 23, 5 Εὐριπίδου· ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί, αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν (Eurip. fr. 1029 N.). 1. δὲ] γὰρ Voss. fol. 19. ἐσμεν om. idem. ἑτέρους Trinc. — cf. Ritschl. Opusc. I 836. 7.

4

ὅταν ποθεῖν λέγῃ σε καὶ στέργειν γυνή,
φοβοῦ παρ' αὐτῆς πλείον' ὧν λέγει κακά.

Maximus Conf. p. 198 Gesner. Σωκράτους. Σωσικράτους Mein. I 499. cf. Wachsmuth. Stud. z. d. gr. Floril. 141. in editione Maximi Combefisiana, mea fortasse caecitate quadam deceptus, non repperi. 1. ποθεῖν λέγῃ σε καὶ στ. Mein.] ποθεῖν σε καὶ στ. λέγει. λέγῃ ποθεῖν σε καὶ στ. Wachsm. 2. πλείον' Mein.] πλέον'.

5

ἡ τῶν κολάκων εὔνοια καθάπερ ἐκ τροπῆς
φεύγει τὰς ἀτυχίας.

Maximus Conf. 11 p. 567 ed. Combefis. Paris. 1675 Σωκράτης κτλ. scr. Σωσικράτης. 2. scr. τὰς ἀτυχίας φεύγει.

6

Maximus Conf. 31 p. 620 Combefis. Σωκράτ. τῆς παρρησίας ὥσπερ ὀπώρας ἐν καιρῷ ἡ χάρις ἡδεῖα. quae sic videntur redintegranda: Σωσικράτης· τῆς παρρησίας | καθάπερ ὀπώρας ἐστὶν ἡν καιρῷ χάρις | ἡδεῖα.

7

ἀμφίας

οἶνος ὁ φαῦλος καλεῖται παρὰ Σωσικράτει. Athenaeus 1, 31e. ἄμφιος CE. Suidas ἀμφίας· μέτριος οἶνος. Νικόστρατος Οἰνοποιῷ (18) καὶ Σωσικράτης. Hesych. ἀμφίας· γένος οἴνου.

ΦΙΛΟΣΤΕΦΑΝΟΣ

Meinek. I 498.

ΔΗΛΙΟΣ

Cf. Criton. 3, 8. fortasse scaena fabulae Delos fuit. nam Athenis certe non fuit. cf. fr. 1.

1

εἰδώς σε πάντων διαφέροντα τῇ τέχνῃ
τῇ τ' ὀξύτητι μετὰ Θίβρωνα, Δαίδαλε,
τὸν ἐξ Ἀθηνῶν, τὸν καλούμενον Πέρας,
δοὺς μισθὸν ὅν μ' ᾔτησας ἥκω δεῦρ' ἄγων.

Athenaeus 7, 292. 3 *Φιλοστέφανος ἐν Δηλίῳ καὶ ὀνόματα ἐνδόξων μαγείρων ἐν τοῖσδε καταλέγει κτλ.* 2. *Θίβρωνα* Gaisford.] *θίμβρωνα* AC. *Δαίδαλε* Mus.] *δεδαλε* A. 4. *μ'* add. Casaub. *ἄγων* Schweigh.] *ἄγων σε* A. 3. cf. Cobet. N. l. 71. 2. Plin. N. h. 34, 55 *fecit* (Polyclitus) *et quem canona artifices vocant, lineamenta artis ex eo petentes, veluti a lege quadam.*

ΦΟΡΜΟΣ

ΑΤΑΛΑΝΤΑΙ

1

φοίνικα

τὸν καρπὸν . . κέκληκεν . . . Φόρμος ὁ κωμικὸς ἐν Ἀταλάνταις. Athenaeus 14, 652a. nihil aliunde de hoc comico cognitum. *Phormis* poetae nomen est apud Suidam.

ΧΑΡΙΚΛΕΙΔΗΣ

Meinek. I 423. 490.

ΑΛΥΣΙΣ

Pollux 10, 167 *ἡ ἅλυσις οὐ μόνον ἐπὶ τοῦ δεσμοῦ, ἀλλὰ καὶ ἐπὶ τοῦ γυναικείου κόσμου.* Hesych. *ἀλύσιον· τὸ περὶ τὸν τράχηλον πλόκιον.* cf. Aristoph. fr. 320, 12. Menand. 258. Philippid. 33. similes fabularum tituli Pherecratis *Λῆροι*, Menandri *Πλόκιον*. potest tamen esse *ἅλυσις* etiam *κατάδεσμος* magicus (*vincula* Hor. Sat. 1, 8, 50. *licia* Verg. Ecl. 8, 74).

1

δέσποιν' Ἑκάτη τριοδῖτι,
τρίμορφε, τριπρόσωπε,
τρίγλαις κηλευμένα.

Athenaeus 7, 325d *Ἀθήνησι καὶ τόπος τις Τρίγλα καλεῖται, καὶ αὐτόθι ἐστὶν ἀνάθημα τῇ Ἑκάτῃ τῇ Τριγλανθίνῃ. διὸ καὶ Χαρικλείδης ἐν Ἁλύσει φησί κτλ.* Eustathius 1197, 29 *ὅτι δὲ πολυώνυμος ἡ ῥηθεῖσα Ἑκάτη δηλοῖ καὶ τὸ εἰς αὐτὴν ἐπίγραμμα ἔχον οὕτως κτλ. κηλευμένη, τουτέστι θελγομένη, χαίρουσα.* et 32 *ὅτι καὶ τόπος τις Ἀθήνησι Τρίγλη ἐκαλεῖτο, καὶ ὡς ἀνάθημα ἦν ἐκεῖ Τριγλανθήνῃ Ἑκάτῃ, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί.* 1. *Ἑκάτη* in Char. vers. om. Eust. *Ἑκάτα* Dindf. 2. *τρίμορφε θεά, τριπρ.* Bergk. P. l.[2] p. 1038. 'quod Athenaeus ex Chariclide, comico ut videtur poeta, profert non ab ipso poeta videtur profectum, sed ex populari cantilena adscitum.' 3. *τρίγλαισι* Kaibel. *κηλευμένα* (supra scr. *η*) A (Bruns). videtur scribendum *κηλουμένη* vel *κηλουμένα.* — cf. Nausicr. 2, 9.

FRAGMENTA
INCERTORUM POETARUM

ΑΔΕΣΠΟΤΑ

Incertorum poetarum fragmenta, quo melius eorum qui lecturi essent commodis consuleretur, quam accuratissime fieri poterat in genera sua distribuimus. itaque primum locum obtinent ea quae sive certis indiciis sive probabili coniectura aut antiquae aut novae comoediae adscribenda erant; sequitur magna eorum multitudo de quorum genere non constat. haec excipiunt fragmenta dubia et perperam comoediae tributa. in singulis autem his capitibus singulorum fragmentorum is servatur ordo, de quo dixi in praefatione vol. I p. IV. claudunt agmen eclogae ampliores, quae apud scriptores primorum p. Chr. saeculorum sine originis indicio, sed haud paucis versibus integris versuumque partibus servatis in solutam orationem conversae inveniuntur: quae quamquam novae comoediae pleraeque omnes tribuendae videntur, tamen quoniam non tam codicum ms. ope quam coniectura fere, haud raro incerta, redintegrandae sunt, consulto a reliquis segregatae suo quodam proprio capite comprehenduntur. dixi de his Herm. XXI 391 sq. Mus. Rhen. XXXXIII 29 sq.

ΤΗΣ ΑΡΧΑΙΑΣ ΚΩΜΩΙΔΙΑΣ

1

(ὁ) Φορμίων τρεῖς (ἀργυροῦς) στήσειν ἔφη
τρίποδας, ἔπειτ' ἔθηκεν ἕνα μολύβδινον.

Zonaras 1366 *οἱ Ἀττικοὶ μόλυβδον καὶ μολύβδινον . . . κτλ.* 1. *ὁ* et *ἀργυροῦς* add. Mein. *στήσειν ἔφη* idem] *ἔφη στήσειν.* cf. Cratin. 318 et 456.

2

μετὰ τὴν ἀποβολὴν τοῦ Κλέωνος εὐθέως
ὑπερέβαλεν ὑπὲρ τοῦ Ὑπερβόλου.

Schol. Aristoph. Eq. 1304 *κεραμεὺς ὁ Ὑπέρβολος. μετὰ δὲ τὴν κτλ. μετ' αὐτὸν (αὐτῶν* V) *γὰρ ἐπολιτεύσατο.* 1. *μετὰ τὴν δ'*

Mein. I 190. 2. μέγ' ὑπερέβαλλεν ὁ κεραμεὺς Ὑπέρβολος Mein. — ὑπερέβαλ(λ)εν 'scil. πονηρίᾳ vel μοχθηρίᾳ, quod in praecedentibus verbis fortasse posuerat horum versuum auctor'. Mein. I 190. ubi quod 'in tanto omnium de arte quam factitavit Hyperbolus consensu' idem hic figulus dicatur, id facile eo explicari monet quod lucernae haud paucae figlinae fuerint. cf. Philetaer. 4. — ridicule abutitur originatione nominis *Hyperboli* (ἀποβολήν, ὑπερέβαλε), itaque v. 2 fortasse ita redintegrandus: ὑπερβολῇ πάνθ' ὑπερέβαλεν Ὑπέρβολος. nam figulum fuisse scholiasta dicit, non poeta.

3. 4. 5

ἀλλ' Ἀλκιβιάδην τὸν ἁβρόν, ὦ γῆ καὶ θεοί,
ὃν ἡ Λακεδαίμων μοιχὸν ἐπιθυμεῖ λαβεῖν.

Athenaeus 13, 574d Ἀλκιβιάδης ὁ καλός, ἐφ' οὗ τις τῶν κωμικῶν ἔφη κτλ. 1. ἀλλ' add. Pors. — cf. Plut. Alcib. 23.

ad Alcibiadem pertinent duo quaedam frusta apud Liban. IIII 194, 15, ex comoedia aliqua ut videntur excerpta. κατεαγὼς (φαίνεται add. K.) | ἐν ταῖς μέθαις· ἀνδρόγυνος ἐπὶ τῆς ἑσπέρας, et ὑπὲρ τὸν Πρωτέα | τὴν φύσιν ἀμείβων.

6

βδελυρὸν μὲν οὖν τὸ πρᾶγμα, κοὐκ ἂν ἐβουλόμην
λαχεῖν· ἐπειδὴ δ' ἔλαχον, οὐκ ἂν ἐβουλόμην.

Hermogenes Walz. Rhet. III 440. 1 (II 453. 4 Spengel) τοῦ κωμικῶς λέγειν ... τρεῖς μέθοδοι, τὸ κατὰ παρῳδίαν σχῆμα, τὸ παρὰ προσδοκίαν, τὸ ἐναντίας ποιεῖσθαι τὰς εἰκόνας τῇ φύσει τῶν πραγμάτων . . . τὸ δὲ παρὰ προσδοκίαν οὕτω 'βδελυρὸν — ἔλαχον'. προσδοκᾷ μὲν ὁ ἀκροατὴς ἀκοῦσαι 'ὑπομενῶ', φησὶ δέ 'οὐκ ἂν ἐβουλόμην'. 'videtur Aristophanis esse.' Mein. cf. Aristoph. fr. 620. facilius etiam coniungitur cum Plat. com. fr. 166. 7. sed certi nihil statui potest.

7

Dio Chrysost. 33 p. 31 R. εἶτα ἐξύρων μέχρι τῶν παρειῶν· οὐδὲ τοῦτό πω δεινόν· ἀλλ' ὅμως ὁ κωμικὸς καὶ τοῦτον ἐκέλευσε κατακάειν ἐπὶ φαλήτων συκίνων ἑκκαίδεκα. ad *Demos* Eupolidis referebat Meinekius II 469. 70. cf. Nauck. Philol. IIII 360. — Lobeck. Aglaoph. 703, n. g 'Catullus 36 Volusii scripta *infelicibus ustulanda lignis* dicit; Epicuri libri Lucian. Alex. 47 comburuntur ἐπὶ ξύλων συκίνων, sicuti monstra ὀξυθυμίοις καίεσθαι solebant.' cf. etiam Lucian. Peregr. 24. Bekker. Anecd. 10, 26 (adesp. 659) ἀγρίοις κατακαῦσαι ξύλοις· τὰ τερατώδη τὴν φύσιν ἀγρίοις ἔκαιον ξύλοις. φάλητες σύκινοι sunt trunci ficulnei in figuram membri

Priapei (Hor. Serm. 1, 8, 1) formati. eis homines delicatulos tamquam monstra quaedam cremari iusserat poeta. numerum (*ἑκκαίδεκα*) explicare non magis possum quam Cratin. 186. Teleclid. 44. Arist. Eq. 546. fortasse poeta scripserat *ὃς δ' ἂν ξυρῇ μέχρι τῶν παρειῶν (τὴν κόμην), | λέγω' πὶ φαλ. συκ. ἑκκαίδ. | τοῦτον κατακάειν. κατακάετ' αὐτὸν ἐπὶ φαλήτων συκίνων | ἑκκαίδεκ'* Blaydes. Arist. fr. 954.

8

. εὐδαίμων . . . Πολίαγρος
οὐράνιον αἶγα πλουτοφόρον τρέφων.

Plutarchus Mor. 27c *τὸν κωμῳδούμενον ὑπερβάλλει μαστροπείᾳ Πολίαγρον κτλ.* 1. fortasse *εὐδ. ἅ ρ' ἐστὶ Π.* 2. *ἔνδον τρέφων* Naber. Mnem. nov. VIII 24. — cf. Cratin. 244. Boissonadus confert Alciphr. 3, 62 (adesp. 1561) *Πολιάγρου τοῦ κυρτοῦ μαλακώτερός ἐστι τὰ τοιαῦτα Λυσικλῆς. ἐκεῖνος γὰρ λύτρα παρὰ τῶν μοιχῶν ἐπὶ τῇ γαμετῇ πραττόμενος ἀθῴους τῆς τιμωρίας ἠφίει*, et Aelian. V. h. 5, 8 *Σωκράτης μὲν οὖν κωμῳδούμενος ἐγέλα, Πολίαγρος δὲ ἀπήγξατο.* 'cum *αἴξ* meretricem significet, *οὐράνιον* ambigue dictum videri potest, respectu ad *οὐράν*, *caudam salacem* (Horat. Sat. 1, 2, 45)'. Bothius. ceterum cf. Mus. Rhen. XXXXIII 38. 9.

9

χρόαν δὲ τὴν σὴν ἥλιος λάμπων φλογὶ
αἰγυπτιώσει.

Eustathius 1484, 26 *αἰγυπτιάσαι καὶ αἰγυπτιάζειν τὸ ἐπικαῦσαι, οἷον κτλ.* 1. *λάμπων*] *λαμπρᾷ* Nauck. 2. *αἰγυπτιώσει* Mein.] *αἰγυπτιάσει.* prorsus diversa sunt *αἰγυπτιάζειν* (*Aegyptios imitari*, Arist. Thesm. 922) et *αἰγυπτιοῦν Aegyptiorum similem facere.* atque Hesych. *αἰγυπτιῶσαι· μελᾶναι.* Etym. m. 30, 18 *αἰγυπτ(ι)ῶσαι· μελᾶναι καὶ ἐπικαῦσαι.* ex satyrica fabula excerptum arbitratur Cobet. N. l. 48. cf. Nauck. Tr. gr. fr. adesp. 133. probabilius Meinekius parodiam esse putavit Aesch. Prom. 22. videtur ecloga Platonis Sannyrionisve esse, quorum utriusque fuit *Io.* neque quicquam est quod a comicorum genere dicendi in parodiis recedat, *αἰγυπτιοῦν* autem vix potest alii poetae adscribi. *χρόα* est Arist. Plut. 1020, *χροιά* Nub. 718. 1012. 1017. 1171.

10

δεινὸν . . κεραυνὸν ἐν γλώττῃ φέρει.

Plutarchus Pericl. 8 *αἱ κωμῳδίαι τῶν τότε διδασκάλων σπουδῇ τε πολλὰς καὶ μετὰ γέλωτος ἀφεικότων φωνὰς εἰς αὐτὸν (Περικλέα) ἐπὶ τῷ λόγῳ μάλιστα τὴν προσωνυμίαν (τοῦ Ὀλυμπίου) γενέσθαι*

δηλοῦσι, βροντᾶν μὲν αὐτὸν καὶ ἀστράπτειν ὅτε δημηγοροίη, δεινὸν δὲ κεραυνὸν ἐν γλώσσῃ φέρειν λεγόντων. δεινὸν Διὸς κεραυνὸν Heimsoeth. Ind. Bonn. 1867 aest. xx. cf. 49.

11

γεροντάγωγῶν κἀναμισθαρνεῖν διδούς

Plutarchus Mor. 807 b *τραχὺς ὢν (Κλέων) πρὸς τοὺς ἐπιεικεῖς καὶ βαρύς, αὖθις ὑπέβαλε τοῖς πολλοῖς πρὸς χάριν ἑαυτὸν κτλ. καὶ τὸ φαυλότατον καὶ τὸ νοσοῦν μάλιστα τοῦ δήμου προσεταιριζόμενος ἐπὶ τοὺς ἀρίστους.* et Nic. 2 *ἴσχυε μὲν γὰρ ὁ Κλέων μέγα κτλ.* — *ἀναμισθαρνεῖν*, *mercede* tamquam medicina *accepta convalescere.* parodia est Soph. fr. 442, 2 N. *γεροντάγωγῶ κἀναπαιδεύω πάλιν.* cf. Arist. Eq. 1099 et Nauck. p. 190. versus si non Aristophanis, at certe aetatis est Aristophaneae.

12. 13. 14

οὐδεὶς κομήτης ὅστις οὐ ψηνίζεται.
οὐδεὶς κομήτης ὅστις οὐ βινητιᾷ.
οὐδεὶς κομήτης ὅστις οὐ περαίνεται.

v. 1 Synesius Epist. 104, 244 a (702 Hercher.) *τοῦτό γε πάντως οἶσθα τὸ κτλ.* cf. Calvit. 85 d. v. 2 Macar. 6, 74. v. 3 Photius et Suidas *οὐδεὶς κ.*, Apostol. 13, 31, ubi additur *λέγουσι ἀψηνίζεται, ἄλλη βηνιᾷ* (*ψηνίζεται, ἄλλοι βινητιᾷ* Leutsch.). — Eurip. Tro. 1051 *οὐκ ἔστ' ἐραστής, ὅστις οὐκ ἀεὶ φιλεῖ.* cf. Herm. XXI 379 n. 18—20. similes sententiae in antiqua comoedia haud rarae. Arist. Eq. 878. Eccl. 112.

15

κεκολλόπευκας· τοιγαροῦν ῥήτωρ ἔσει.

Stobaeus Ecl. 2, 3, 3 b Wachsmuth. coniuncta cum Platon. com. 186, 5. separavit ab hoc et incerto poetae tribuit Wachsmuthius.

16

ἄνευ δὲ μητρός, ὦ κάθαρμ' Εὐριπίδη;

Schol. Eurip. Orest. 554 (p. 159, 15 Dind.) *ἄνευ δὲ πατρός (τέκνον οὐκ εἴη ποτ' ἄν)· λέγεταί τις αὐτοῦ εἰπόντος τοῦτο εἰρηκέναι κτλ.* ex comoedia Ranarum non dissimili excerptum. cf. Menand. 1085.

17

ὀκνεῖς λαλεῖν; οὕτω σφόδρ' εἶ τηθαλλαδοῦς;

Eustathius 971, 39 *τηθαλλαδοῦς καὶ σκῶμμα εὐηθείας ἔχει, ὡς τῶν ὑπὸ τοιαύταις (τήθαις) τεθραμμένων εἰς εὐήθειαν ἐπιδιδόντων διὰ τὸ ἀνημένον τῆς τροφῆς. διὸ καὶ ὁ εἰπὼν ἐρωτηματικῶς τό κτλ. ὀνειδίζων κέχρηται τῇ λέξει παίζων εἰς ἀνδραποδώδη τινὰ καὶ οἷον γραοτρεφῆ. ἀνημένον*] *ἀνειμένον* H. Stephan. *ἀμενηνὸν* Nauck. Philol. I 360. Photius *τηθαλλαδοῦς· γυναικότροφος· ὑπὸ τήθῃ* (sic Cobet. Mnem. VII 480 pro *τίτθῃ*) *τεθραμμένος.* idem *τηθαλλαδοῦς· ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσιν.* Bekker. Anecd. 65, 30 *τηθαλλαδοῦς· ὁ ὑπὸ τήθῃ καὶ γυναιξὶ τεθραμμένος.* cf. Etym. m. 756, 31. Phrynich. Epit. 299 *μαμμόθρεπτον μὴ λέγε, τηθαλλαδοῦν δέ.* cf. quae adn. Lobeck. ibidem et Ai. 391. Pathol. prol. 350. Nauck. Arist. Byz. 143, 37. 138. 9. est igitur antiquioris aetatis.

18

κύων τις ἐδόκει συμποιεῖν Μολοττικός.

Diogenes L. 4, 20 *ἦν δὲ (Πολέμων) καὶ φιλοσοφοκλῆς, καὶ μάλιστα ἐν ἐκείνοις, ὅπου κατὰ τὸν κωμικὸν τὰ ποιήματα αὐτῷ (Σοφοκλεῖ) κτλ.* ad Aristophanem referebat Bergk. R. c. Att. 377. cf. Nauck. Philol. VI 425.

19

ἀπηλλάγημεν πολυχέσου νοσήματος.

Suidas *ἀπηλλάγησαν· ἐτελεύτησαν, ἢ τινος ἐστερήθησαν. κτλ. πολυχέσου* ABE. *νοσήματος*] *πάθους* VC. *παθήματος* Schaefer. Dionys. 203. 'at *πάθους* nihil est nisi glossema nominis *νοσήματος*'. Mein.

20

ἤτοι τέθνηκεν ἢ διδάσκει γράμματα.

Zenobius 4, 17 *ἤτοι — γράμματα· τῶν μετὰ Νικίου στρατευσαμένων εἰς Σικελίαν οἱ μὲν ἀπώλοντο, οἱ δὲ ἐλήφθησαν αἰχμάλωτοι καὶ τοὺς τῶν Σικελιωτῶν παῖδας ἐδίδασκον γράμματα. οἱ οὖν διαφεύγοντες εἰς Ἀθήνας καὶ ἐρωτώμενοι περὶ τῶν ἐν Σικελίᾳ ἔλεγον· ἢ τέθν. κτλ.* similiter Diogenian. 5, 9. Apostol. 8, 73. cf. Plut. Nic. 29. Diodor. Sic. 13, 33 (Leutsch.). 'veri simile est haec ex comoedia petita esse post Siciliensem cladem in scaenam commissa'. Mein.

21

Κορυδέως . . εἰδεχθέστερος

Zenobius 4, 59 *οὗτος ὁ Κορυδεὺς ἐπὶ δυσμορφίᾳ ἐκωμῳδεῖτο, καὶ οἱ παῖδες αὐτοῦ, ὧν ἕνα τὸν Ἀρχέστρατόν φασιν.* Diogenian.

5, 57 *K. εἰδ. ἐπὶ τῶν δυσμόρφων· οὗτος γὰρ ἐπὶ ἀμορφίᾳ διεβάλλετο.* cf. Apostol. 9, 92. Hesychius *Κορυδεύς· ὄνομα κύριον. οὗτος ἐκωμῳδεῖτο ἐπὶ δυσμορφίᾳ, καὶ οἱ παῖδες αὐτοῦ.* de *Archestratis* cf. Eupol. 276. fortasse ◡ _ *K. ἐστὶν εἰδ.*

22

Μουσῶν εὐκόλων ἀνθρήνιον

Philostratus Imag. 13 (p. 414. 5 Kayser.) *ἢ πού τις καὶ ἀναφθέγξεται μικρὸν ὕστερον ἐπὶ σοί, Μουσῶν εὐκόλων ἀνθρήνιον λέγων.* Schol. Sophocl. OCol. 17 *μέλισσαν αὐτὸν* (*τὸν Σοφοκλέα*) *ἐκάλεσαν οἱ κωμικοί.* cf. Aristoph. fr. 581. ac Phrynichus tragicus *μέλιττα* dicitur Arist. Av. 750. alterutrum significari censet Mein.

23

οὐδέποτε προδέδωκέ με.

Bekker. Anecd. 53, 2 *εὑρίσκομεν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τὸ οὐδέποτε καὶ ἐπὶ παρῳχημένου χρόνου κτλ.* 'fortasse *δέ* excidit.' Mein. vel *γάρ.*

24

Hesychius *Ἐξήκεστος· ἡταιρηκώς. ὅθεν καὶ τοὺς πρωκτοὺς ὁμωνύμως Ἐξηκέστους ἔλεγον. Ἐξηκεστιδαλκίδαι· παρὰ τὸν Ἐξηκεστίδην καὶ Ἀλκ(ε)ίδην τοὺς κιθαρῳδούς. Ἀλκ(ε)ίδην*] *Ἀλκαῖον* Mein. — cf. Arist. Av. 11 et 1764 cum interpr. Bergk. R. c. Att. 373. 4. de forma Lobeck. Paralip. 367, qui confert *Ἡρακλειοξανθίαν* Aristophanis, *Ὀρεσταυτοκλείδην* Timoclis, *Διονυσαλέξανδρον* Cratini, *Ἰκαρομένιππον* Luciani. addo *Χοιριλεκφαντίδην* Cratini 335.

25

Οἰωνίχου μουσεῖον

Hesychius *Οἰώνιχον· μουσεῖον. τοῦτο δὲ Οἰωνίχου φησὶ μουσεῖον εἶναι.* 'certe scribendum *Οἰωνίχου μουσεῖον*, qua quidem adpellatione comicus aliquis lasciva Oeonichi carmina notavisse videtur'. Bergk. R. c. Att. 231. cf. Cratin. 305. Arist. Eq. 1287.

26

αὐτόχρημα Χαιρεφῶν

Apostolius 18, 15 *Χαιρεφῶν αὐτόχρημα· ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν.* cf. Suidas *Χαιρεφῶν*, ubi deest *αὐτόχρημα*, de qua voce cf. Arist. Eq. 78. adesp. 1525. Lucian. Demosth. enc. 13 *κλύδωνα...αὐτόχρημα θαλάττιον.*

27. 28

De comoedia VI Duebn. p. XVI (Studemund Philol. XLVI 10, 4) *τέταρτον* (comicae dictionis genus) *κατὰ παρωνυμίαν, ὡς ὅταν τῷ κυρίῳ ἔξωθέν τις ἅπτηται* (*τι κατάθηται* MPV), *ὡς τό μώμαξ καλοῦμαι Μίδας . . . ἕκτον κατὰ ἐναλλαγήν* (sic V pro *ἐξαλλ.*), *ὡς τό ὦ Βδεῦ δέσποτα, ἀντὶ τοῦ ὦ Ζεῦ. μώμαξ*] *μίμαξ* Par., *μὼξ* Laur. 31, 4. plura inveniuntur apud Stud. *Μώμαξ* vel *Μίμαξ καλοῦμαι Μειδίας* Mein. *Μώμαξ καλοῦμαι καὶ Μίδας* H. Iacobi.

Midam non divitem illum, sed stultum iudicem, de quo Ovid. Met. 11, 172, H. Iacobi intellegit V 121. 2. cf. Bernays. Mus. Rhen. VIII 587. ad Ar. Lysistr. 940, ut voluit Studemundius, alterum fr. pertinere vix potest.

29

Ἐρετρικὸς κατάλογος

ἐπὶ τῶν σφόδρα πλουσίων. Macar. 4, 16. Hesychius *Ἐρετριακὸς κατάλογος· ἐπὶ Διφίλου* (Ol. 84, 3) *ψήφισμα ἐγράφη ἐξ Ἐρετρίας καταλέξαι ὁμήρους τοὺς τῶν πλουσιωτάτων υἱούς. τοῦτο οὖν τὸ ψήφισμα ἔχει ἐπιγραφὴν Ἐρ. κ.* similiter Photius. ex Macario cognoscitur hominem divitem aut ipsum *Ἐρετρικὸν κατάλογον* dici aut in talem referri. quod fieri vix potuit nisi in comoedia.

30

σπερχυλλάδην κέκραγας

ἀγανακτήσας ὑλακτεῖς ἄγαν. παρὰ τὸ σπέρχεσθαι. Hesychius. cf. Lobeck. Pathol. prol. 426. antiquam comoediam redolet.

31

Ἐπειοῦ δειλότερος

οὕτως ἐλέγετο Κρατῖνος ὁ κωμικός, ἴσως διὰ τὸ ταξιαρχῆσαι τῆς Οἰνηίδος φυλῆς δειλότερός τε φανῆναι. Suidas et eisdem fere verbis Zenob. 3, 81. Diogenian. 4, 61. Hesychius. — *Epeus,* is qui equum durium opinor fecit (Eur. Tro. 10), ignavus dici videtur, quia Troiae dolo, non vi capiendae auctor fuerat. Lycophr. Cass. 931 *ἔγχος πεφρικὼς καὶ φάλαγγα θουρίαν.* Cratinus autem ab aemulo aliquo, fortasse Aristophane, eo nomine notabatur. cf. Cratin. 460.

32

ἠρινοῦ πόκου

Hesychius *ἀπὸ τῶν ποιμνίων τῶν κατὰ τὸ ἔαρ φόρους τελούντων* [*ἔαρι*]. *ἠρινοῦ πόκου* Dobr. Adv. I 593] *ἠρινοτόκου* cod. *κατὰ*

τὸ ἔαρ φόρους M. Schmidt] κατεοφόρους cod. κατ' ἔαρ φόρους Musur. τῶν συμμάχων κατ' ἔτος φόρον τελούντων ἔαρι Mein. Photius ἠρινοτόκου (ἠρινοῦ τόκου Pors., πόκου Dobr.), ἐπεὶ ἔαρος οἱ φόροι ἐφέροντο. ex antiqua comoedia excerpta haec esse adparet. possunt tamen etiam ad causidicorum emolumenta referri, quoniam lites sociorum vere Athenis dirimebantur. Schol. Arist. Av. 1478 τῷ μουνιχιῶνι μηνὶ τοῦ ἔαρος δικάζονται (γυμνάζονται RV) αἱ πρὸς τοὺς ξένους δίκαι.

33

κεραμικὴ μάστιξ

τὸν ὀστρακισμὸν λέγουσι, μάστιγα μὲν διὰ τὸ βασανίζειν τοὺς ὀστρακιζομένους καὶ κολάζειν, κεραμ[ε]ικὴν δὲ διὰ τὸ ἐκ κεράμου τὰ ὄστρακα εἶναι. Hesychius. κεραμικὴ Mein.] κεραμεικὴ cod. ac recte Photius 155, 24 κεραμικὴ μάστιξ· ὀστρακισμός. cf. Nauck. Aristoph. Byz. 239. in comoedia aliqua ostracismum eo nomine significatum fuisse adparet.

34

ἀλλὰ θῦε τοὺς κέδρους.

Ammonius 81 et Bachmann. Anecd. II 378, 20 κέδρος θηλυκῶς μὲν τὸ δένδρον, ἀρσενικῶς δὲ ὁ καρπός. ἀλλὰ κτλ. similiter Etymolog. m. 498, 42 (οὐδετέρως δὲ ὁ καρπός, et τὰς κέδρους, ubi tamen τοὺς κέδρους DM). his inter se comparatis neque τοὺς neque τὰς κέδρους videtur scriptum fuisse, sed τοῦ κέδρου, quod Ammonius pro masculino, Etymologici auctor pro neutro habuit. antiquae comoediae adnumerandum videtur fragmentum conl. Bekker. Anecd. 42, 19 ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ τὸ θῦσαι ἀντὶ τοῦ θυμιᾶσαι. cf. Porphyr. De abst. 2, 59 (120, 17 Nauck.) τὸ θύειν τοῦ θυμιᾶν εἴχετο καὶ τοῦ νῦν παρ' ἡμῖν λεγομένου ἐπιθύειν.

35

[κἄν τις τύχῃ πρῶτος παραβαλών, εἴληφε ποδάνιπτρα,]
ἐξιὼν δ' ἔτι κνέφους τὸ χειρόνιπτρον εἵλετό μοι.

Etymologic. Milleri (Mélanges 309) χειρόνιπτρα· τὸ κατὰ χειρὸς ὕδωρ κτλ. prior versus est Eupolidis 118, 1 quamvis corruptus; altero quid faciam nescio. cf. tamen quae adnotavimus ad Eupol. 168. Meinekius Herm. III 455 ἐξιὼν δ' ἔτι | κνέφους τὸ χ. εἵλετό μου ⏑ –.

36

ἄριστα χωλὸς οἰφεῖ.

Athenaeus 13, 568 e ὄντως γὰρ ἄριστα χωλὸς οἰφεῖς, τοῦ

κρηπιδοποιοῦ πατρὸς οὐ (σου Dobr.) πολλά σε σωφρονίσαντος. exitus est tetrametri iamb., ex antiqua comoedia excerptus.

37

γλῶττάν τέ σοι
δίδωσιν ἐν δήμῳ φορεῖν
καλῶν λόγων ἀείνων,
ᾗ πάντα νικήσεις λέγων.

Bekker. Anecd. 347, 7 ἀείνως γλῶττα καὶ ἀείνως φωνὴ καὶ ὀργὴ καὶ ἐπιθυμία, καὶ ἐπὶ τῶν ὁμοίων χρῶ κτλ. τὸ δὲ γλῶττα ἀείνως πάνυ καινῶς καὶ ἐναργῶς εἴρηται ἐπὶ τῆς δεινῆς εἰπεῖν. versus sic distinxit Mein. 4. νικήσεις Mein. et Fritzsch. Arist. Ran. p. 100] κινήσεις. cf. Arist. Nub. 432. Eq. 93. tetrametros iambicos (δίδωσιν | θησαυρὸν ἐν δ. — ἀείνων | κτλ.) constituit Naber. Mnem. nov. VIII 433. reprehendens grammatici adnotationem Cobetus N. l. 507 ἀείνων cum λόγων coniungi iubet. non credo: λόγων enim unde pendebit? ac si Homerus dixit τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή, non deterius alii dicere licuit ἡ γλῶσσα ἔρρει μέλιτος. Latini *cultrum cruore manantem, simulacrum multo sudore manans.* et Hom. Od. 9,222 ναῖον ὀρῷ ἄγγεα.

38

τῶν πολιτῶν ἄνδρας ὑμῖν δημιουργοὺς ἀποφανῶ.

Hephaestio 6 p. 37 Gaisf. Schol. p. 175 Gaisf. ἔτι μέντοι καὶ ἐν τοῖς καταληκτικοῖς καὶ ὁ τρίβραχυς ἐγχωρεῖ. . . οὐ μόνον ὁ τροχαῖος. παράδειγμα κτλ. ἄνδρες F, quod praefert Mein. δημιουργοὺς om. FHB. τῶν ποιητῶν, ὦνδρες, ὑμᾶς vel τῶν πολιτῶν, ὦνδρες, ἡμᾶς (i. e. τοὺς ποιητάς) Dobr. Adv. I 381. 'poetas esse qui optimos cives faciant demonstrabo'. ex epirrhemate aliquo.

39

οὐδ' Ἀμυνίαν ὁρᾶτε πτωχὸν ὄντ' ἐφ' ἡμῖν;

Hephaestio 6 p. 36 Gaisf. ὁμοίως δὲ καὶ τὸ τετράμετρον βραχυκατάληκτον ἐπίσημόν ἐστιν, οἷον κτλ. Ἀμυνίαν Mein.] Ἀμειψίαν. τὸ τοῦ Ἀμειψίου· οὐδ' Ἀμυνίαν Fritzsch. Quaest. Ar. 256. ὑμῖν CPS. Schol. Hephaest. p. 174 extr. πτωχὸν ὄνθ' ἕν' ἡμῶν. fortasse ὄντ' ἐν ἡμῖν. — cf. Mein. I 200. Arist. Vesp. 1267—74 Ἀμυνίας ὁ Σέλλου. . . ἐς Φάρσαλον ᾤχετ', εἶτ' ἐκεῖ μόνος μόνοις τοῖς πενέσταισι ξυνῆν. . αὐτὸς πενέστης ὢν ἔλαττον οὐδενός.

40

βουκολήσεις τὰ περὶ τὸν βοῦν.

Zenobius Milleri 4 (Mélanges 384) *βουκ. τὰ ἐπὶ τὸν βοῦν, ὡς ἐπὶ τὸ πλεῖστον οἱ ὀστρακιζόμενοι* (*ἐξοστρ.* vel *ἐξωστρακισμένοι* Mein.) *μεθίσταντο εἰς Αἴγιναν* (sic Miller. pro *Ἄργιναν*), *ἔνθα ἦν βοῦς χαλκῆ παμμεγέθης.* — *περὶ* Mein. Herm. III 457. *τὸν*] *τὴν* K. 'mox ostracismo in exsilium pulsus eris'. scaenam esse similem Arist. Eq. 284—302 monuit Meinekius. boves aeneas deis consecratas idem commemorat in arce, in Lemno insula (Soph. fr. 703 N.) et in ostio Bospori.

41

ἐξυβρίσας πειθαρχεῖν οὐκέτι τολμᾷ,
ἀλλὰ δάκνει τὴν Εὔβοιαν καὶ ταῖς νήσοις ἐπιπηδᾷ.

Plutarchus Pericl. 7 *ὑφ' ἧς* (*ἐλευθερίας*) *ὥσπερ ἵππον ἐξυβρίσαντα τὸν δῆμον οἱ κωμῳδιοποιοὶ λέγουσι πειθαρχεῖν οὐκέτι τολμᾶν, ἀλλὰ δάκνειν τὴν Εὔβοιαν καὶ ταῖς νήσοις ἐπιπηδᾶν.* 2. *δάκνει μὲν* G. Herm. *δακνάζει* Mein. cum Teleclid. 42. 44. 47 coniungit Bergk. R. c. Att. 330. 1. — 1. fortasse *ὥσπερ δ' ἵππος φάτνῃ ἐξυβρίσας κτλ.*, ut *εὐπραγίαις ἐξυβρίζειν* Thucyd. 1, 84.

42

Προῖτος . . .
Βελλεροφόντην, ὁ δὲ Πήγασος ἦν ἐξ Ἀρκαδίας ἐπίκουρος.

Origenes contra Cels. 310 Spencer. *παίζοντες οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ ἀνεγράψαντο Προῖτος ἔκτεινε* (al. *ἔγημε*) *κτλ. ἀλλ' ἐκεῖνοι μὲν γελωτοποιεῖν ἐθέλοντες ταῦτα συνέταττον.* indicavit et ita ut supra scripsimus disposuit Cobet. Mnem. VIII 419. 20, de *ἔκτεινε* tacens et v. 2 add. *ἐπίκουρος*, conl. Hermipp. 63, 18 *ἀνδράποδ' ἐκ Φρυγίας, ἀπὸ δ' Ἀρκαδίας ἐπικούρους.* neque *ἔκτεινε* neque *ἔγημε* scribi potuisse a poeta adparet. fortasse Origenes verbum magis apud vulgus usitatum (*ἔκτεινε*) posuerat pro *ἀνῄρει* vel simili. non consentio cum Leone Mus. Rhen. XXXIII 412. 13. *ἐξ Ἀρκ. ἐπίκουρος* proverbialiter dicitur: 'sine ullo commodo suo Bellerophontem adiuvit'.

comparat Origenes haec cum narratione Mosis de Cherube, ne ad vitae lignum via pateret ad paradisi custodiam adposito.

43

Celsus apud Origenem contra Cels. 329 Spencer. *εἴπερ ἐβούλετο ὁ θεός, ὥσπερ ὁ παρὰ τῷ κωμῳδῷ Ζεύς, ἐκ τοῦ μακροῦ ὕπνου*

διυπνίσας ῥύσασθαι τὸ τῶν ἀνθρώπων γένος ἐκ κακῶν. . .ἀλλ' ὁ μὲν κωμῳδὸς ἐν τῷ θεάτρῳ γελωτοποιῶν συνέγραψεν ὅτι Ζεὺς ἐξυπνισθεὶς Ἀθηναίοις καὶ Λακεδαιμονίοις τὸν Ἑρμῆν ἔπεμψε. quae verba 330 sic repetit: *ὁ μὲν οὖν κωμῳδὸς γελωτοποιῶν τὸν Δία κοιμώμενον πεποίηκε καὶ διυπνιζόμενον καὶ πέμποντα πρὸς τοὺς Ἕλληνας τὸν Ἑρμῆν.* indicavit Cobet. Mnem. VIII 419. 20. emendare possis: *ὁ Ζεὺς ἀφυπνισθεὶς | Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἐλεῶν Ἑρμῆν κατέπεμψεν.* sed magis credo Celsum *argumentum* comoediae antiquae, fortasse Aristophaneae, breviter adumbrasse quam singula verba ex ea excerpsisse. cf. Leo Mus. Rhen. XXXIII 413. 14. scilicet res Graecorum poeta finxerat magnopere perturbatas esse eo, quod Iuppiter paullisper obdormivisset. ad restituendam igitur Graeciae salutem Mercurium missum esse. nugatur Zielinskius Mus. Rhen. XXXVIIII 306 sq. temere haec cum Cratini *Pytine* conglutinans. ceterum cf. adesp. 815.

44

τὴν λαμπροτάτην πόλεων πασῶν ὁπόσας ὁ Ζεὺς ἀναφαίνει.

Athenaeus 1, 20b *προσέτι τε τὴν λαμπροτάτην — ἀναφαίνει, τὰς Ἀθήνας λέγω.*

45

ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμὸν βαστάζειν τὰς ἐπινοίας.

Zenobius 1, 66 *ἀλλ' οὐδὲν δεῖ παρὰ τὸν βωμόν σε βουλεύειν· ὅτι μὴ χρὴ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι, ἀλλὰ πρὸ τῶν πραγμάτων. παρόσον καὶ οἱ τὰ ἱερεῖα προσάγοντες πρὸ τοῦ καλλιερῆσαι βουλεύονται. βωμὸν βαστάζειν τὰς ἐπινοίας* C] *βωμὸν βαστάζειν* P (*βουλεύειν* mrg.). *βωμὸν τὰς ἐπινοίας* B. Diogenian. 2, 14 (Apostol. 2, 44) *ἀλλ' οὐδὲν δεῖ περὶ τὸν βωμὸν τὰς ἐπινοίας.* Gregor. Cypr. Mosq. 4, 53 *οὐ παρὰ βωμὸν δεῖ τὰς ἐπινοίας.* — ex parabasi versus excerptus est.

46

ἐπικαττύειν καὶ πτερνίζειν

τὰ παλαιὰ ἐπισκευάζειν. ἡ μεταφορὰ ἀπὸ τῶν τοῖς παλαιοῖς ὑποδήμασιν ἕτερα καττύματα καὶ πτέρνας προσαπτόντων. λέγουσι δὲ ἐπὶ τῶν τὰ παλαιὰ τῶν δραμάτων μεταποιούντων καὶ μεταρραπτόντων. Bekker. Anecd. 39, 19. vituperatio aemuli poetae ex parabasi aliqua excerpta.

47

ὦ μόνοι ὦτοι τῶν Ἑλλήνων

Eustathius 1522, 56 *καὶ ὦτοι οἱ αὐτοὶ (οἱ εὐήθεις) ἀπὸ*

ὀρνέου μιμηλοῦ καὶ εὐεξαπατήτου, ὡς ἀλλαχοῦ σαφῶς δηλοῦται. διὸ καὶ ἡ κωμῳδία σκώπτουσα τοὺς Ἀθηναίους ὦ μόνοι ὦτοι τῶν Ἑλλήνων, ἔφη, λοιδοροῦσα ἐκείνους ὡς ῥᾷον ἀπατωμένους οἷς ἀκούουσι. Athenaeus 9, 390. 1 ἀνθρωποειδὴς δέ ἐστιν (ὁ ὦτος) τὴν μορφήν, καὶ πάντων μιμητὴς ὅσα ἂν ἄνθρωπος ποιῇ, διόπερ καὶ τοὺς ἐξαπατωμένους ῥᾳδίως ἐκ τοῦ τυχόντος οἱ κωμικοὶ ὤτους καλοῦσιν. Aelius Dionysius Eustath. 561, 8 τοὺς χαύνους καὶ κενοδόξους ὤτους ἐκάλουν. Eustathius 1687, 60 οἱ ῥᾷον ὑπὸ τοῦ τυχόντος ἐξαπατώμενοι ὦτοι ἐλέγοντο. προσφυέστερον δ' ἂν ὦτοι καλοῖντο οἱ ἐκ μόνης ἀκοῆς ἀπεριέργως καὶ ἀνεξετάστως ἀπάτην πάσχοντες. quae originatio fortasse ipsa quoque ex comoedia aliqua fluxit. verba supra exscripta ex initio parabasis sumpta sunt.

48

Ἀνδροκλέα τὸν ἀπ' αἰγείρων

Hesychius ἀπ' αἰγείρων· κτλ. ἀντὶ τοῦ συκοφάντην, ἐπειδὴ ἐκ τῆς ἐν τῇ ἀγορᾷ αἰγείρου τὰ πινάκια ἐξῆπτον, τουτέστιν ἐξήρτων οἱ ἔσχατοι. Cratino tribuit Bergk. R. c. Att. 261, de eis qui propter paupertatem extremos in theatro cuneos occupabant sermonem esse ratus. at ea interpretatio ad sola verba οἱ ἔσχατοι pertinet: prioribus *Androcles* ab Hesychio ut *calumniator* recte significari videtur. fort. idem qui Ecphant. 4. Cratin. 208. 263 inridetur. cf. adesp. 51. verba ex parabasi exscripta.

49

(ὅταν) ἀστράψῃ διὰ Πυκνός

ἀντὶ τοῦ δι' Ἅρματος. Hesych. ἀστράψῃ. ὅταν add. Mein. idem ἀστραπὴ δι' Ἅρματος· Ἀθηναῖοι, ὁπότε δι' Ἅρματος αὐτοῖς ἀστράψειεν, ἔπεμπον εἰς δύο θεοὺς τοὺς λεγομένους Πυθιαστάς. Eustath. 266, 39 ἔστι τῆς Ἀττικῆς τόπος ἐν Πάρνηθι Ἅρμα καλούμενος, κείμενος περὶ . . . Φυλήν. τὸ δὲ παροιμιῶδες, ὁπόταν ἀστράψῃ δι' Ἅρματος (H. Iacobi V cccxxxviii). cf. Bursian. Geogr. gr. I 252. Unger Theb. Parad. 409 sq. dubitari vix potest quin Pericles significetur (cf. adesp. 10), qui ut Iuppiter δι' Ἅρματος in contione fulguret. Arist. Ach. 531 ἤστραπτ', ἐβρόντα. tetrametri anapaestici exitum esse dicit Meinekius, in eo metri genere paenultimam produci posse censens.

50

παρὰ κωφὸν (ἔοικ') ἀποπαρδεῖν.

παροιμία· ἐπὶ ἀναισθήτων. Photius 385, 14. ἀποπαρδεῖν Cobet.] ἀποπέρδειν. ἔοικ' add. K. ut sit tetr. anap. exitus. quamquam παρὰ κ. ἀποπ. etiam trimetri pars esse poterat. Hesych. παρὰ

κωφὸν ἀποπαρδεῖν· ἡ παροιμία. πρόδηλος δὲ αὐτῆς ἡ αἰτία. (οὐ γὰρ ἀκούει ὁ κωφός add. Suidas.) Diogenian. 7, 43 παρὰ κωφῷ ἀποπέρδειν. Plut. Boissonad. Anecd. I 396 πρὸς κωφοῖς ἀποπέρδει[ς]. scilicet usitatum proverbium παρὰ κωφὸν (ῷ) διαλέγει Greg. Cypr. 3, 32 comicus aliquis in obscaenum transtulit.

51. 52

ἐν δὲ διχοστασίῃσι καὶ Ἀνδροκλέης πολεμαρχεῖ.
ἐν γὰρ ἀμηχανίῃ καὶ ὁ Καρκίνος ἔμμορε τιμῆς.

Zenobius 3, 77 ἐν δὲ — πολεμαρχεῖ· ἐπὶ τῶν εὐτελῶν τῶν διὰ περιπέτειάν τινα τιμῆς ἀξιουμένων. τοιαύτη δέ ἐστι καὶ ἡ λέγουσα· ἐν γὰρ — τιμῆς. ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τιμῆς. Plutarch. Nic. 11 ἐν δὲ διχοστασίῃ καὶ ὁ πάγκακος ἔμμορε τ. (ἔλαχε V). Alexand. 53 (ἔλλαχε). Comp. Lys. Sull. 1 ((ἔλλαχε). 1. διχοστασίῃσι Macar. Walz. Arsen. p. 229] διχοστασίῃ. κἂν — πολεμαρχοῖ Mein. 2. hunc quoque versum comico recte tribuit Bergk. P. l.[2] II 1044.

53

εὐφράνας ὑμᾶς ἀπέπεμπ᾽ οἴκαδ᾽ ἄλλον ἄλλοσε.

Hephaestio 16 p. 109 Gaisf. (τὸ Εὐπολίδειον μέτρον) ἐνίοτε καὶ ἀντισπαστικὸν καθαρὸν ποιοῦσιν, οἷον κτλ. ὑμᾶς ἀπέπεμπ᾽ Mein.] ἡμᾶς ἀπόπεμπ᾽. manifesto ex parabasi comoediae antiquae. de se loquitur poeta. praecesserat sententia talis fere ὁπότε γὰρ χορὸν λάβοι, εὐφρ. κτλ. — ceterum de errore Hephaestionis cf. G. Herm. El. d. m. 578. Fritzsch. De v. Eupol. 8. Fragm. v. Eup. 10. 11.

54

εἰς τὴν ὀρχήστραν· ἔτι γὰρ τὴν θέαν ᾤκειτ᾽ ἐκεῖ.

Photius 351, 16 ὀρχήστρα· πρῶτον ἐκλήθη ἐν τῇ ἀγορᾷ, εἶτα καὶ τοῦ θεάτρου τὸ κάτω ἡμίκυκλον, οὗ καὶ οἱ χοροὶ ᾖδον καὶ ὠρχοῦντο· εἰς — ἐκεῖ, φησὶν ὁ κωμικός. ᾠκεῖτ᾽ Dobr. — Eupolideum esse versum intellexit Fritzschius Fragm. v. Eupol. 22. nihil agunt qui τὴν θέαν οἰκεῖν interpretari conantur. scribendum est ἐπὶ γὰρ τὴν θέαν ὠθεῖσθ᾽ ἐκεῖ, *ad spectandum profuse tenditis*. Plat. Euthyd. 294 d (οἱ κάπροι) πρὸς τὴν πληγὴν ὠθούμενοι. Plut. Mor. 794 d ἐκεῖ χρὴ . . . ὠθεῖσθαι δρόμῳ. Maxim. Tyr. 2 p. 6 ὠθεῖσθαι δρόμῳ ἐπ᾽ αὐτόν.

55

(ὡς) παχυσκελὴς ἀλετρὶς πρὸς μύλην κινουμένη

Plutarchus Mor. 1101 f ἐν πομπαῖς καὶ θυσίαις οὐ μόνον γέρων

καὶ γρῆυς, οὐδὲ πένης καὶ ἰδιώτης, ἀλλὰ καὶ παχυσκ. κτλ. καὶ οἰκότριβες καὶ θῆτες ὑπὸ γήθους ἀναφέρονται (exhilarantur). versum esse intellexit Musgravius Eurip. Iph. T. 198, Eupolideum Bergkius Mein. II 965, ὡς add. Fritzsch. Fr. v. Eup. 18 '*uti molitrix quae inter molendum saltat.*' — cf. Aristoph. fr. 63.

56

θερμολουσίαις ἁπαλοί, μαλθακευνίαις ἁβροί

Bekker. Anecd. 4 init. et 415, 27. Suidas *ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις· ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαρρεόντων. (ἁβρὸν δὲ σημαίνει τὸ τρυφερόν* add. Bekk. 4.) Gregor. Cypr. (post 1, 86 Mosq. p. 101 Leutsch.) Apostol. 3, 35. Append. prov. 1, 34 *ἁπαλοὶ θερμολουσίαις· ἀντὶ τοῦ τρυφηλοὶ καὶ τὴν σάρκα διαρρέοντες.* transposuerunt, ut versus esset Eupolideus, Bergk. R. c. Att. 283 et Meinekius. *θερμολουσίαισιν* (tetr. troch.) Bothius. Plut. Mor. 789 e f *θερμολουτοῦσι καὶ καθεύδουσι μαλακώτερον.*

57

θυμελικὰν ἴθι μάκαρ φιλοφρόνως εἰς ἔριν.

Hephaestio 13 p. 75 Gaisf. *συντιθέασι δὲ καὶ ἑτέρῳ τρόπῳ τὸ (παιωνικὸν) τετράμετρον, ὥστε τρεῖς εἶναι τοὺς καλουμένους τετάρτους παίωνας, εἶτα τελευταῖον τὸν κρητικόν κτλ. θεμελιακάν* C. Schol. cod. S *ἐκ τῶν καλουμένων Δελφικῶν ἔστιν ἡ προκειμένη χρῆσις, μὴ ἐχόντων τὸ ὄνομα τοῦ ποιητοῦ.* 'his versibus chorus tragicum compellasse videtur de poesis principatu cum aemulis certantem'. Mein. Phrynichum significari posse monens.

58

Harpocration 86, 12 *ὅτι ἐκαλοῦντό τινες καὶ Ἱππάρχειοι Ἑρμαῖ ἀπὸ Ἱππάρχου τοῦ Πεισιστράτου, εἴρηται ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ.* Schol. Demosth. 20, 112 *Ἑρμαῖ Ἱππάρχειοι ἀπὸ Ἱππάρχου τοῦ Πεισιστράτου.* res ipsa notissima.

59

Plutarchus Pericl. 13 *οἱ κωμικοὶ πολλὴν ἀσέλγειαν αὐτοῦ (Περικλέους) κατεσκέδασαν, εἴς τε τὴν Μενίππου γυναῖκα διαβάλλοντες, ἀνδρὸς φίλου καὶ ὑποστρατηγοῦντος, εἴς τε τὰς Πυριλάμπους ὀρνιθοτροφίας, ὃς ἑταῖρος ὢν Περικλέους αἰτίαν εἶχε ταῶνας ὑφιέναι ταῖς γυναιξὶν αἷς ὁ Περικλῆς ἐπλησίαζε.* fortasse idem *Menippus* Arist. Av. 1293. Plut. Mor. 812 d *Περικλῆς Μενίππῳ ἐχρῆτο πρὸς τὰς στρατηγίας.* de *Pyrilampe,* Demi patre, cf. Arist. Vesp. 98. Eupol. 213.

60

Plutarchus Pericl. 16 init. *τὴν δύναμιν αὐτοῦ . . . κακοήθως παρεμφαίνουσιν οἱ κωμικοί, Πεισιστρατίδας μὲν νέους τοὺς περὶ αὐτὸν ἑταίρους καλοῦντες, αὐτὸν δ' ἀπομόσαι μὴ τυραννήσειν κελεύοντες, ὡς ἀσυμμέτρου πρὸς δημοκρατίαν καὶ βαρυτέρας* (*τῆς*) *περὶ αὐτὸν οὔσης ὑπεροχῆς.*

61

βυρσόκαππον

τὸν Κλέωνα. Hesychius. *βυρσοκνάφον* Hemsterhusius et Ruhnkenius, *βυρσόπαππον* Pearson, *βυρσοκάπηλον* Dobraeus Advers. I 581.

62

προβατοκάπηλος

προβατοπώλης. ἐλέγετο δὲ Λυσικλῆς. Photius. cf. Arist. Eq. 132. 8. Schol. Eq. 762 *Λυσικλῆς ὡς προβατοκάπηλος διεβέβλητο.* cf. Plut. Per. 24. ex comoedia fluxit.

63

Plutarchus Pericl. 24 *ἐν ταῖς κωμῳδίαις Ὀμφάλη τε νέα καὶ Δηιάνειρα* (*ἡ Ἀσπασία*) ... *προσαγορεύεται.* cf. Cratin. 241.

64

Athenaeus 10, 415 d *οἱ κωμῳδιοποιοὶ Κλεώνυμον καὶ Πείσανδρον* (*εἰς πολυφαγίαν διαβεβλήκασιν*). de Cleonymo nota res erat. *Pisander*, sive idem fuit quem Aristophanes (Pac. 395. Av. 1556. Lys. 490) et Eupolis (31) inrident sive alius, hic tantum modo propter voracitatem commemoratur.

65

Plutarchus Mor. 1142 b *καὶ ἄλλοι κωμῳδιοποιοὶ* (praeter Pherecratem et Aristophanem) *ἔδειξαν τὴν ἀτοπίαν τῶν μετὰ ταῦτα τὴν μουσικὴν κατακεκερματικότων.*

66

Philostratus Vit. sophist. 1, 15, 2 *καθάπτεται ἡ κωμῳδία τοῦ Ἀντιφῶντος* (*τοῦ Ῥαμνουσίου*) *ὡς δεινοῦ τὰ δικανικὰ καὶ λόγους κατὰ τοῦ δικαίου ξυγκειμένους ἀποδιδομένου πολλῶν χρημάτων αὐτοῖς μάλιστα τοῖς κινδυνεύουσιν...οὐκ ἀπεικὸς ἦν γενέσθαι καὶ τὸν Ἀντιφῶντα κωμῳδίας λόγον αὐτὰ μάλιστα κωμῳδούσης τὰ λόγου ἄξια.* commemoratur *Antiphon* Arist. Vesp. 1270. 1301 (si is est Rhamnusius. cf. quae adnotantur ad Cratin. 201).

Plat. com. 103. eorum quae Philostratus narrat hodie nullum apud comicos vestigium.

67

Schol. Arist. Av. 281 *Φιλοκλῆς τραγῳδίας ποιητὴς καὶ Φιλοπείθους υἱὸς ἐξ Αἰσχύλου ἀδελφῆς. ὅσοι δὲ* *Ἁλμίωνος* *αὐτόν φασιν, ἐπιθετικῶς λέγουσι διὰ τὸ πικρὸν εἶναι. ἅλμη γὰρ ἡ πικρία.* ad comoediam haec referenda esse vidit Herwerden. Nov. add. crit. 47.

68

Plutarch. Aristid. 5 (*τῷ Καλλίᾳ*) *τις τῶν βαρβάρων . . . ἔδειξε πολὺ χρυσίον ἐν λάκκῳ τινὶ κατορωρυγμένον. ὁ δὲ Καλλίας τὸν μὲν χρυσὸν ἀνείλετο, τὸν δ' ἄνθρωπον ἀπέκτεινεν. ἐκ τούτου φασὶ καὶ λακκοπλούτους ὑπὸ τῶν κωμικῶν τοὺς ἀπὸ τῆς οἰκίας* (*αὐτοῦ*) *λέγεσθαι.* Hesych. *λακκόπλουτος· ὁ Καλλίας ὑπὸ τῶν κωμικῶν διὰ τὸ περιτυχεῖν χρυσῷ εἰς φρέαρ βεβλημένῳ.* Apostol. 10, 43 *λακκόπλουτος εἶ κατὰ τὸν Καλλίαν.* fortasse *ὡς λ. εἶ σὺ κατὰ τ. Κ.*

69

Hesychius *Δημοκαλλίας· τοὺς περὶ τὰ δημόσια ἀναστρέφοντας. Δημοκαλλίας*, i. e. *δημοπιθήκους* Mein.] *δημοκαλλίκας* cod. *δημοκόλακας* Is. Voss. *δημοπιθήκους* dixit Arist. Ran. 1085. Suidas *Καλλίας. . .καὶ Καλλίου· πιθήκου. τὸν πίθηκον Καλλίαν προσηγόρευσαν.* eadem Append. prov. 3, 40. Dinarch. fr. VI 2 *οἱ τοὺς Καλλίας ἐν τοῖς οἴκοις τρέφοντες* (*τουτέστι πιθήκους* Suid.).

70

Λαισποδίας

ὄνομα κύριον. ἔνιοι δὲ τὸν *Ἀλκμέωνα* *ᾠήθησαν λέγεσθαι, οἱ δὲ τὸν δρεπανώδεις πόδας ἔχοντα.* Hesychius. *Laespodias* iste cruribus distortis insignis passim a comicis inridetur. hic tamen *Alcmeon* Laespodiae cognomine notatus significatur (cf. Apollod. com. 13, 16), quem eundem esse cum adversario Themistoclis censet Meinekius conl. Plut. Mor. 805c. sed fuerunt plures illis temporibus Alcmeones.

71

Δημοκλεῖδαι

οἱ ξένοι καὶ μοιχοί, ἀπὸ Δημοκλείδου τοιούτου ὄντος. καθάπερ καὶ τοὺς ἡταιρηκότας Τιμάρχους ἔλεγον, τοὺς δὲ πονηροὺς Εὐρυβάτους, Κιλλίκωνας δὲ τοὺς προδότας. Hesychius. Suidas *Δημοκλείδας· ξένους καὶ μοιχούς. τοιοῦτος ὁ Δημοκλῆς. Κιλλίκωνας* etiam Suidas. *Κιλλικῶντας* Mein. sed illam formam probam esse contendit H. Iacobi

V cccxxxviii. *Ἀπελλικῶντος* semper Strabo. de *Democlide* vel *Democle* nihil aliunde compertum.

72

Μενωνίδαι

Hesychius, *τῶν εὐσήμων, ἐκ Μενωνιδῶν. τινὲς δέ φασι τὸν Μένωνα ἐξωστρακίσθαι. εὐσήμων* Mein.] *εὐφήμων. Μενωνιδῶν* Mein.] *Μένωνος ἰδίων.* 'verba *ἐκ Μενωνιδῶν* poetae esse videntur, cuius locum interpretatur glossographus verbis *Μενωνίδαι τῶν εὐσήμων, Menonidae inlustribus gentibus adnumerandi.*' Mein. *εὐήθων* Bergk. Comment. crit. II viii, qui *Menonem* artificem, Phidiae accusatorem, significari censet.

73

Κήπιδος σκέλος

παροιμιῶδες ἦν κατὰ τὸ Πέρδικος σκέλος. Hesychius. *Cepis* Adimanti pater est Plat. Protag. 315e.

74

Δούλωνα

τὸν μουσικὸν Φιλόξενον, ἐπειδὴ δοῦλος ἐγεγόνει ὁ Φιλόξενος. ἦν δὲ τὸ γένος Κυθήριος. Hesychius. cf. Lobeck. Soph. Ai. p. 167. comoediae adscripsit Mein., atque antiquae magis convenire videtur quam novae. servum adpellabant, quia apud Dionysium tyrannum degebat. aliam causam indicat Suidas *Φιλόξενος . . . ἀνδραποδισθέντων τῶν Κυθήρων ὑπὸ Λακεδαιμονίων* (*Ἀθηναίων* Mein.) *ἠγοράσθη ὑπὸ Ἀγεσύλου τινὸς καὶ ὑπ' αὐτοῦ ἐτράφη.* quae ad Ol. 88, 4 Meinekius, ad Ol. 90 referebat Reinesius. cf. Aristoph. fr. 641. 725. Antiphan. 209.

75

Δρυαχαρνεῦ

δρύινε Ἀχαρνεῦ ἀναίσθητε. ἐκωμῳδοῦντο γὰρ οἱ Ἀχαρνεῖς ὡς ἄγριοι καὶ σκληροί. Etymolog. m. 288, 17 et Suidas (ubi perperam *Δραχαρνεῦ*). similiter Hesychius (*δοκοῦσι γὰρ οἱ Ἀχαρνεῖς σκληροὶ τὴν γνώμην εἶναι καὶ ἄτεγκτοι*). cf. Zonar. 569.

76

Hesychius *Κλαζομένιοι· οὕτω* (*οὗτοι* Mein.) *κωμῳδοῦνται. δοκοῦσι γὰρ ἐπικύπτοντες προστιλᾶν.* et *Κλαζομένιος· οὗτος Ἡρακλείδης ὁ Κλαζομένιός τε καὶ ὁ βαῦς* (*βαῦς* Mein.) *καλούμενος.* Plato Ion. 541d *Φανοσθένη τὸν Ἄνδριον καὶ Ἡρακλείδην τὸν Κλαζο-*

μένιον, οὓς ἥδε ἡ πόλις ξένους ὄντας ἐνδειξαμένους ὅτι ἄξιοι λόγου εἰσὶ καὶ εἰς στρατηγίας καὶ εἰς τὰς ἄλλας ἀρχὰς ἄγει. cf. Athen. 11, 506a. Aelian. V. h. 14, 5. '*βαῦς*, i. e. *κύων*.' Bergk. P. l.² p. 1048. *βαῦς* quid sit nescire se fatetur Lobeck. Paralip. 91. *ἐπικύπτοντες προστιλῶσιν* ipsius poetae verba esse arbitratur Mein., cui *οὗτος* '*Ηρ.* simul indicium videtur hanc glossam ex scholiis veteris comici derivatam fuisse.

77

Διὶ Συκασίῳ

παραπεποίηται παρὰ τὸ συκοφαντεῖν. Hesychius. Eustathius 1572, 57 *λέγεται καὶ ὁ Συκάσιος Ζεὺς παρὰ τοῖς παλαιοῖς, ὁ καθάρσιος· τῇ γὰρ συκῇ ἐχρῶντο ἐν καθαρμοῖς.* et ipse Hesych. *Συκάσιος Ζεύς· ὁ καθάρσιος. τῇ γὰρ συκῇ ἐχρῶντο ἐν καθαρσίοις.* cf. Lobeck. Aglaoph. 703 n. g. — sine dubio poeta utraque significatione confusa comice luserat, veluti *Διὶ Συκασίῳ* (*γὰρ εὔχεται θεῶν μόνῳ*). cf. Cratin. 69.

78

λωπιστὸς ὁ Παλαμήδης

ἐκ τῆς τῶν ἱματίων ἐπιρρίψεως. Hesychius. 'ridet opinor histrionem qui Palamedem *λώπει* indutus inscite egerat.' Mein. cuius opinionis periculum non suscipio. — *ἐπιρράψεως* idem, sed retractavit sententiam V 120.

79

περισχαδόν

τὸν ὑποκρινόμενον τὸν Περσέα ὡς πτωχὸν καὶ φησίμορφον. ψιάθιον, ἐν ᾧ περιειλοῦσι τὰς ἰσχάδας. Hesychius. 'apertum est risisse poetam histrionis, qui Persei partes actitaverat, paupertatem et macilentiam. legendum *φθισίμορφον.* sed *περισχαδόν* expedire non licuit.' Mein. cf. Nauck. Tr. gr. fr. p. 313.

80

αἰτῶμαι

αἰτιῶμαι Hesychius. 'suspectum' M. Schmidt. minime. notatur Hyperbolus vel nescio quis eodem modo Atticum sermonem pervertens. cf. Plat. com. 168.

81

ἀναστῦψαι

Pollux 2, 176 *τὸ ἀνασπάσαι τὸ αἰδοῖον παρὰ τοῖς ἀρχαίοις κωμικοῖς ἀναστ. καλεῖται.*

82

ἀποπαρδακᾷ

Hesychius *τοῦτο εἴρηται παρὰ τὸ ἀποπαρδεῖν. ἀποπάρδακα* (ab *ἀποπάρδαξ*) Mein.

83

ἀποφύλιον

Pollux 3, 56 *τὸν δὲ τοιοῦτον (τὸν παρεγγεγραμμένον πολίτην) καὶ ὑπόξυλον ὠνόμαζον οἱ νέοι κωμικοί. καὶ ὑπόχυτον δὲ οἱ παλαιότεροι τὸν κακῶς γεγονότα, καὶ παρημπολημένον, ὡς ἀποφύλιον τὸν φυλὴν μὴ ἔχοντα.*

84

ἀρχολίπαρος, ἀρχογλυπτάδης

Eustathius 211 init. *παρὰ τοῖς παλαιοῖς ῥήτορσι καὶ ἀρχολίπαρος ὁ λιπαρῶν, φασίν, ἵνα ἀρχῆς τύχῃ...ὁ καὶ ἀρχογλυπτάδης, ἤγουν ὡσπερεὶ γλύφων τὰς ἀρχάς.* Etym. m. 151, 35 *ἀρχογλυπτάδης ὁ ὡσπερεὶ γλύφων τὰς ἀρχάς.* cf. Arist. Ach. 595 sq. Lobeck. Soph. Ai. 880.

85

βλεπεδαίμων

Pollux 1, 21 *κωμικὸν ὁ βλεπεδαίμων.* Eustathius 206, 27 *ὁ διεστραμμένος τὰς ὄψεις καὶ οἷον ὑπὸ δαίμονος πεπληγώς. Παυσανίας δὲ προστίθησι καὶ ὅτι τοὺς Σωκρατικοὺς οὕτως ἔλεγον.* Hesych. *βλεπεδαίμων· ὁ ὑπὸ νόσου κατεσκληκὼς καὶ κακόχρους ὑπὸ δαιμόνων.* cf. Lobeck. Phryn. 768. *larvae similis.*

86

γλωττοκηλοκόμπης

Eustathius 1689, 41 *ἐκ τοῦ κηλεῖν καὶ γλωσσοκηλόμπης* (sic) *κωμικώτερον παρὰ τοῖς παλαιοῖς ὁ γλώσσῃ κηλῶν καὶ κόμποις. γλωσσοκηλοκόμπης* Nauck. Philol. VI 425. nomen compositum antiquae comoediae.

87

διαπερδικίσαι

Hesychius et Etym. m. 269, 37 *διαλινῆσαι καὶ διαφυγεῖν. διαλινῆσαι, callide per laqueos effugere,* Mein.] *διαλαλῆσαι. διολισθῆσαι* Hemsterh. *ἐκπερδικίσαι* est Arist. Av. 768, ubi cf. quae adnotavimus. ac *διεκπερδικίζειν* commemorat Suidas. est fortasse hoc quoque Aristophanis.

88

δορυφορήματα

καλεῖται παρὰ τοῖς παλαιοῖς κωμικοῖς τὰ κωφὰ πρόσωπα· ἃ συνεξέρχεται μὲν τοῖς κωμῳδοῦσιν, αὐτὰ δὲ οὐδὲν διαλέγεται. Bachmann. Anecd. II 329, 7. Plut. Mor. 791e *ὁ δέ, ὥσπερ ἐπὶ σκηνῆς δορυφόρημα, ἦν ὄνομα βασιλέως καὶ πρόσωπον.* ac sic etiam alibi. cf. Lucian. De conscr. hist. 4. Icarom. 9. Nigrin. 24. De paras. 59. Dial. mort. 6, 3.

89

ἐγκυσίχωλος

παρὰ τὸν κῦσον, ὁ ἀπὸ τοῦ κύσου χωλὸς καὶ ἀπὸ τῆς κοτύλης. κῦσον γὰρ εἰώθασιν οἱ κωμικοὶ καὶ τὸν πρωκτὸν καλεῖν, περὶ ὃν ἡ κοτύλη. Etymologic. m. 311, 44. Photius (Nauck. Philol. VI 424) *κυσ[ιν]όχωλος καὶ ἐγκυσ[ιν]όχωλος· ὁ ἀπὸ τοῦ κατὰ τὸν κῦσον τόπου χωλός.* Hesychius *ἐγκυσίχωλος· ἄνωθεν ἀπὸ τοῦ κύσου χωλός.*

90

ἐνόρχην λαόν

Hesychius *τὸν ἐπὶ ἥβης.* indic. Nauck. fortasse *λεών.* nam quomodo versui insertum fuerit ignoratur. cf. Arist. Lys. 661.

91

εὐπραξίαν

οἱ παλαιοὶ κωμικοὶ διὰ τοῦ ξ. Θουκυδίδης δὲ διὰ τοῦ γ̄. Photius. cf. Philem. 163. Lobeck. Soph. Ai. 759.

92

θεάτρια

καὶ συνθεάτρια, ὡς ἡ παλαιὰ κωμῳδία. Pollux 2, 56. cf. Aristoph. fr. 472.

93

κοννόφροσιν

ἄφροσιν. Hesychius. 'quod si non ex Amipsiae *Conno,* certe ex comico poeta' antiquae opinor comoediae 'petitum est'. Mein. I 202 n. 21. — *κενεόφροσιν* G. Dindf. in Thesauro. quod non necessarium. ad Theognidem certe (233. 847) vel [Pindarum] Nem. 11, 39 (29) glossa non pertinet.

94

ὀνοστύππαξ

[*ὀνοστύπτα.*] *διὰ μὲν τοῦ ὄνου τὸν μυλῶνα ὀνειδίζων, διὰ δὲ*

τοῦ στύππακος, ὅτι στυππειοπώλης ἦν. Hesychius. Schol. Arist. Eq. 254 *σκώπτει τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερώτερόν φησι 'καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες στύπαξ.'* et 129 (*Εὐκράτης*) *στύππαξ ἐκαλεῖτο διὰ τὸ στυππειοπώλης εἶναι.* cf. Aristoph. fr. 696. dubitari non potest quin apud Hesychium quoque *Eucrates* significetur.

95

πανδαισία

Harpocration . . *ἔστι μὲν τοὔνομα πολλάκις καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. πανδαισία δέ ἐστι τὸ πάντα ἔχειν ἄφθονα καὶ μηδὲν ἐλλείπειν ἐν τῇ δαιτί.* Apostol. 3, 40 *Ἀπίδων πανδαισία*, i. e. convivia in Aegypto Apide reperto celebrata. ad comoediamne pertineant nescio.

96

παρημπολημένον

Pollux 3, 56. cf. 83. *γάμους παρεμπολᾶν* est Eurip. Med. 910.

97

πορνότριψ

Thomas Mag. 291, 15 R. *πορνοκόπος Μένανδρος λέγει* (1057), *οἱ δ' ἀρχαῖοι πορνότριψ.* ubi *οἱ ἀρχαῖοι* sunt poetae comoediae antiquae. *πορνότριψ* est etiam Bekker. Anecd. 12, 1.

98

σκηνοποιούς

τοὺς μηχανοποιοὺς ἡ παλαιὰ κωμῳδία ὠνόμαζεν. Pollux 7, 189. *σκηνικοὺς οἱ παλαιοὶ ὠνόμασαν* C.

99

τυραννοδαίμονα

ἣν οὐκ ἄν τις τύραννον μόνον εἴποι, ἀλλὰ καὶ δαίμονα. Hesychius. 'Aspasiam dicere videtur.' Mein. cf. Cratin. 241. Eupol. 274.

100

ὑπόχυτον

Pollux 3, 56. cf. 83. metaphora a vino petita. cf. Phryn. 65.

101

φειδός

Eustathius 537, 39 *παρὰ τὸ δέον ἀνελεύθερος, καὶ κατὰ πα-*

λαιὰν κωμῳδίαν εἰπεῖν φειδός, ἤγουν φειδωλὸς δαπάνης. et 1828, 12 *φειδός, ἤγουν φειδωλός.*

102

φόρτακας

ἡ παλαιὰ κωμῳδία τοὺς ἀχθοφοροῦντας ἐκ τοῦ ἐμπορίου καλεῖ. Pollux 7, 132.

ΤΗΣ ΝΕΑΣ ΚΩΜΩΙΔΙΑΣ

103

Numenius Euseb. Praep. evang. 14, 7 (1) *περὶ Λακύδου βούλομαί τι διηγήσασθαι ἡδύ. ἦν μὲν δὴ Λακύδης ὑπογλισχρότερος καί τινα τρόπον ὁ λεγόμενος οἰκονομικὸς οὗτος, ὁ εὐδοκιμῶν παρὰ τοῖς πολλοῖς, αὐτὸς μὲν ἀνοιγνὺς τὸ ταμιεῖον, αὐτὸς δ' ἀποκλείων. καὶ προῃρεῖτο δὲ ὧν ἐδεῖτο καὶ ἄλλα τοιαῦτα ἐποίει πάντα δι' αὐτουργίας, οὔ τί που αὐτάρκειαν ἐπαινῶν, οὐδ' ἄλλως πενίᾳ χρώμενος, οὐδ' ἀπορίᾳ δούλων, ᾧ γε ὑπῆρχον δοῦλοι ὁπόσοι γοῦν· τὴν δὲ* α ἰ τ ί α ν ἔ ξ ε σ τ ι ν ε ἰ κ ά ζ ε ι ν. (2) *ἐγὼ δὲ ὃ ὑπεσχόμην τὸ ἡδὺ διηγήσομαι.* τ α μ ι ε ύ ω ν *γὰρ αὐτὸς ἑαυτῷ* τ ὴ ν μ ὲ ν κ λ ε ῖ δ α π ε ρ ι φ έ ρ ε ι ν *ἐφ' ἑαυτοῦ οὐκ ᾤετο δεῖν, ἀποκλείσας δὲ* κ α τ ε τ ί θ ε ι μ ὲ ν *ταύτην* ε ἴ ς τ ι κ ο ῖ λ ο ν γ ρ α μ μ α τ ε ῖ ο ν· *σημηνάμενος δὲ δακτυλίῳ τὸν μὲν δακτύλιον κατεκύλιε διὰ τοῦ κλείθρου ἔσω εἰς τὸν οἶκον μεθιείς, ὥσθ' (ὡς) ὕστερον, ἐπειδὴ πάλιν ἐλθὼν ἀνοίξειε τῇ κλειδί, δυνησόμενος ἀνελὼν τὸν δακτύλιον αὖθις μὲν ἀποκλείειν, εἶτα δὲ σημαίνεσθαι, εἶτα δ' ἀναβάλλειν ὀπίσω πάλιν ἔσω τὸν δακτύλιον διὰ τοῦ κλείθρου.* (3) *τοῦτο οὖν τὸ σοφὸν οἱ δοῦλοι κατανοήσαντες, ἐπειδὴ προΐοι Λακύδης εἰς περίπατον ἢ ὅποι ἄλλοσε, καὶ αὐτοὶ ἀνοίξαντες ἂν κἄπειτα, ὡς σφίσιν ἦν θυμός,* τ ὰ μ ὲ ν φ α γ ό ν τ ε ς τ ὰ δ' ἐ μ π ι ό ν τ ε ς *(δὲ πιόντες),* ἄ λ λ α δ ὲ *ἀράμενοι ἐκ περιόδου ταῦτα ἐποίουν· ἀπέκλειον μέν, ἐσημαίνοντο δὲ καὶ τὸν δακτύλιον πολλά γε αὐτοῦ καταγελάσαντες εἰς τὸν οἶκον διὰ τοῦ κλείθρου ἠφίεσαν.* (4) *ὁ οὖν Λακύδης πλήρη μὲν καταλιπών, κενὰ δὲ εὑρισκόμενος τὰ σκεύη, ἀπορῶν τῷ γιγνομένῳ, ἐπειδὴ ἤκουσε φιλοσοφεῖσθαι παρὰ τῷ Ἀρκεσιλάῳ τὴν ἀκαταληψίαν, ᾤετο τοῦτο ἐκεῖνο αὐτῷ συμβαίνειν περὶ τὸ ταμιεῖον. ἀρξάμενός τε ἔνθεν ἐφιλοσόφει παρὰ τῷ Ἀρκεσιλάῳ, μηδὲν μήτε ὁρᾶν μήτε ἀκούειν ἐναργὲς (ἐναργ. οὐδὲν οὔτ' ἀκ. οὔθ' ὁρᾶν) ἢ ὑγιές· καί ποτε ἐπισπασάμενος τῶν προσομιλούντων αὐτῷ τινα εἰς τὴν οἰκίαν ἰσχυρίζετο πρὸς αὐτὸν ὑπερφυῶς, ὡς ἐδόκει, τὴν ἐποχὴν καὶ ἔφη· τοῦτο μὲν* ἀ ν α μ φ ί λ ε κ τ ο ν

ἐγώ σοι ἔχω φράσαι, αὐτὸς ἀπ' ἐμαυτοῦ μαθών, οὐκ ἄλλου πειραθείς. (5) κἄπειτα ἀρξάμενος περιηγεῖτο τὴν ὅλην τοῦ ταμιείου συμβᾶσαν αὐτῷ πάθην. τί οὖν ἄν, εἶπεν, ἔτι Ζήνων λέγοι πρὸς οὕτως ὁμολογουμένην διὰ πάντων φανεράν μοι ἐν τοιοῖσδε ἀκαταληψίαν; ὃς γὰρ ἀπέκλεισα μὲν ταῖς ἐμαυτοῦ χερσίν, αὐτὸς δὲ ἐσημηνάμην, αὐτὸς δὲ ἀφῆκα μὲν εἴσω τὸν δακτύλιον, αὖθις δ' ἐλθὼν ἀνοίξας τὸν μὲν δακτύλιον ὁρῶ ἔνδον, οὐ μέντοι καὶ τὰ ἄλλα, πῶς οὐ δικαίως ἀπιστούντως τοῖς πράγμασιν ἕξω; οὐ γὰρ τολμήσω εἰπεῖν ἔγωγε, ἐλθόντα τινὰ κλέψαι ταῦτα, ὑπάρχοντος ἔνδον τοῦ δακτυλίου. (6) καὶ ὃς ἀκούων — ἦν γὰρ ὑβριστής — ἐκδεξάμενος τὸ πᾶν ὡς ἔσχεν ἀκοῦσαι, μόλις καὶ πρότερον ἑαυτοῦ | κρατῶν ἀπέρρηξε(ν) γέλωτα καὶ μάλα πλατύν, γελῶν τε ἔτι καὶ καγχάζων διήλεγχεν ἅμα αὐτοῦ τὴν κενοδοξίαν. ὥστε ἔκτοτε Λακύδης ἀρξάμενος οὐκέτι μὲν τὸν δακτύλιον ἔσω ἐνέβαλλεν, οὐκέτι δὲ τοῦ ταμιείου ἐχρῆτο ἀκαταληψίᾳ, ἀλλὰ κατελάμβανε τὰ ἀφειμένα καὶ μάτην ἐπεφιλοσοφήκει. (7) οὐ μέντοι ἀλλὰ οἵ γε παῖδες φόρτακες ἦσαν καὶ οὐ θἀτέρᾳ ληπτοί, οἷοι δὲ οὗτοι οἱ κωμῳδικοὶ οἰκέται (sic Hirzel. pro τε καὶ) Γέται καὶ Δᾶοι (sic Hirz. pro Δακοὶ) κἀκ τῆς Δακικῆς (Ἀττικῆς Hirz.) λαλεῖν στωμυλήθρας κατεγλωττισμένοι. ἐπεί τε (εἴτε παρὰ Hirz.) τοῖς Στωικοῖς τὰ σοφίσματα ἤκουσαν εἴτε καὶ ἄλλως ἐκμαθόντες εὐθὺ τοῦ τολμήματος ᾔεσαν καὶ παρελύοντο τὴν σφραγῖδα, καὶ τοτὲ μὲν ἑτέραν ἀντ' ἐκείνης ὑπετίθεσαν, τοτὲ δὲ οὐδὲ ἄλλην, διὰ τὸ οἴεσθαι ἐκείνῳ γε ἀκατάληπτα ἔσεσθαι, καὶ οὕτω καὶ ἄλλως. (8) ὁ δὲ εἰσελθὼν ἐσκοπεῖτο· ἀσήμαντον δὲ τὸ γραμματεῖον θεωρῶν, ἢ σεσημασμένον μέν, σφραγῖδι δ' ἄλλῃ, ἠγανάκτει· τῶν δὲ σεσημάνθαι λεγόντων, αὐτοῖς γοῦν τὴν σφραγῖδα ὁρᾶσθαι τὴν αὐτήν, ἠκριβολογεῖτο ἂν καὶ ἀπεδείκνυε· τῶν δ' ἡττωμένων τῇ ἀποδείξει καὶ φαμένων, εἰ μή τι (μηκέτι Hirz.) ἔπεστιν ἡ σφραγίς, αὐτὸν ἴσως ἐπιλελῆσθαι καὶ μὴ σημήνασθαι· καὶ μὴν αὐτός γε ἔφη σημηνάμενος μνημονεύειν καὶ ἀπεδείκνυε καὶ περιῄει τῷ λόγῳ καὶ ἐδεινολογεῖτο πρὸς αὐτοὺς οἰόμενος παίζεσθαι καὶ προσώμνυεν. (9) οἱ δ' ὑπολαβόντες τὰς προσβολὰς ἐκείνου αὐτοί γε ᾤοντο (fortasse ᾐτιῶντο) ὑπ' αὐτοῦ παίζεσθαι· ἐπεὶ σοφῷ γε ὄντι δεδόχθαι τῷ Λακύδῃ εἶναι ἀδοξάστῳ, ὥστε καὶ ἀμνημονεύτῳ· μνήμην γὰρ εἶναι δόξαν· ἔναγχος γοῦν τοῦ χρόνου ἔφασαν ἀκοῦσαι ταῦτα αὐτοῦ πρὸς τοὺς φίλους (λέγοντος add. Hirz.). (10) τοῦ δὲ ἀναστρέφοντος αὐτοῖς τὰς ἐπιχειρήσεις καὶ λέγοντος οὐκ Ἀκαδημαϊκά, αὐτοὶ φοιτῶντες εἰς Στωικῶν τινος τὰ λεκτέα ἑαυτοῖς ἀνεμάνθανον, κἀκεῖθεν ἀρξάμενοι ἀντεσοφίστευον καὶ ἦσαν ἀντίτεχνοι κλέπται Ἀκαδημαϊκοί. ὁ δὲ στωικῶς (sic Hirz. pro στωικὸς) ἐνεκάλει· οἱ παῖδες δὲ τὰ ἐγκλήματα παρέλυον αὐτῷ ὑπὸ ἀκαταληψίας, οὐκ ἄνευ τωθασμῶν τινῶν. (11) διατριβαὶ οὖν ἦσαν πάντων (πάντ') ἐκεῖ καὶ λόγοι | καὶ ἀντιλογίαι, καὶ ἓν οὐδὲν ἐν τῷ μέσῳ κατελείπετο, οὐκ ἀγγεῖον, οὐ τῶν ἐν ἀγγείῳ τιθεμένων, οὐχ ὅσα εἰς οἰκίας κατασκευὴν

ἀλλ' ἐστὶ συντελῆ. (12) *καὶ ὁ Λακύδης τέως μὲν ἠπόρει, μήτε λυσιτελοῦσαν ἑαυτῷ θεωρῶν τὴν τοῖς ἑαυτοῦ δόγμασι βοήθειαν, εἴ τε μὴ ἐξελέγχοι, πάντα ἀνατρέψεσθαι ἑαυτῷ δοκῶν· πεσὼν* (*οὖν* add. Hirz.) *εἰς τἀμήχανον τοὺς γείτονας ἐκεκράγει καὶ τοὺς θεούς· καὶ ἰοὺ ἰοὺ καὶ φεῦ φεῦ καὶ νὴ τοὺς θεοὺς καὶ νὴ τὰς θεάς, ἄλλαι τε ὅσαι ἐν ἀπιστίαις δεινολογουμένων εἰσὶν ἄτεχνοι πίστεις, ταῦτα πάντα ἐλέγετο βοῇ καὶ ἀξιοπιστίᾳ.* (13) *τελευτῶν δὲ ἐπειδὴ ἄδην* (sic pro *ἐπεὶ μάχην* Diels) *εἶχεν ἀντιλεγόμενος* (sic pro *ἀντιλεγομένους* Usener) *ἐπὶ τῆς οἰκίας, αὐτὸς μὲν ἂν δήπουθεν ἐστωικεύετο πρὸς τοὺς παῖδας, τῶν παίδων δὲ τὰ Ἀκαδημαϊκὰ ἰσχυριζομένων, ἵνα μηκέτι πράγματα ἔχοιεν* (*ἔχοι*), *οἰκουρὸς ἦν φίλος* (?) *τοῦ ταμιείου προκαθήμενος. οὐδὲν δὲ εἰς οὐδὲν ὠφελῶν, ὑπιδόμενος οἷ τὸ σοφὸν αὐτῷ ἔρχεται ἀπεκαλύψατο. ἄλλως, ἔφη, ταῦτα, ὦ παῖδες, ἐν ταῖς διατριβαῖς λέγεται ἡμῖν, ἄλλως δὲ ζῶμεν.*

sic Dindorfius: a quo ubicumque discessi, accurate notavi. eadem, sed multo brevius et ex parte tantum modo, Diogenes Laert. 4, 59. contineri hac narratione argumentum comoediae integrae, Nubium haud dissimilis, ad inrisionem philosophorum conscriptae saeculo a. Chr. tertio, indicavit R. Hirzelius Herm. XVIII 3 sq. *Lacydes* est Arcesilae Academici discipulus et successor. Diog. L. 4, 59. Plut. Mor. 63 e. Cic. Acad. 2, 6, 16. paucissima versuum qui in Numenii verbis servati videntur vestigia diductis paullulum litteris indicavi; interdum ad restituendos numeros transpositione opus est. fragmenta huius comoediae sunt apud Numen. Euseb. Praep. ev. 14, 5, 14. de quibus infra.

104

ἐρημία μέν ἐστι, κοὐκ ἀκούσεται
οὐδεὶς παρών μου τῶν λόγων ὧν ἂν λέγω.
ἐγὼ τὸν αἰῶν', ἄνδρες, ἐτεθνήκη πάλαι
ἅπανθ' ὃν ἔζην· τοῦτό μοι πιστεύετε.
παγγηκγοτοκαλον τἀγαθόν, τὸ σεμνὸν ἦν,
τὸ κακόν· τοιοῦτον ἦν τί μου πάλαι σκότος
περὶ τὴν διάνοιαν, ὡς ἔοικε, κείμενον,
ὃ πάντ' ἔκρυπτε ταῦτα κἠφάνιζέ μοι.
νῦν δ' ἐνθάδ' ἐλθών, ὥσπερ εἰς Ἀσκληπιοῦ
ἐγκατακλιθείς, ὡς ἴστε μετ' ὀλίγον χρόνον,
ἀναβεβίωκα· περιπατῶ, λαλῶ φρονῶν,
τὴν τηλικούτων καὶ τοιούτων ηλιον
νυντοντον εὑρών, ἄνδρες, ἐν τῇ τήμερον.
ὑμᾶς ορωτο νυν νσιραι τὸν ἀέρα,

τὴν ἀκρόπολιν, τὸ θέατρον . . . . .
. . . .
. . . .
. . ἀρίστων φιλόσοφος μαθήματα.

Papyrus Didot. Aegypt. saec. a. Chr. secundi (Un papyrus inédit . . . par H. Weil. Paris. 1879). 3. αἰῶν' K. Mus. Rhen. XXXV 278] ΑΛΛΟΝ. ἐτεθνήκη K.] ΤΕΘΝΗΚΕΙ. ἐτεθνήκειν Cobet. Mnem. VIII 14. 4. ΑΠΑΝΤΑ. αἰῶν' Weil. ὃν ἔζην K.] ΩΝΕΖΗ. Demosth. 24, 7 iam contulit Weil. πιστεύετε Buecheler. Mus. Rh. XXXV 278] ΠΙΣΤΕΥΣΕΤΑΙ. 5. tres litterae ΓΗΚ dubiae sunt. παρῆν τό τε καλόν Cobet. aliud aliquid desiderari docent v. 6. 7. fortasse ἄχνη τὸ καλόν μοι. ἦν in fine add. Buecheler. 10. ὡς ἴστε K.] ΩΣΝΙΣΘΕ. tenues cum adspiratis in hoc papyro saepissime commutantur. μετ' ὀλίγον K.] ΤΟ (macula) ΛΟΙΠΟΝ. 11. φρονῶν K.] ΦΡΟΝΩ. 12. ἡδονῶν K. 13. ξύνοικον K. in exitu ΣΗ. ΕΡΟΝ pap. at comicorum est τήμερον. 14. ἐρωτῶ K. ΝΥΝ in pap. supra lineam positum. in ΝΣΙΡΑΙ latere videtur ὁρᾷ. ἀέρα K.] ΑΡΑ. cf. Eurip. fr. 935 N. ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα.

cf. Theognet. 1 et adesp. 1419. Mus. Rhen. XXXXIII 46. 7. obtrectator nescio quis philosophiae, adulescentulus ut videtur, qui antehac notiones morales temere contempserat, brevissimum tempus a magistro stoico institutus iam aliter philosophiam aestimat: et laetitiam suam, ne quis non initiatus audiat, solus cum spectatoribus (cf. 3 et 13 ἄνδρες) communicat. 5. facilius etiam videtur πάχνη, Theognet. 1, 3. sed cf. Leutsch. Append. prov. 1, 44. Hom. Il. 5, 499. 501. 4, 426. 11, 307. 15, 626. Od. 12, 238. Soph. OCol. 681. Arist. Vesp. 92. 10. spectatores qui eum in scholam intrantem viderant, ut in Nubibus Strepsiadem et Phidippidem, testes esse vult quam brevi tempore ab errore sit reductus. 13. ἐν τῇ τήμερον alibi me legere non memini.

105

. . . .
ἄνθρωπος οἶνον, αὐτὸ τοῦτ' ἐκπλήτ . .
ἔγωγε, ὑπὲρ τοῦ μεθύσκεσθ' οὐ λέγω.
ἀπιστία γάρ ἐσθ' ὅμοιον τοῦτό γε,
εἰ καὶ βιάζεται κοτύλην τις τοὺς βο .
ὠνούμενος πίνειν ἑαυτόν. τοῦτ' ε .
προσέμενον· οὗτος ἐμπεσὼν διασ . .,
τὸν ἔρωτα· τί δ' ἐμοὶ τοῦτο; πάλιν οἰμώ . .
προῖκα δὲ λαβὼν τάλαντα τέτταρ' ἀργυ .
οὐ τῆς γυναικὸς νενόμιχ' αὐτὸν οἰκέ .

ἀπόκοιτός ἐστι, πορνοβοσκῷ δώδεκα
τῆς ἡμέρας δραχμὰς δίδωσι. Β. δώδεκα
. . . . . . τακ . . βως οὑτοσὶ τὰ πράγματα
. . . . . σ δια . ροφὴν ἀνδρὶ καὶ πρὸς ἡμερ .
. . . . . . ελ . . ισται δύ' ὀβολοὺς τῆς ἡμέρας
. . . . . ντ . . γωπεινωντιπτι . . . . ποτε
. . . . σ . . προσμενειχαιρω . . . . . .
. . . . γλυκυτατεοτης . . . . τηρ
. . . . ονωσαϑλιοστισ . . . .
. . . . τρισκακοδ . . . .

Fragmentum a Tischendorfio inventum, editum a Cobeto Mnem. nov. IIII 286. 2. ΜΕΘΥΣΚΕΘ cod. Tisch. corr. Cob. 9. Υ cod., οὐ Cob. in νενομιχ αυτον apostr. et spir. post add. teste Tisch. 10. πορνοβοσκῶι Gomperz. Herm. XI 509] πορνοβοσκοῦ. ΔΩΔΕΚ cod. Tisch. δώδεκα Cob.

ante v. 1. Cobetus supplet ὅτι μὲν τοσοῦτον ἐκπέπωκ' ἄνευ κακοῦ | ἄνϑρ. κτλ. sed verborum continuatio talem fere sententiae conformationem requirit: εἰ καὶ τοσοῦτον ἂν ἀκρατής τις ἐκπίῃ | ἄνϑρ. κτλ. 1. ἐκπλήττομαι Cobet. 2. ἔγωγ' et μὴ μεϑύσκεσϑ' Cob. versus nondum persanatus videtur. 3. ἀπιστίαι Gomperz. 508. recte ἀπληστίᾳ Wilamowitz. 4. τοὺς βόας Cob., praeter comicorum consuetudinem. 5. ὠνούμενος] an μιμούμενος? τοῦτ' ἐγὼ Cob. 6. διασκεδᾷ Cob., coniectura nequaquam certa. 7. οἰμώξομαι Cob. 8. ἀργύρου Cob. 9. οἰκέτην Cob. 11. 12. δώδεκα | δραχμάς; K. Mus. Rhen. XXXII 112. 3. 12. ἐπίστατ' ἀκριβῶς E. Hiller. Fleckeis. ann. CXV 339. 40. at δώδεκα v. 11 per se solum stare non poterit. 13. εἰς διατροφὴν Cob. εἰ πρὸς διατρ. Gomperz. 509. καὶ πρὸς δ. E. Hiller. 340. 14. init. πόνον suppl. Gomp. deinde λελόγισται Cob. 13—15 οἶδ'· (i. e. οὑτοσὶ ἀκριβῶς τὰ πρ. οἶδεν) εἰς δ. et καὶ πρὸς ἡμέρας | χρείας νενόμισται δύ' ὀβ. τῆς ἡμέρας | ἀρκεῖν· K. 15. τελεῖν; τί ἐγὼ πεινῶντι δὴ πτισάνην ποτὲ | ἔδωχ' Gomperz., coniectura prorsus incerta. 17. γλυκύταϑ' ὁ τῆς νύμφης πατήρ K.

magnopere de hoc fragmento dissentiunt homines docti. vernam et nutricem conloqui, tertiam autem personam (dominum) v. 5. 6 dicere τοῦτ' ἐγὼ προσέμενον Gomperzius censet 510. 11. prorsus aliter E. Hiller. 339. 40. cf. etiam quae nos disputavimus in Mus. Rhen. v. 8 aliam personam loqui arbitratur Cobet. — 10. ἀπόκοιτος, ut Lucian. Dial. deor. 10, 2. cf. Cobet. 288. 14. ὀβολῶν τετταρῶν opus rusticum facit Luciani Timon 6.

Menandro tribuit Cobetus. sed cum quod se demonstraturum esse promisit non demonstraverit, tutius erat inter adespota recipere. cf. quae adnotavimus ad Menand. 530.

106. 107

ὁ Μνησίθεος δ' ἔφη τὸν οἶνον τοὺς θεοὺς
θνητοῖς καταδεῖξαι τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον, τοῖς δ' ἀτάκτως τοὔμπαλιν·
τροφήν τε γὰρ δίδωσι τοῖς εὖ χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν·
εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφελίαν ἔχει·
ἐν ταῖς συνουσίαις τε ταῖς καθ' ἡμέραν
τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον
εὐθυμίαν, ἐὰν δ' ὑπερβάλῃς, ὕβριν,
ἂν ἴσον ἴσῳ δὲ προσφέρῃ, μανίαν ποιεῖ,
ἐὰν δ' ἄκρατον, παράλυσιν τῶν σωμάτων.

Athenaeus 2, 36a *Μνησίθεος δὲ — σωμάτων. διὸ καὶ καλεῖσθαι τὸν Διόνυσον πανταχοῦ ἰατρόν· ἡ δὲ Πυθία εἴρηκέ τισι Διόνυσον ὑγιάτην καλεῖν.* idem 1, 22e *Μνησίθεος ὁ Ἀθηναῖος Διόνυσον ἰατρόν φησι τὴν Πυθίαν χρῆσαι τιμᾶν Ἀθηναίοις.* v. 11 sq. Eustathius 1624, 34 *λέγει (ὁ Ἀθήναιος) ὅτι ἐὰν ὑπερβάλῃς μὲν τὸν ἐν τῷ κράματι δηλαδὴ οἶνον, εἰς ὕβριν φέρει· ἐὰν δὲ ἴσον ἴσῳ προσφέρῃ, μανίαν ποιεῖ· ἂν δ' ἄκρατον, παράλυσιν σωμάτων. διὸ στοχαστέον τοῦ συμμέτρου. οὕτω γὰρ ἂν μὴ βλαπτομένου τοῦ πίνοντος καλῶς ἂν ὁ Διόνυσος καλοῖτο ἰατρός, ἔτι δὲ καὶ ὑγιείας αἴτιος, καθότι καὶ ἡ Πυθία εἴρηκέ τισι Διόνυσον ὑγιατὴν καλεῖν, ὅπερ ἐστὶν αἴνιγμα τοῦ τὸν οἶνον ὑγιαστικὸν εἶναι.*

1. ὁ add. et *Μνησίθεος δ' ἔφη* poetae adiecit Mein. 2. *γρ. θνητῶν* E. 4. *τοῖς εὖ* Mein. Anal. Ath. 17] *τοῖς* BE. 8. *ὠφελίαν* Dindf.] *ὠφέλειαν* CE. 11. *εὐθυμίαν* Iacobs. Animadv. Anthol. gr. I 327] *εὐθυμίαν φέρει. ὑπερβαλεῖς* superscr. *η* E. *εἰς ὕβριν* CE. *ἂν ἴσον ἴσῳ δὲ* Nauck. Obs. crit. 36] *ἐὰν δ' ἴσον ἴσῳ*, contra comicorum consuetudinem, qui semper *ἴσον ἴσῳ*, numquam *ἰσόν ἴσῳ*. praeterea Nauckius *ἂν ἴσον ἴσῳ δέ, παράλ. τῶν σωμ., ἐὰν δ' ἄκρατον προσφ., μανίαν ποιεῖ.* 12. *προσφέρει* superscr. *η* E. *προσφέρῃ* est 2. pers. sing. med. 13. *ἐὰν* Brunck.] *ἄν*. — quae post v. 13 in cod. adduntur alii poetae (*διὸ — πανταχοῦ | ἰατρόν — Πυθία | εἴρηκε κτλ.*) tribuit Dindorfius, Athenaei verba esse censet Meinekius. in his pro *πανταχοῦ πολλαχοῦ* Mein. Anal. Ath. 108. mihi Eustathii praesertim verba consideranti dubium non est quin haec quoque poetae alicuius sint, sive eiusdem (ita tamen ut post v. 13 excidisse quaedam statuam) sive alterius. scribendum autem videtur

διὸ καὶ καλοῦσι τὸν Διόνυσον πολλαχοῦ
ἰατρόν, ὡς ἂν τῆς ὑγιείας αἴτιον·
καὶ τοῖς Ἀθηναίοισι γοῦν ἡ Πυθία
ἔχρησε τιμᾶν ὡς ὑγιαστὴν τὸν θεόν.

ita enim, non *ὑγιάτην*, quod quomodo formatum sit nescio, scribendum videtur, siquidem *ὑγιάζειν* *sanare* apud scriptores posteriores haud raro reperitur. Alexidis esse eclogam (propter Alexid. 216, ubi cf. quae adnotavimus) sententia fuit Schweighaeuseri, quem secutus est Cobetus Mnem. nov. XII 447. 8. ceterum cf. Varron. Sat. Menipp. 96, 1 p. 236 Oehler.

108. 109

ἐγὼ γεωργῶ τὸν ἀγρόν, οὐχ ὅπως τρέφῃ
αὐτός με, παρ' ἐμοῦ δ' ἵνα τροφὴν προσλαμβάνῃ.
σκάπτω γὰρ αὐτὸς ἐπιμελῶς σπείρω τ' ἀεί,
καὶ πάντα ποιῶ πρὸς τὸ δούς τι καὶ λαβεῖν·
ὁ δὲ λαμβάνει μέν, ἀποδίδωσι δ' οὐδὲ ἕν.
. . . .
ἀποστερητὴν ἔλαθον ἀγοράσας ἀγρόν.
ἔσπειρα μὲν κριθῶν μεδίμνους εἴκοσιν·
τούτων δ' ἀπέδωκεν οὐδ' ὅλους τρισκαίδεκα,
οἵ δ' ἕπτ' ἐπὶ Θήβας ἐστράτευσάν μοι δοκῶ·
τὸ τῶν γυναικῶν ῥῆμα διατηρεῖ μόνον
'ὀνησιφόρα γένοιτο'· τοῦτο γίνεται.
ὃ γὰρ φέρει νῦν οὗτος, εἰς ὄνος φέρει.

Stobaeus Floril. 57, 7 *κωμικοῦ ποιητοῦ* A. dispescuit (post v. 5) quae apud Stobaeum coniuncta sunt Mein. attamen non multa videntur excidisse. 1. *ἐγὼ γεωργῶ* Dobr. Porson. Aristoph. p. 66] *ἔγωγ'* (*ἔγωγε* Trinc.) *ὁρῶ*. *ὅπως*] *ἵνα* A. 3. *σπέρω* Trinc. 4. *δούς τι* K.] *δοῦναι*. 5. *οὐδέν* A. 7. *κριθὴν* A. *κριθῆς* Mein. V 122. 8. *δ'* add. Mein. Stob. II xxix. 9. *Θήβαις* A. *μοι δοκῶ*, quod facile est commutare in *μοι δοκεῖν*, firmatur eis quae adnotavimus ad Clearch. 5. 10. *τὸ*] *τὶ* A. *ῥῆμα* Dobr.] *σχῆμα*. *σῆμα* Vindob. 11. *ὀνησιφόρα* Vind.] *ὀνησιφόρους* 'ut videtur A' (per compendium). Gaisford.

4. *operam do ut postquam dedi etiam aliquid recipiam.* cf. Epicharm. versus *ἁ δὲ χεὶρ τὰν χεῖρα νίζει· δός τι κἄν τι λαμβάνοις.* sic Ritschl. Opusc. I 720. *καὶ λάβοις τί κα* Ahrens Dial. dor. 456. *καί τι δοὺς λαβέ* Schneidewin. 8. de forma *τρισκαίδεκα* cf. quae adnotavimus ad Arist. Ran. 50. nescio tamen an melius scribatur *τρεῖς καὶ δέκα*. 9. i. e. *septem modii illi,* quos de viginti sibi

creditis ager mihi debebat tredecim tantummodo redditis, *illuc iverunt unde non magis redibunt quam septem duces a Thebis.* 10. *τὸ τῶν γ. ῥῆμα*, 'nimirum ipsum illud quod sequitur *ὀνησιφόρα γένοιτο*, quod mulieres religiosae in ore gerebant.' Mein. Stob. II xxix. Photius et Hesych. *ὀνησιφόρος· ὠφέλειαν φέρων.* Hesych. *ὀνησιφόρων· τὰ ὠφέλιμα φερόντων.* cf. Alexid. 195, 5. inprobat vocem Pollux 5, 136 *τὸ γὰρ ὀνησιφόρον μοχθηρόν.* 12. 'iocum captat ex ridicula etymologia, quasi *ὀνησιφόρα* sint quae *ὄνος φέρειν* possit'. Bentl.

110

τὸν νομοθέτην φασὶν Χαρώνδαν ἔν τινι
νομοθεσίᾳ τά τ' ἄλλα καὶ ταυτὶ λέγειν·
ὁ παισὶν αὑτοῦ μητρυιὰν ἐπεισάγων
μήτ' εὐδοκιμείσθω μήτε μετεχέτω λόγου
παρὰ τοῖς πολίταις, ὡς ἐπείσακτον κακὸν
κατὰ τῶν ἑαυτοῦ πραγμάτων πεπορισμένος.
εἴτ' ἐπέτυχες γάρ, φησί, γήμας τὸ πρότερον,
εὐημερῶν κατάπαυσον, εἴτ' οὐκ ἐπέτυχες,
μανικὸν τὸ πεῖραν δευτέρας λαβεῖν πάλιν.

Diodorus Sic. 12, 14 (*ποιηταὶ*) *μεμαρτυρήκασι*. . .*τὸν περὶ τῆς μητρυιᾶς τεθέντα* (*νόμον*) *ἐν τούτοις κτλ.* idem 12, 12 *τοῖς μητρυιὰν ἐπαγομένοις κατὰ τῶν ἰδίων τέκνων ἔθηκε* (*Χαρώνδας*) *πρόστιμον τὸ μὴ γενέσθαι συμβούλους τούτους τῇ πατρίδι, νομίζων τοὺς κακῶς περὶ τῶν ἰδίων τέκνων βουλευσαμένους καὶ συμβούλους κακοὺς ἔσεσθαι τῇ πατρίδι· ἔφη γὰρ τοὺς μὲν πρῶτον γήμαντας καὶ ἐπιτυχόντας δεῖν εὐημεροῦντας καταπαύειν, τοὺς δὲ ἀποτυχόντας τῷ γάμῳ καὶ πάλιν ἐν τοῖς αὐτοῖς ἁμαρτάνοντας ἄφρονας δεῖν ὑπολαμβάνεσθαι.* — 2. *ταυτὶ* Bentl.] *ταῦτα.* 3. *ὁ παισὶ μητρυιὰν ἐπεισάγων ἀνὴρ* G. Herm. ac sane *μητρυΐάν* paullo insolentius quam alia id genus. fortasse *ὁ π. μητρ. ἑαυτοῦ 'πεισάγων.* 4. *εὐδοκιμείτω* Herwerd. Anal. crit. 35. atque est sane *εὐδοκιμεῖσθαι* posteriorum. 6. *πραγμάτων*] fortasse *θρεμμάτων*, quod nomen aliquotiens in comoediis exstat, vel *σπερμάτων.* 9. *πεῖραν* Bentl.] *πείρας.* quae v. 7. 8 vulgantur Diodori verbis satis contra hominum doctorum opiniones firmantur.

111

Clemens Alex. Paedag. 2, 1, 3 *κἀμοὶ μὲν ἔλεος ὕπεισι τῆς νόσου* (peregrinorum ciborum cupiditatem dicit), *οἵ δ' ἐξυμνεῖν οὐκ αἰσχύνονται τὰς σφετέρας ἡδυπαθείας τὰς ἐν τῷ πορθμῷ τῷ*

Σικελικῷ σμυραίνας πολυπραγμονοῦντες καὶ τὰς ἐγχέλεις τὰς Μαιανδρίους καὶ τοὺς ἐν Μήλῳ ἐρίφους καὶ τοὺς ἐν Σκιάθῳ κεστρεῖς καὶ τὰς Πελωρίδας κόγχας καὶ τὰ ὄστρεια τὰ Ἀβυδηνά, οὐ παραλείποντες δὲ τὰς ἐν Λιπάρᾳ μαινίδας οὐδὲ τὴν γογγύλην τὴν Μαντινικήν, ἀλλ' οὐδὲ τὰ παρὰ τοῖς Ἀσκραίοις τεῦτλα, κτένας τε ἐκζητοῦσιν Μηθυμναίους καὶ ψήττας Ἀττικὰς καὶ τὰς Δαφνίους κίχλας Χελιδονίους τε ἰσχάδας, δι' ἃς εἰς Ἑλλάδα πεντακοσίαις ἅμα μυριάσιν ὁ κακοδαίμων ἐστέλλετο Πέρσης. ὄρνεις ἐπὶ τούτοις συνωνοῦνται τοὺς ἀπὸ Φάσιδος, ἀτταγᾶς Αἰγυπτίους, Μῆδον ταῶνα. ταῦτα τοῖς ἡδύσμασιν ἐξαλλάσσοντες οἱ γαστρίμαργοι τοῖς ὄψοις ἐπικεχήνασιν, ὅσα τε χθὼν πόντου τε βένθη καὶ ἀέρος ἀμέτρητον εὖρος ἐκτρέφει τῇ αὑτῶν ἐκποριζόμενοι λαιμαργίᾳ. codicum varietates, quoniam nos non Clementem edimus, cf. apud Dindorfium. — haec ex vetustiore aliquo scriptore desumpta esse iam Potterus coniecerat, ex comoedia derivata videri monuit L. Friedlaenderus in Ind. Regiomont. hib. 1869/70, non congruere cum indice Varroniano apud Gell. 6(7), 16, neque cum Antiphanis fr. 193 (vel 236), neque cum Archestrato (Athen. 3, 92d) recte animadvertens. in trimetros redigebat Lehrsius (ap. Friedl.), non omnia feliciter. - verum non ex una fabula, sed ex pluribus haec consuta ideoque inritum esse pristinae formae restituendae laborem alia quaedam videntur testimonia docere. Athen. 1, 4c *πολλοὶ δὲ καὶ ἄλλοι διὰ στόματος εἶχον τὰς ἐν τῷ Σικελικῷ μυραίνας, τὰς πλωτὰς ἐγχέλεις, τῶν Παχυνικῶν θύννων τὰς ἠτριαίας, τοὺς ἐν Μήλῳ ἐρίφους, τοὺς ἐν Συμαίθῳ* (*Σκιάθῳ* Gesner.) *κεστρέας· καὶ τῶν ἀδόξων* (ut mendosum notat C) *δὲ τὰς Πελωρίδας κόγχας, τὰς ἐκ Λιπάρας μαινίδας, τὴν Μαντινικὴν γογγυλίδα, τὰς ἐκ Θηβῶν βουνιάδας καὶ τὰ παρ' Ἀσκραίοις τεῦτλα.* Pollux 6, 63 *ἰστέον δὲ ὅτι παρὰ τοῖς παλαιοῖς εὐδοκίμουν μύραινα ἐκ πορθμοῦ καὶ μύραινα Ταρτησσία, καὶ θύννος Τύριος καὶ κεστρεὺς ἐκ Σκιάθου καὶ ἔριφος ἐκ Μήλου, καὶ κόγχαι Πελωριναί, ὅθεν ἴσως καὶ αἱ νῦν καλούμεναι Πελωρίδες ὠνομάσθησαν, τεῦτλον ἐξ Ἄσκρης* (sic), *μαινίδες ἐκ Λιπάρας, γογγύλαι ἐκ Μαντινείας, Μηθυμναῖοι κτένες, γαλεὸς ἐκ Ῥόδου, ψῆτται ἐξ Ἐλευσῖνος, ἀφύαι Φαληρικαί, τρίγλαι Αἰξωνικαί, ἐγχέλυες ἐκ Βοιωτίας αἱ Κωπᾳδες, ὡς ἐκ Σικελίας αἱ πλωταί, καὶ Θασία ἅλμη καὶ Θάσιαι ῥαφανῖδες καὶ τυρὸς Κύθνιός τε καὶ Σικελικός, καὶ ἅλες Τραγασαῖοι.* addo vinorum indicem apud Clementem Paed. 2, 2, 30 *πλαδώσης ὀρέξεως . . αἱ διαπόντιοι οἰνηγίαι, παραφρονούσης καὶ πρὸ τῆς μέθης περὶ τὰς ἐπιθυμίας τῆς ψυχῆς. Θάσιός τε γὰρ ὁ εὐώδης καὶ ὁ εὔπνους Λέσβιος καὶ Κρής τις γλυκὺς καὶ Συρακούσιος ἡδὺς καὶ Μενδήσιός τις Αἰγύπτιος καὶ ὁ νησιώτης Νάξιος καὶ ἀνθοσμίας τις ἄλλος τῆς Ἰταλῶν γῆς, πολλὰ ταῦτα ὀνόματα, σώφρονι συμπότῃ οἶνος εἷς.* nec denique neglegendus Lucianus Navig. 23 *τάριχος μὲν ἐξ Ἰβηρίας, οἶνος δὲ ἐξ Ἰταλίας, ἔλαιον ἐξ Ἰβηρίας καὶ τοῦτο, μέλι δὲ ἡμέτερον* (fortasse *ἡμεδαπὸν*) *τὸ ἄπυρον καὶ ὄψα*

πανταχόθεν καὶ σύες καὶ λαγῴ, καὶ ὅσα πτηνά, ὄρνεις ἐκ Φάσιδος καὶ ταὼς ἐξ Ἰνδίας καὶ ἀλεκτρυὼν ὁ Νομαδικός. inter haec ut permulta comoediae speciem referre concedam, ita omnia inde fluxisse haud adfirmaverim, siquidem in haud paucis manifesta elegiaci metri vestigia adparent. — de *ficubus chelidoniis* cf. quae adnotavimus ad Epigen. 1. Pollux 6, 81 *ἰσχάδες χελιδόνιοι αἱ Ἀττικαί.* Athen. 14, 652f *χελιδονίας. .τὰς ἐρυθρομελαίνας ἰσχάδας.* Athenaei et Pollucis anguillae *πλωταί* inlustrantur Varronis loco Macrob. Sat. 2, 12 *in Sicilia manu capi muraenas flutas, quod hac in summa aqua prae pinguedine flutent.* cf. Colum. R. r. 8, 17, 8.

112

Themistius Or. 21, 262c *οἷα δὲ λέγει ὁ μάγειρος ὁ κωμῳδικός, οὐδὲ ἐκεῖνα πάνυ ἐλυσιτέλει πυνθανομένῳ, ἀλλ' ἐπέτριβε τοὺς δαιτυμόνας ἐξαλλάττων τὰ ἡδύσματα. ἀλλ' οὐκ ἐνταῦθα Καρίωνος τὸ κακὸν τὸ μέγα, ὅτι μοχθηρὰ ἡ τέχνη αὐτοῦ καὶ ἀλλόκοτος, ἀλλ' ὅτι πονηρὸν ἀνθρώπιον ἦν καὶ οὐκ ἐπὶ τῷ ἔργῳ* (*ἐπὶ οὐκ ἔργῳ* ed. Paris.) *εἰς τὰς οἰκίας παρερχόμενον, ἀλλ' ἵνα λαλήσῃ καὶ ψιθυρίσῃ καὶ διαβάλῃ καὶ ἐξενέγκῃ οὐχ ὅσα μάγειρον εἰκὸς μαστιγίαν, ὃς δικαίως ἐκρέματο ἂν οὕτω τύχῃ, διὰ τὴν χρηστὴν φιλομάθειαν, ἐν τῇ σπυρίδι. ἀλλὰ καὶ τὰ ἀπόρρητα τῆς οἰκίας, οὐδ' ὅσα ἀκήκοε μόνον, ἀλλὰ πολλὴ ἡ προσθήκη καὶ ἡ τῶν κακῶν ἐποικοδόμησις. ἀλλ' ὦ μοχθηρὲ καὶ ἀπόπληκτε Καρίων, ἀκήκοας ὅτι ὁ δεῖνα λιβανωτοῖς τοῖς θεοῖς ἔθυσε· λέγε οὖν ὅτι λιβανωτοῦ. μόνον γὰρ τοῦτο ἀκήκοας· καὶ μὴ ὅτι παμμέλανας ταύρους, μηδὲ ὅτι κριοὺς ἐκτομίας. σὺ δὲ καὶ εἴδωλα καταλέγεις, ὅσα ἐκίνησε τὸν Πλούτωνα* (*Πλάτωνα* ed. Par.) *γοητεύσας· ἔπειτα ἂν μὲν ἀγαθὸν πύθῃ, στεγανὸς εἶ καὶ Ἀρεοπαγίτου σιωπηλότερος· ἐὰν δέ τινος κακοῦ ἐπιλάβῃ, Ἰλιάδα ἐξ αὐτοῦ ποιεῖς καὶ Ὀδύσσειαν, πολλὰ οὔτ' αὐτὸς ἀκούσας οὔτε παρακούσας, ἀλλ' αὐτὸς τεκὼν καὶ αὐτὸς ὑφήνας. ἔπειτα ἄχθει δῆθεν πρὸς τὸν εἰπόντα, κακοδαίμονά τε καὶ θεοῖς ἐχθρὸν ὀνομάζων καὶ ἀπιστεῖν προσποιεῖ καὶ ἀγανακτεῖς καὶ σχετλιάζεις. ὅμως δὲ τὰ μὲν ἄπιστα καὶ σχέτλια καὶ ὀργῆς ἄξια λέγεις τε καὶ ἐκτραγῳδεῖς καὶ ἐμπίμπλῃς αὐτῶν μονονουχὶ τοὺς νευρορράφους καὶ τοὺς βαλανέας· τὸν δὲ κακοδαίμονα ἐκεῖνον καὶ θεοῖς ἐχθρόν, ᾧ πάνυ χαλεπαίνεις καὶ πρὸς ὃν πάνυ ἀγανακτεῖς, ἐάν τις πυνθάνηται καὶ ἐκλιπαρῇ, ἧττον ἂν εἰς φῶς ἀνάγῃς ἢ τὴν μητέρα Πριάμου, ὅτι οἶμαι αὐτὸς ἐκεῖνος ὑπάρχεις, αὐτὸς ὁ ποιητὴς καὶ ὑποκριτὴς τῶν δραμάτων.* verba *λιβανωτοῖς τοῖς θεοῖς* corrupta videntur. *αὐτός τε τεκὼν καὐτὸς ὑφήνας* (fort. *αὐτὸς πλέξας, αὐτὸς ὑφήνας*) ex poeta aliquo fluxisse monuit Meinekius. neque minus *μονονουχὶ τοὺς νευρορράφους | καὶ τοὺς βαλανέας. . .ἧττον ἂν | εἰς φῶς ἀνάγοις ἂν ἢ Πριάμου τὴν μητέρα . . . αὐτὸς ποιητὴς χὐποκριτὴς τῶν δραμάτων* ex comoedia excerpta, cetera

vero ita inmutata sunt, ut argumentum tantum modo scaenae narretur, non verba serventur.

113

Plutarchus Mor. 615d *ἑστιῶν (τις) πλείονας ἕκαστον ἐκέλευε τῶν εἰσιόντων ὅποι βούλεται παρεμβάλλειν καὶ κατακλίνεσθαι, διὰ τὸ καὶ ξένους καὶ πολίτας καὶ συνήθεις καὶ οἰκείους καὶ ὅλως παντοδαποὺς τοὺς κεκλημένους εἶναι.* (2) *πολλῶν οὖν ἤδη παρόντων, ξένος τις ὥσπερ εὐπάρυφος ἐκ κωμῳδίας, ἐσθῆτί τε περιττῇ καὶ ἀκολουθίᾳ παίδων ὑποσολοικότερος, ἧκεν ἄχρι τῶν θυρῶν τοῦ ἀνδρῶνος καὶ κύκλῳ ταῖς ὄψεσιν ἐπελθὼν τοὺς κατακειμένους οὐκ ἠθέλησεν εἰσελθεῖν, ἀλλ' ᾤχετο ἀπιών· καὶ πολλῶν μεταθεόντων οὐκ ἔφη τὸν ἄξιον ἑαυτοῦ τόπον ὁρᾶν λειπόμενον.* (3) *ἐκεῖνον μὲν οὖν πολλῷ γέλωτι χαίροντας, εὐφημοῦντας ἐκπέμπειν δόμων ἐκέλευον οἱ κατακείμενοι· καὶ γὰρ ἦσαν πολλοὶ μετρίως ὑποπεπωκότες.* videtur tota comoediae scaena vel narratio adumbrari. Pollux 7, 46 *εἴδη ἐσθήτων . . . ἡ παραπόρφυρος ἢ ὡς ἡ νέα κωμῳδία εὐπάρυφος.* cf. Nicostr 9. nec desunt versuum vestigia: *ὄψει δ' ἐπελθὼν τοὺς κατακειμένους κύκλῳ. . .οὐκ ἔφη | τὸν ἄξιον αὑτοῦ τόπον ὁρᾶν (λελειμμένον) . . . χαίροντες, εὐφημοῦντες ἐκπέμπειν δόμων | ἐκέλευον . . . πολλοὶ μετρίως γὰρ ἦσαν ὑποπεπωκότες.*

114

Α. πῶς εἰσιν οἱ πυρο . . . . . .
Β. τί δέ σοι μέλει τοῦτ'; Α. οὐδεν . . . . .
εἰς τὴν ἀλήθειαν καταχρησ . . . .
ἂν τίμιος, δακέτω σ' ὑπερ ε . . . .
πένητος· αἰσθοῦ σαυτὸν ὄντα . . .
ἄνθρωπον· ἄνθρωπον δὲ κα . . . .
ἵνα μὴ 'πιθυμῇς τῶν ὑπερ . . . .

Fragmentum a Tischendorfio inventum, a Cobeto cum fr. Menandr. 530 editum Mnem. nov. IIII 285 sq. 2. ΤΟΥΤΟΟΥΘΕΝ Tisch. 4. ΤΕΙΜΙΟΣ et ΣΕΫΠΕΡΕ Tisch. 7. ΕΠΙΘΥΜΗΙΣ et ΫΠΕΡ Tisch.

1. *πυροὶ παρ' ἡμῖν ὤνιοι;* Cobet. *πυροὶ κατ' ἀγορὰν ὤνιοι;* Fritzschius De prolog. quibusd. Rost. 1877 p. 4, Wilamowitz. et Gomperz. Herm. XI. 2. *οὐδέν· ἀλλὰ βούλομαι* Cob. *οὐδέν, οἶμαι, κωλύει* Fritzsch. *οὐθέν* retinet Gomperz. conl. Etym. m. 640, 13 *σεσημείωται τὸ παρὰ Μενάνδρῳ οὐθὲν μέλει σοι* (fr. 918). *οὐδέν· ὥσπερ εἰσόδῳ* K. 3. *καταχρῆσθαι τῷ λόγῳ* Cob. *καταχρῆσθαι τἀγορᾷ* Fritzsch., ut ad *τίμιος* v. 4 suppleri possit *ἡ ἀγορά.* aliter enim scribendum esse *τίμιοι (οἱ πυροί). καταχρῆσθαι βούλομαι* K. 4. *ἐμοῦ τοῦ σφόδρα* Cob. *ἑκάστου τόδε* K. 5. *ὄντα, Φειδία* Cob.

πολυτελῆ Fritzsch. ὄντα μηδὲν ᾖ K. 6. καλόν τε κἀγαθόν Cob. καὶ τὸν πλησίον Gomperz. καὶ τὸν ἄθλιον K. 7. ὑπὲρ σαυτὸν πάνυ Cob., ὑπὲρ ἄνθρωπόν ποτε Fritzsch., ὑπὲρ θνητοῦ φύσιν Gomperz.. ὑπὲρ τὰ δέοντ' ἄγαν K.

'incerti poetae' de Tischendorfii sententia Cobet. Mnem. n. IIII 285. Cobetus ipse cum Menand. 530 coniunxit, haec Menandrea esse se demonstraturum promittens. quo promisso cum non steterit, tutius iudicavi inter adespota recipere. cum Menand. 530 coniungi nullo modo possunt: nam ad divitum pauperumque studia diversa haec pertinent, non ad aegritudinem aliquam. contra magnam similitudinem habent cum Menand. 128.

115

ὁ πρῶτος εἰπὼν 'μεταβολὴ πάντων γλυκύ',
οὐχ ὑγίαινε, δέσποτ'. ἐκ μὲν γὰρ κόπου
γλυκεῖ' ἀνάπαυσις, ἐξ ἀλουσίας δ' ὕδωρ,
καὶ τἄλλα τοιαῦτ'· ἂν δέῃ δ' ἐκ πλουσίου
πτωχὸν γενέσθαι, μεταβολὴ μέν, ἡδὺ δ' οὔ.
ὥστ' οὐχὶ πάντων ἐστὶ μεταβολὴ γλυκύ.

Schol. Eurip. Orest. 234 μεταβολὴ πάντων γλυκύ· προσακουστέον τῶν κακῶν. κεκωμῴδηται ὁ στίχος. τὸ γὰρ ἐξ ὑγείας εἰς νόσον μεταβάλλειν οὐκ ἔστιν ἡδύ. φησὶ γὰρ ὁ κωμικός κτλ. cf. Valckenar. Diatr. 229. 2. ὑγίαινε δέσποτ' Porson.] ὑγιαίνει δέ ποτε. ὑγιαίνει δέσποτα εἰς Ven. Marc. 471. ὑγιαῖ δὲ ποσῶς ἐκ Vat. 909 (uterque sec. Cobet. ap. Geel. Eurip. Phoen. p. 260). 3. γλυκεῖα ἀνάπαυσις Vat.] γλυκύτατ' ἀνάπασις Ven. 4. τἄλλα τοιαῦτ' K.] τὰ τοιαῦτα Vat. Ven. τἄλλα τὰ τοιαῦτ' Nauck. Philol. V 527. VI 425. ἢν δέῃ δ' idem] ἢν δὲ ἐκ Vat. ἢν δὲ εἰς Ven. 5. sic Vat. Ven. 6. ὥστε Vat.] οὕτως Ven. ἐστὶ Ven.] ἡ Vat. v. 6 non recte delent Bothius et Herwerd. Obs. crit. 120. — 1. cf. Cobet. V. l.^{2} 205. μεταβολὴ πάντων γλυκύ est etiam Aristot. Rhet. 1, 11 (1371a 28). Ethic. Nic. 7, 15 (1154^b 28). Eud. 7, 1 (1225^a 16). 5. καὶ τἄλλα τ., i. e. καὶ τἄλλα πάντα τοιαῦτά ἐστιν. — 'Anaxandridi tribuebat Porsonus propter fr. 17. similius etiam Antiphanis fr. 207, 5.' Mein.

116

εἶτ' εἰ μὲν ᾔδησθ' ὅτι τοιοῦτον τὸν βίον,
ὃν οὐκ ἐβίωσε, ζῶν διηυτύχησεν ἄν,
ὁ θάνατος οὐκ εὔκαιρος· εἰ δ' ἤνεγκεν αὖ
οὗτος ὁ βίος τι τῶν ἀνηκέστων, ἴσως
ὁ θάνατος αὐτὸς σοῦ γέγονεν εὐνούστερος.

Plutarchus Mor. 110 e *θέασαι οἷα περὶ τούτου φησὶ τῶν κωμικῶν τις πρὸς τὸν ἐπὶ τῷ ἀώρῳ λυπούμενον θανάτῳ κτλ.* 1. *ᾔδησθ'* Herwerd. Obs. crit. 117] *ᾔδεις.* cf. Lob. Phryn. 237. Cobet. N. l. 214. 5. *τοιοῦτον* K.] *τοῦτον.* constr. *ὅτι τὸν βίον, ὃν οὐκ ἐβ., τοιοῦτον ζῶν διηυτ. διηυτ.* K.] *διευτ.* 2. *οὐ βεβίωκε* Herw. 3. *αὖ* add. Hercher. 5. *ὁ θάνατος* add. Meziriac. ad eandem cum Menand. 531 fabulam pertinere statuebat Mein. Quaest. Men. 29 sq.

117

τάλαντον ἡ προίξ· μὴ λάβω; ζῆν δ' ἔστι μοι
τάλαντον ὑπεριδόντι; τεύξομαι δ' ὕπνου
προέμενος; οὐ δώσω δὲ κἀν Ἅιδου δίκην
ὡς ἠσεβηκὼς εἰς τάλαντον ἀργύρου;

Plutarchus Mor. 18 d *τάλαντον κτλ. μοχθηροὶ μέν εἰσι λόγοι καὶ ψευδεῖς . . . καὶ τοκογλύφῳ πρεσβύτῃ πρέποντες.* 4. *ἀργύρου* Mein.] *ἀργυροῦν.* cf. Cobet. Mnem. VII 171. ad Menandri *Thesaurum* in prima Men. ed. referebat Mein.

118

Α. τύχην ἀμύνεσθαι; τίνα τρόπον; Β. φιλοσόφως.
Α. τὸν Δία δὲ πῶς ὕοντα; τὸν βορέαν δὲ πῶς;
Β. ζητοῦμεν ἱμάτιον, βαλανεῖον, πῦρ, στέγην·
οὐχ ὑόμενοι καθήμεθ' οὐδὲ κλάομεν.

Plutarchus Mor. 600 b *ὥσπερ ἐν κωμῳδίᾳ τις ἠτυχηκότα φίλον θαρρεῖν καὶ τὴν τύχην ἀμύνεσθαι παρακαλῶν, ἐρομένου 'τίνα τρόπον;' ἀποκρίνεται 'φιλοσόφως', οὕτω καὶ ἡμεῖς αὐτὴν ἀμυνώμεθα φιλοσοφοῦντες ἀξίως· τὸν Δία δὲ πῶς ὕοντα; τὸν βορέαν δὲ πῶς; πῦρ ζητοῦμεν, βαλανεῖον, ἱμάτιον, στέγην· καὶ γὰρ οὐχ ὑόμενοι καθήμεθα, οὐδὲ κλαίομεν.* 3. Herwerd. Obs. crit. 118 *ζητοῦντε πῦρ, β. ἱμ. στ.* de ictu in *τίνα τρόπον* cf. Athenion. 8 *ζῶμεν. τίνα τρόπον; πρόσεχε.*

119

σχολαστής ἐστι· δεῖ δ' οἶμαι γαμεῖν
τὸν ἐπιμελῆ καὶ δυνατὸν οἰκονομεῖν ὄχλον
πλείω. Β. τὸν ἀμελῆ μᾶλλον, ἐπιθυμοῦντα δὲ
σχολῆς, ἵν' ἔχων οἰκονόμον ἀδεῶς περιπατῇ.

Antipater Stob. Floril. 67, 25 *ὅσῳ γὰρ μᾶλλον αὐτὸς ἀπὸ τῆς οἰκονομίας ἀπέστραπται, τοσούτῳ μᾶλλον τὴν διαδεξομένην τὴν διοίκησιν παραληπτέον καὶ περὶ τὰ ἀναγκαῖα ἑαυτῷ ἀπερίσπαστον τηρητέον. οὐ κακῶς καὶ ὁ κωμικὸς ἐπιτέμνει* (*τὸν εἰπόντα* add. Mein. in

Stob.) σχολαστής — πλείω. ἐπιφωνήσας· τὸν ἀμελῆ κτλ. 1. ἐστι add. AB. δεῖ δ' Valcken.] ἀεί AB. 2. ἐπιμελῆ καὶ Mein.] ἐπιμελῆσαι. ὄχλον] ὄτλον K.

'agitur de filii matrimonio inter parentes sive inter patrem et patruum aliosve cognatos. horum alter otium amare adulescentem dicit: matrimonium autem iniri non debere nisi ab homine diligenti et attento: ad quae alter respondet τὸν ἀμελῆ cet.' Mein. conl. Xenoph. Memor. 2, 6, 38 ὡς ὄντι οἰκονομικῷ καὶ ἐπιμελεῖ τὰ ἑαυτῶν ἐπιτρέψαι. 4. περιπατῇ. videtur igitur adulescens ille peripateticus fuisse.

120

καὶ περιβόητον πᾶσιν ἀνθρώποις ποιεῖ
αὑτὸν ὁ Κράτης, καὶ τοῦτο δὴ τὸ λεγόμενον
ἥττων ἑαυτοῦ πορνιδίῳ τρισαθλίῳ
ἑαυτὸν οὕτω παραδέδωκεν.

Ammonius Differ. 42 διαβόητος μὲν γάρ ἐστιν ὁ ἐπ' ἀρετῇ πολυθρύλητος, περιβόητος δὲ ὁ ἐπὶ κακίᾳ· κτλ. 1. ποιεῖ add. Porson. Dobr. Arist. Nub. 993. 2. αὑτὸν Ald.] αὑτὸν παραδίδωσιν. Κράτης Pors.] ἀκρατής.

121. 122

οἴει δ' ἑταίρας τὸν σοφιστὴν διαφέρειν;
. . . .
παιδεύομεν δ' οὐ χεῖρον ἡμεῖς τοὺς νέους.
σύγκρινον, ὦ 'τάν, Ἀσπασίαν καὶ Σωκράτην·
τῆς μὲν γὰρ ὄψει Περικλέα, Κριτίαν δὲ τοῦ
ἑτέρου μαθητήν.

Alciphron 1, 34. 4. 7. 1. διαφ. ἑτ. σοφ. 3. ἐπεὶ σύγκρ. εἰ βούλει, Α. . . καὶ Σ. 4. ὄψει μαθητὴν Π., τοῦ δὲ Κριτ.

123

(*Κόρινθος*)

δυοῖν θαλάτταιν ἐν μέσῳ παρακειμένη,
χαρίεσσ' ἰδεῖν μὲν κἀμφιλαφῶς τρυφημάτων
ἔχουσα, τοὺς δ' οἰκοῦντας ἀχαρίτους τε καὶ
ἀνεπαφροδίτους (θαυμασίως) κεκτημένη.

Alciphron 3, 60, 3. 1. κειμένη. 2. χαρίεσσα μὲν ἰδ. καὶ ἀμφ. ἔχ. τρ. 3. οἰκ. δὲ ἀχ. καί. 4. θαυμασίως exempli causa add. — de voce ἀμφιλαφής cf. Ruhnken. Tim. 26. 7. antiquae comoediae esse potuisse non crediderim.

124

(ὁ κουρεύς)

πανοῦργος ἦν καὶ σκαιός· ἔλαθε τοῦτο γὰρ
ποιῶν παρὰ μέρος κοὐ κατὰ πάσης τῆς γνάθου,
καὶ πολλαχοῦ δασεῖαν, ἀλλαχοῦ δὲ καὶ
λείαν κατέλιπε τὴν σιαγόνα . . .

Alciphron 3, 66. 1. γὰρ τοῦτο (τὸ κείρειν). 2. παρὰ μ. ποιῶν. 3. ὥστε ὑπολειφθῆναί μοι π. μὲν δασ., πολλαχοῦ δὲ λείαν κτλ.

125

ἐμέ, Νικόμαχε, πρὸς τὸν στρατιώτην τάξατε·
ἂν μὴ ποιήσω πέπονα μαστιγῶν ὅλον,
ἂν μὴ ποιήσω σπογγιᾶς μαλακώτερον
τὸ πρόσωπον —

Plutarchus Mor. 62e δεῖ πρῶτον ἐν ταῖς ἐπαγγελίαις σκοπεῖν τὴν διαφοράν. εὖ γὰρ εἴρηται καὶ τοῖς πρὸ ἡμῶν φίλου μὲν ἐκείνην εἶναι τὴν ἐπαγγελίαν· 'εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί.' κόλακος δὲ ταύτην· 'αὔδα ὅ τι φρονέεις'. καὶ γὰρ οἱ κωμικοὶ τοιούτους εἰσάγουσιν κτλ. 2. ἂν] fortasse κἂν. deest apodosis. non recte Madvig. Advers. crit. I 616 μαστίγου μ' ὅλον. Menandri esse probabile est, e *Colace* excerptos Wyttenbachius existimabat. Terent. Eun. 4, 6. 7, Plaut. Mil. glor. 5, 31, Lucian. Dial. mer. 9 contulit Mein.

126

ἀρετὴ
καὶ τὸ καλὸν αὔτ' οὐκ οἶδ' ὅποι τότ' οἴχεται
ἔπη πτερόεντ' ὄνθ' ὡς ἀληθῶς καὶ μάτην
ἐν ταῖσι διατριβαῖς σκιαμαχούμενα.

Lucian. Pisc. 35 extr. ἡ ἀρ. καὶ τὸ κ. οὐκ — οἴχεται ... πτερόεντα ὡς ἀληθῶς ἔπη, μάτην ἐν ταῖς δ. σκ.

127

ἄπολις, ἄοικος, πατρίδος ἐστερημένος,
οὐκ ὀβολόν, οὐ δραχμὴν ἔχων, οὐκ οἰκέτην,
ἀλλ' οὐδὲ μᾶζαν, ἧς Ἐπίκουρος εὐπορῶν

οὐδὲ τῶν θεῶν φησιν εἰς εὐδαιμονίας λόγον ἐλαττοῦσθαι. Iulian. Orat. 6, 195b. v. 1 idem ad Themist. 256d τὸν Διογένους ἐκεῖνον 'ἄπολιν, ἄοικον — ἐστερημένον'. ac v. 1 cum altero πτωχὸς πλανήτης, βίον ἔχων τοὐφήμερον Diog. L. 6, 38 narrans Diogenem

Sinopensem τὰς τραγικὰς ἀρὰς αὐτῷ συνηντηκέναι λέγειν. cf. Aelian. V. h. 3, 29 Διογένης ὁ Σινωπεὺς συνεχῶς ἐπέλεγεν ὑπὲρ ἑαυτοῦ, ὅτι τὰς ἐκ τῆς τραγῳδίας ἀρὰς ἐκπληροῖ. cf. Tr. gr. fr. adesp. 107 Nauck. 2. οὐ δρ., οὐκ οἰκ. ἔχων. ἔχων οὐδ' οἰκέτην G. Kaibel. Philol. Anzeig. IIII 59. — adparet comicum aliquem tragici versus (Euripidis secundum Mein. Exerc. Ath. I 48) in suum usum detorsisse.

128

τί οὖν ἐκεῖνοι τοὺς λίθους στεφανοῦσι καὶ
κάουσι δεῖπνα πολυτελῆ κἀς τοὺς βόθρους
μελίκρατον ἐκχέουσιν, ὡς γοῦν εἰκάσαι;

Lucianus Charon. 22. στεφ. τοὺς λίθους . . . καὶ βόθρον τινὰ ὀρύξαντες καίουσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα καὶ ἐς τὰ ὀρύγματα καὶ μελίκρ. ὡς γ. εἰκ., ἐκχ.; — tales sententiae in nova comoedia frequentes. inridet autem mortuorum inferias.

129

καὶ γὰρ μετὰ Κάλλα γέγονα καὶ μετ' Αἰχμία,
καὶ μετὰ Μενοίτα καὶ μετὰ Περδίκκα πάλιν,
καὶ ναί γε μὰ Δία τρίτον ἔτος μετὰ Κινησία.

Schol. Hermog. Walz. Rhet. V 485 τῶν κωμικῶν τις περί τινος ἀλαζόνος στρατιώτου φησί κτλ. ᾱ πρὸς ἑκάστην τὴν τελευτὴν προσθεὶς ἐπέραινεν ὀνόματα πλατύτατα ἐξειργασμένος. ad Menandri *Μισούμενον* referebat Mein. Menand. edit. pr. p. 117. 1. *Κάλλα* Mein.] καλά. μετ' *Αἰχμία* Mein.] μεταίχμια Ven. μετ' ἀκμεῖα Paris. μεταγμαῖα tres alii libri. μετ' Ἀλκέτα Schneidewin. μετ' Ἀγαλλία Mein. olim. 2. μετὰ Μενοίτα καὶ μετὰ Περδίκκα Ven.] μετὰ νύκτα καὶ Περδίκκα Monac. et tres Par. 3. ναί γε Ald.] νή γε. καὶ ναὶ μὰ Δία τρίτον γ' ἔτος μετὰ Κινέα Mein. καὶ νὴ Δὶ τρίτον ἔτος γε μετὰ Κινησία G. Herm. Mein. V 121.

'sunt gloriabundi militis verba, quorum ducum auspiciis stipendia fecerit magnifica quadam iactantia enarrantis.' Mein. Quaest. Men. 50. *Callas,* Harpali filius, mercennariorum dux Alexandri m. successorumque eius aetate celeberrimus, iam Ol. 111, 2 in Asia contra Persas pugnabat (Diodor. 17, 7 extr.). Thessalorum equitum dux est Ol. 111, 3 (Diodor. 17, 17), etiam in pugna apud Granicum commissa (Arrian. 1, 14, 3); post Alexandri mortem Casandri partes secutus est. (Diodor. 19, 35. 36 extr. Ol. 116, 1). cf. etiam Curt. 3, 1, 24. Droysen. Hellen. I 247. 250. *Acchmias* mihi quidem ignotus. *Alcetas,* Epiri rex (Diodor. 19, 88. 9 Ol. 117, 1), non videtur

significari. alter *Alcetas,* Perdiccae frater, commemoratur Plut. Alex. 55. Eumen. 5. 8. cf. Droysen. Hellen. I 108. 110. 115. 143. 158. 174. 5. 8. sed scribendum videtur *μετ' Ἀλκία.* Arrian. 1, 29, 4 (*εἰς Γόρδιον ἧκον*) *ἱππεῖς Ἠλείων ἑκατὸν καὶ πεντήκοντα, ὧν ἡγεῖτο Ἀλκίας ὁ Ἠλεῖος.* equitum dux fuerat etiam Callas. 2. *Menoetas* dux Macedonum est Diodor. 19, 47 (Ol. 116, 1).

130

μηδέποτε πεῖραν τοῖς θεοῖς εὔχου λαβεῖν,
Φαίδιμε, τοιούτου μηδενός, μηδ' εἰδέναι
ὡς ἔστιν ἑτέρῳ ῥάδιον παραινέσαι.

Stobaeus Floril. 114, 4 sine lemmate.

131

εἰ μνημονεύεις εὖ παθὼν φιλεῖς τέ με,
ἀπέχω πάλιν, Φιλῖνε, παρὰ σοῦ τὴν χάριν·
τούτου γὰρ αὐτὴν ἕνεκα πρὸς σὲ κατεθέμην.

Porphyrius De abstin. 2, 61 (p. 121, 14 Nauck.) *οὐ γὰρ δὴ ἄνθρωπος μὲν ἐρεῖ κτλ. θεὸς δὲ οὐκ ἀρκεῖται τούτοις.* 2. *πάλιν* Mb et Bodl.] *πάλαι. Φιλῖνε παρὰ σοῦ τὴν χάριν* Grot. Excerpt. 911] *φιλεῖν ἀπαλάσσου χάριν. φιλεῖν ἐπαράσσου τὴν χ.* cod. Meerm. 3. *ἕνεκα* Grot.] *ἕνεκεν. ἕνεκεν ὡς σὲ* Nauck. Philol. VI 425. 'suavissimum fragmentum, tenerum ac molle Menandri spirans ingenium'. Cobet. V. l.[2] 188 n. 1.

132

παραπλήσιον πρᾶγμ' ἐστὶ γῆρας καὶ γάμος.
τυχεῖν γὰρ αὐτῶν ἀμφοτέρων σπουδάζομεν,
ὅταν δὲ τύχωμεν ὕστερον, λυπούμεθα.

Stobaeus Floril. 68, 26 *Θεοδέκτου* A. at tragici esse non potest. cf. quae Nauck. adnotavit ad Theod. fr. 13 (p. 626). 'fortasse *Θεογνήτου*' Mein. 3. melius conveniet *ὅταν τύχωμεν δ'. ὅταν δ' ἔχωμεν* Nauck.

133

νῦν τῶν κατ' ἄστυ πραγμάτων ἀπαλλαγεὶς
εἰς τὸν ἀγρὸν εἶμι κἀνδρὶ συνέσομαι φίλῳ
καὶ γῆθεν ἀναμένοντι τὴν ἐπικαρπίαν.

Alciphron 3, 70, 1. 1. *εἰ τῶν.* 2. *βαδιοίμην καὶ συνεσοίμην … ἀλλὰ γῆθεν.*

134

ὁ γὰρ γυναικὸς ἐνδεθεὶς φίλτροισιν ἢ
τέκνων ἀνάγκῃ φύσεος ἐπιμελούμενος
γέγονε λεληθὼς δοῦλος ἀντ' ἐλευθέρου.

Eusebius Praep. ev. 8, 11, 17. 1. φίλτροις ἐνδ. 2. φύσεως προκηδόμενος. 3. ἀντ' ἐλ. δοῦλος.

135

τὰ πανοῦργα ταῦτ' ὀψάρια χὐποτρίμματα

Plutarchus Mor. 126a ὀψοποιῶν δὲ τέχναι καὶ δημιουργῶν καὶ τὰ πανοῦργα ταῦτα ὀψάρια καὶ ὑποτρίμματα, κατὰ τὸν κωμικόν, ἀεὶ τοὺς ὅρους τῆς ἡδονῆς μετατίθησιν εἰς τοὔμπροσθεν καὶ παραλλάττει τὸ συμφέρον. etiam extrema haec poetae videntur esse: τοῦ συμφέροντος τοὺς ὅρους τῆς ἡδονῆς | ἀεί τι μετατίθησιν εἰς τοὔμπροσθεν. τοῦ συμφέροντος pendet a τοὔμπροσθεν. — χὐποτρ. Mein.] καὶ ὑπ., conl. χὐπέρ Iph. Aul. 1389. addo χὐπερορρωδοῦσα Eurip. Suppl. 344. χὐπὸ Ion. 1270. Cycl. 207. Iph. Aul. 1118.

136

. . . . . οὐκ ἀπὸ πονηροῦ λήμματος
οὐδενὸς ἐφ' οἷς ῥήγνυσθε ταῦτ' ἐκτησάμην,
ἀλλ' ὀβολὸν ὀβολῷ προστιθείς, δραχμῇ δραχμήν.

Libanius IIII 202, 5. 1. οὐδ' ἀπ' ἄλλου π. 2. ταῦτ' ἐφ' οἷς ῥήγνυσθε ὑμεῖς. 3. καὶ δραχμῇ.

137

. . . . . οὐδενὸς δεῖσθαι λέγων
ἕκαστος αὐτῶν, ἀλλὰ μικρὸν ὕστερον
δεῖται προσελθὼν κἀγανακτεῖ μὴ λαβών.

Lucianus Pisc. 35 init. μηδενὸς — αὐτῶν (τῶν φιλοσόφων) ἀλλὰ μόνον πλούσιον εἶναι τὸν σοφὸν κεκραγὼς μικρὸν κτλ. ad Euripidis *Telephum* refert Fritzschius v. 2, mihi omnia comoediae videntur deberi.

138

. . . . . οἶδε γὰρ συνουσία
φαύλη κακύνειν, ὥσπερ αὖ τοὐναντίον
ποιεῖν ἀμείνους τῶν καλῶν ὁμιλία.

Eusebius Praep. ev. 6, 6, 42 Dind. — *κακύνειν* hac significatione apud antiquiores inveniri non memini.

139

. . . . . *οὐδὲ τὴν νευρὰν Ἔρως*
μετρίως ἐνέτεινεν, ἀλλ' ὅσον εἶχεν ἰσχύος
προσελκύσας τὰ τόξα διαφῆκεν βέλος.

Aristaenetus Epist. 1, 10 (p. 140 Hercher.). 1. *ὅθεν ὁ Ἔρ. οὐ μ. ἐνέτ. τὴν ν.* 3. *σφοδρότατα διαφῆκε τὸ β.*

140

σίζουσι τηγάνοισι περιηχούμενοι
τὸν πάντα τ' ἀμφ' ἴγδιν τε κἀλετρίβανον
. . . . . . *κατατρίβοντες βίον.*

Clemens Alex. Paed. 2, 1, 3 *ταγήνοις σ. π., ἀμφὶ τὴν ἴγδιν καὶ τὸν ἀλ. τὸν π. αὐτῶν κ. β. οἱ πάμφαγοι.* de articulo omisso cf. Eupol. 346. Anaxandr. 33, 3.

141

εἰς μελίπηκτα καὶ
τραγήματ' ἐξώκειλεν, ἐπιδορπισμάτων
εὑροῦσα πλῆθος, παντοδαπὰς θηρωμένη
(γεύσεις).

Clemens Alex. Paed. 2, 1, 4 *(ἡ λιχνεία) εἰς τὰ πέμματα καὶ τὰ μελ., πρὸς δὲ καὶ εἰς τὰ τρ. — πλῆθος εὑρίσκουσα, π. θ. ποιότητας.*

142

ἅπαντ' ἀφανίζει γῆρας, ἰσχὺν σώματος,
ἀκοήν, ὅρασιν, κάλλος· οὐκέθ' ἡδονὴ
ἔστιν.

Cod. Vindob. 1 et 2 post Menandri monost. 32. 2. *οὐκέτι ἡδονήν* Vind. 2.

143

καλὸν
πρόσρημα μισάνθρωπος ὠνομαζόμην
προσηγορίαν ἀπὸ τοῦ τρόπου μεταλαμβάνων.

Libanius IIII 185, 25. 2. *ὠν., ἀλλ' οὐ Τίμων ἔτι, τὴν πρ. κτλ.* fortasse ex Antiphanis *Timone* excerptum.

144

εἰς ὗς μετέβαλε ποικίλων τε θηρίων
ὄψεις . . .
τροφήν τ' ἐχορήγει τὴν ἑκάστῳ πρόσφορον.

Libanius IIII 155, 7 *εἰ καὶ μετέβαλεν (ἡ Κίρκη) εἰς σύας καὶ π. θ. ὄψ., ἤδη καὶ τροφὴν ἐχ. κτλ.* *Circe* fuit Ephippi et Anaxilae.

145

τὰς σὰς θεραπεύω μᾶλλον ἀγκάλας ἐγὼ
ἢ τὰς ἁπάντων τῶν σατραπῶν καὶ βασιλέων
αὐλάς.

Alciphron 2, 3, 9. 1. *ἐγὼ* add. 2. *ἢ τὰς αὐλὰς ἁπ. κτλ.* fortasse Menandri sunt: est enim epistula Menandri ad Glyceram. cf. Menand. 897.

146

οἷς
τὰ περιδέραια ταῦτα καὶ θεάματα
τὰ κορασιώδη παραβαλεῖν οὐκ ἄξιον.

Plutarchus Mor. 528 a *μαθημάτων κάλλος . . . ὧν τίνι τὰ τοῦ πλούτου φάλαρα ταῦτα καὶ π. καὶ θ. κορασ. π. ἄξιον;*

147

γνώμη γὰρ οὐδέν ἐστιν, ἡ τύχη δὲ πᾶν,
ἧς ἡδὺς ὁ τυχὼν ἔστι καὶ νομίζεται.

Alciphron 3, 44 extr. *οὐδὲν γὰρ ἐν ἀνθρ. γνώμη, πάντα δὲ ἡ τ., καὶ ταύτης ὁ τ. ἡδ. κτλ.* — cf. Menand. 482, 2.

148

οὐδὲν καλύπτει νὺξ κακῶς εἰργασμένον·
ὅ τι δ' ἂν ποιῇς, ἀεὶ νόμιζ' ὁρᾶν τινα.

Stobaeus Ecl. 1, 3 (4), 29 'incerti comici'. Wachsm. Menandri esse censebat G. Herm., duo fragmenta, unum tragici, alterum comici, Mein. — 1. *οὐδ' ἓν* P². *οὐδ'* (vel *οὐκ*) *ἐγκ.* Theophil. Autol. 2, 17. *νὺξ* Theoph.] *τῶν* FP. *εἰργασμένον* Theoph.] *εἰργασμένων* FP. *χρόνος| οὐδὲν κ. τῶν κτλ.* Mein. *οὐδὲν καλυπτὸν τῶν* O. Hens. 2. *δ'* om. Theoph. *ποιεῖς* P. *ἀεὶ* FP] *δεινὸν* Theoph. *τινα* Theoph.] *τινας* FP. — cf. Diels. Mus. Rhen. XXX 176. 8. 9.

149

ἕτερον δὲ συκῆ καὶ δάφνη καὶ μυρρίνη,
ἐφ' οἷς φρονοῦσιν οἱ τρισάθλιοι μέγα.

Socratic. Epist. 36 (p. 635a Hercher.). 1. καὶ μυρρ. καὶ δ. 2. μέγα φρ. οἱ κτλ. Academicorum διαιρέσεις (ut Epicrat. fr. 11) inrideri censet qui primus haec verba comici esse vidit Hercherus Herm. VIII 223. 4. possunt tamen etiam ad Theophrasti scholam pertinere.

150

ὅ τι μόνον ἡμῖν προῖκ' ἔδωκαν οἱ θεοί,
τὸν ὕπνον, τί τοῦτο πολυτελὲς σαυτῷ ποιεῖς;

Plutarchus Mor. 166b ἀλλ' ὅ γε κωμικὸς οὐκ ἀηδῶς εἴρηκέ που πρὸς τοὺς καταχρυσοῦντας τὰ κλινίδια καὶ καταργυροῦντας ὅ τι μόνον ἔδωκαν ἡμῖν οἱ θεοὶ προῖκα, τὸν ὕπνον, τί καὶ τοῦτο κτλ. emend. Mein. Hercherus ὅτι Plutarcho relinquens post ὕπνον plenius interpunxit.

151. 152

ὦ φιλτάτη κλίνη.
Βακχὶς θεόν σ' ἐνόμισεν, εὔδαιμον λύχνε·
καὶ τῶν θεῶν μέγιστος, εἰ ταύτῃ δοκεῖς.

Plutarchus Mor. 513f τοῖς ἐρωτικοῖς ἡ πλείστη διατριβὴ περὶ λόγους μνήμην τινὰ τῶν ἐρωμένων ἀναδιδόντας, οἵ γε κἂν μὴ πρὸς ἀνθρώπους, πρὸς ἄψυχα περὶ αὐτῶν διαλέγονται· ὦ — κλίνη· καὶ Βακχὶς κτλ. 3. σὺ τῶν vel κ' εἶ (κεἶ) τῶν Reisk. μέγιστος εἶ, τ. δοκῶν Mein. τ. δοκεῖν Boisson. Anecd. V 492. Nauck. Philol. VI 425. H. Iacobi V cccxlviii. quae Naberus excogitavit Mnem. nov. VIII 435, ea eo minus admitti possunt, quod Plutarchus de *lacta* amantium recordatione agit. fortasse sermo abruptus est, ita fere explendus κᾆτ' ὢν θεῶν μέγιστος, εἰ τ. δ. (si Bacchidi placet), μὴ προσκυνῶ σε; anacoluthia frequentissima. — fortasse ad Menandri Δὶς ἐξαπατῶντα haec pertinebant.

153

τὰ δ' Ἴσθμι' ἀποδοίμην ἂν ἡδέως ὅσου
ὁ τῶν σελίνων στέφανός ἐστιν ὤνιος.

Plutarchus Mor. 676c καὶ τοῦτο ἔστι μὲν ἐν τῇ κωμῳδίᾳ φιλαργύρου τινὸς ἀκοῦσαι λέγοντος κτλ. σελίνων enim corona Isthmiaca erat. Diphil. 32, 33. Menandro tribuebat Mein. Quaest. Men. 52.

154

ἀμορφότατος τὴν ὄψιν εἰμὶ γὰρ Φόβος,
πάντων ἐλάχιστον τοῦ καλοῦ μετέχων θεός.

Sextus Emp. Adv. dogm. 5, 122 *εἰ δὲ ὁ ἔλεος θεός ἐστι, καὶ ὁ φόβος ἀμορφότατος μὲν τὴν ὄψιν κτλ. ἀμ. γάρ εἰμι τὴν ὄψιν θεός, πάντων — Φόβος* K. ex prologo comoediae. Rutil. De fig. 2, 91 *poetae qui fabulas scripserunt in prologis..humana figura produxerunt personas quae in veritate...sunt non personae.* cf. Menand. 545.

155

ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται,
ἢ χωλός ἐστιν ἢ οὐ δίδωσι συμβολάς.

Schol. Theocr. 7, 24 *οἱ γὰρ κεκλημένοι σπεύδουσιν. ἐπὶ δὲ τῶν βραδυνόντων παροιμία κτλ.* v. 1 Apollon. Synt. 2, 7 p. 106, 20 Bekk. *ὡς ἐν τῷ κτλ.* 1. *ὀψὲ κληθεὶς* cod. L] *κληθεὶς ὀψέ.* cf. Menand. 364. Apostol. 13, 15 *οὐδέποτε κληθεὶς ἐπὶ δεῖπνον ὕστατος ἀφικόμην· τοῖς τρεχεδείπνοις τοῦτο ἁρμόδιον,* quae videntur excerpta esse ex Plut. Mor. 726b.

156

ἀλλ' εἴθε μήτε πρότερον ηὐξάμην τάλας
μήτ' ἔσχον ἐπινεύουσαν εὐθὺς τὴν τύχην.

Libanius IIII 212, 14, ubi *μηδὲ — μηδ'. ἀλλ', τάλας, εὐθὺς* add. — loquitur avarus, cui thesaurus inventus perniciosus fuit.

157

καὶ γὰρ καθεύδων διαλέγεσθαί σοι δοκῶ,
κᾆτ' ἠνιάθην, ὅτι ὄνειρος ἦν ἄρα.

Procopius Epist. 50. 1. *καὶ καθ. προσδιαλ.* 2. *καὶ..ἠνιάθην ὅτι περ ὄν. ἦν.*

158

ἀβαρὲς γὰρ ὅρκος χρῆμα σοί γ' εἶναι δοκεῖ,
ὃ παντὸς ἄχθους ἐστὶ δυσφορώτερον.

Theophylactus Simoc. Epist. 67. 1. *ἀβ. γάρ τι χρ. ὁ ὅρκ. εἶναι δ.* 2. ὃ] *καί.* amantium iusiurandum dicit.

159

(πολλοὶ)
φίλοι λεγόμενοι συμπιόντες εἰσάπαξ
ἐκ πανδοκείου καὶ παλαίστρας κἀγορᾶς

φιλίαν συλλέγουσιν. Plutarchus Mor. 94a. 1. *ἅπαξ.*

160

τῶν γειτόνων γὰρ δυσμενὴς καὶ βάσκανος
οὑφθαλμός, ὥσπερ φησὶν ἡ παροιμία.

Alciphron 1, 15 init. *δυσμ. καὶ β. ὁ τ. γ. ὀφθ., φησὶν ἡ π.*

161

ὁ δὲ παιδαγωγὸς ἔνοπλος ἑπόμενος, φορῶν
βακτηρίαν ἢ σκῦτος ἐν τῇ δεξιᾷ.

Libanius IIII 868, 22. 27. 1. *π. . . ἔν., ὡς ἄν τις εἴποι, ἑπ.* (*τῷ παιδί*), *β.* — *δεξιᾷ προφέρων.* deploratur per ironiam puerorum servitus.

162

λόχος δ' ἐμοί τις ἐξαπίνης ἀναφαίνεται
νέων ἀγερώχων ἐπ' ἐμὲ συντεταγμένων.

Alciphron 3, 37, 1 *εἶτά μοι λ. ἐξαίφνης κτλ.* consulto risus excitandi causa Homerico epitheto (*ἀγερώχων*) usus est. loquitur anus timida.

163

στοιχεῖα ταῦτα τῆς ἀρετῆς ἐστιν δύο,
ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας.

Plutarchus Mor. 12c *δύο γὰρ ταῦτα στ. τ. ἀρ. ἐστιν κτλ.*

164

ὄψει γὰρ οὔποτ' αὐτὸν οἰκείῳ πάθει
μισοῦντα καὶ χαίροντα καὶ λυπούμενον.

Plutarchus Mor. 53 init. *ὄψεται γὰρ αὐτὸν* (*τὸν κόλακα*) *οὐδαμοῦ...οἰκ. π. φιλοῦντα καὶ μ. κτλ.*

165

εἰ δ' οὐκ ἐρᾷς, τί γὰρ δακρύεις καὶ στένεις
κλύδωνα σαυτῷ προσφέρων αὐθαίρετον;

Theophylactus Simoc. Epist. 57. *τί δακρ. — καὶ κλ. σ. προσφέρεις αὐθ.*

166

ἀλλ' οὔτε δούλους οὔτε μὰ Δί' ἄν τις φίλους
κτήσαιτο πολλοὺς ἀπ' ὀλίγου νομίσματος.

Plutarchus Mor. 93e *οὔτε γὰρ δ. οὔτε φ. ἔστι κτήσασθαι κτλ.*

167

τὰ δ' ἀγαθὰ διεχῆ καὶ συνιόντα δυσκόλως
μόλις πρὸς αὐτοῖς τοῦ βίου τοῖς τέρμασιν.

Plutarchus Mor. 115 f *στρογγύλα εἶναί φασι* (*τὰ κακὰ*) *καὶ συνεχῆ, τὰ δ' ἀγαθὰ διεχῆ τε καὶ δυσκ. συνερχόμενα πρὸς κτλ.*

168

οὐ γὰρ Δανάης ἔχεις τὸ κάλλος οὔτε σὺ
σεμνότερον, οὔτ' ἐγὼ Διὸς εὐπορώτερος.

Theophylactus Simoc. Ep. 81. 2. *οὔτε Δ. ἐγὼ πλουσιώτερος.* vel *οὔτε πλουσιώτερος Διὸς | ἐγώ.*

169

τὸ τόξον ἐκπέπτωκε, καὶ δοῦλος κόρης
καλῆς ὁ πολλῶν δεσπότης ἐδείκνυτο.

Libanius IIII 1072, 23. Amori ipsi pulchram puellam conspicienti arma excidunt.

170

ἀμέλει πολλάκις
ὁ βραχὺς ἐκεῖνος τοξότης ἀκίδος βολῇ
μικρᾶς περιττὸν καὶ τὸν Ἄρη

(*ἀποφαίνει*). Aristaenetus Ep. 1, 15. 1. *ἀμ. τοι π.* 2. *μικρᾶς ἀκίδος βολῇ.* 3. *καὶ αὐτὸν τὸν Ἄρη π.*

171

ὦ μακαρία,
ἥτις ἐν ἔρωτι καὶ τοιαύταις παιδιαῖς
οἴει (*τανῦν*) *τὰ πράγματ' εἶναι.*

Lucianus Iupp. trag. 2 extr. 2. *ταῖς τοιαύτ.* — *τὰ πράγματα ἡμῖν. τανῦν* add. K. indicavit Mein. II 595.

172

ταχὺ γὰρ ἐλπίσας
Ἔρως πτεροῦται, κᾆτ' ἀπελπίσας ταχὺ
πτερορρυεῖν εἴωθεν.

Alciphron 2, 1, 5 *ὀξύς ἐστιν Ἔρως . . καὶ ἐλθεῖν καὶ ἀποπτῆναι. ἐλπίσας πτεροῦται, ἀπελπίσας κτλ.* prorsus eadem (ut ex eadem comoedia) Aristaenet. 2, 1.

173. 174. 175

βακτηρία,
τρίβων, κόμη, τοὐντεῦθεν ἀμαθία, θράσος
καὶ πάνθ' ἁπλῶς τὰ τοιαῦτα.

Iulianus 7, 225b *οὐδὲ γὰρ ἐν παροιμίᾳ περιφερόμενον αὐτὸ γιγνώσκουσι τὸ ὅτι βότρυς πρὸς βότρυν πεπαίνεται. ὁρμῶσιν ἐπὶ τὸν κυνισμόν. β. — τὸ ἐντ. — θράσος, ἰταμότης καὶ πάντα κτλ.* cf. adesp. 239. etiam proverbium *βότρυς (γὰρ) πρὸς βότρυν πεπαίνεται* ex comoedia excerptum. neque minus Lucian. Bis acc. 8 *ἁπανταχοῦ | πώγων βαθὺς καὶ βυβλίον ἐν τἀριστερᾷ.*

176

τὸν θρυλούμενον
ἁλῶν μέδιμνον συγκατεδηδοκὼς χρόνῳ
ἔστω φίλος σοι.

Plutarchus Mor. 94a *τὸν θρ. ἐκεῖνον χρ. τῶν ἁλ. συγκ. μέδ. (φίλος ἔστω).*

177

οὐκ ἔστι γὰρ
μὴ συναδικεῖσθαι μηδὲ συναδοξεῖν φίλον
μηδὲ συναπεχθάνεσθ'.

Plutarchus Mor. 96ab *ἐπείπερ οὐκ ἔστι φίλον μὴ συναδικ. μηδὲ συναδοξ. μηδὲ συναπεχθάνεσθαι.*

178

. . . ἁρμόττει γὰρ ἡ μαγειρικὴ
ἀλλ' οὐδὲ τοῖς τυχοῦσι τῶν ἐλευθέρων.

Athenaeus 14, 661de *οἱ τὰ Ὀψαρτυτικὰ συγγράψαντες Ἡρακλείδης τε καὶ Γλαῦκος ὁ Λοκρὸς οὐχ ἁρμόττειν φασὶ τὴν μαγειρικὴν κτλ.* trimetrum Dindorfius agnovit. scilicet Heraclides et Glaucus ipsi iam comoediae versus aliquot attulerant. coquos initio liberos fuisse, non servos satis constat.

179

(αἱ παροψίδες)
. . . ἐντίκτουσι ποικίλας βλάβας,
στομάχων ἀνατροπάς, σωμάτων καχεξίας.

Clemens Alex. Paed. 2, 1, 2 *αἱ μὲν οὖν πολυειδεῖς ποιότητες ἀποπτυστέαι, π. ἐντίκτουσαι βλ., καχ. σωμ., ἀν. στ.*

180

. . . ἀσφαλέστερος καθίσταται
γάμος ἐκ πόθου τὴν πρόφασιν ἐξευρών τινος.

Aristaenetus Ep. 2, 8. *ἀσφαλέστερος* Herch.] *ἀσφαλέστερον.* 2. *ἐκ π. τινὸς τ. πρ. εὐτυχήσας.*

181

. . . τοῖς παροῦσι δ' οὐκ ἀρκούμενος
Αἰγυπτίους τε καὶ Σύρους φαντάζεται.

Aelianus Epist. 18 *οὐδὲ ἀρκ. τ. παρ. Αἰγ. καὶ Σ. φ.* — agricola significatur, qui agello relicto mercator factus est. ac plura in illa epistula ex comoedia videntur fluxisse.

182

. . . οὔτε στρεβλὸν ὀρθοῦται ξύλον
οὔτε γεράνδρυον μετατεθὲν μοσχεύεται.

Galenus VIII 656 Kuehn. *τὸ τοῦ κωμικοῦ ὡς κτλ.* Diogenian. 6, 92. indicavit Leutsch. cf. Nauck. Philol. IIII 360. 2. *γερανδριὸν* Kuehn. *γεράνδρυον οὔτε* Nauck. 'videtur Galenus nonnihil omisisse, ut numeri restitui non possint'. Cobet. Mnem. nov. VIIII 399. Zenob. 3, 1 *γεράνδρυον μεταφυτεύειν· ἐπὶ τοῦ ἀδυνάτου. παρεγγυᾷ δὲ ὅτι μὴ δεῖ τοὺς παρηβηκότας προάγειν εἰς τὰ τῶν ἀκμαζόντων ἔργα.* cf. Diogenian. 3, 77. Greg. Cypr. Mosq. 2, 76. Apostol. 5, 32. Menand. 711.

183

. . . πενίᾳ μαχόμενοι πεπαύμεθα,
δυσνουθετήτῳ θηρίῳ καὶ δυσκόλῳ.

Theophylactus Simoc. Ep. 29 *πεπ. πεν. μ.* indicavit Nauck. Philol. V 558 conl. Isidor. Pelus. 4, 89 p. 460d *τῷ δυσνουθετήτῳ θηρίῳ μαχόμενοι τῇ πενίᾳ.* cf. Menand. 932. sequuntur apud Theophylactum haec: *ἡ δίκην ἕλκους περιπλέκεται καὶ φιλοσύνηθές ἐστι κακόν, ῥᾳθυμοποιόν, κατηφές, πρὸς λύπην ἀπαρηγόρητον, πρὸς ἀνίαν ὀξύρροπον, ἄγρυπνον, φιλομέριμνον, ἐπίμοχθον, κακῶν ἐφευρετικόν, ἄδοξον, εὐκαταφρόνητον, ἀνεπίφθονον· οὐ γάρ τις ἐθέλει τηλικούτῳ κακῷ συναντᾶν, οὐδ' εἰ τὴν Ὀρέστου μανίαν κατακριθείη νοσεῖν.* in quibus vestigia versuum reperire facilius est quam versus ipsos.

184

οὐ γὰρ τὸν ἑαυτῶν νοῦν ἐπέχωσαν ταῖς τροφαῖς
οὐδ' ἠπάτησαν ἡδοναῖς.

Clemens Alex. Paed. 2, 1, 5 οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι . . . οὐ γὰρ ἐπέχ. τὸν ν. ταῖς τρ. οὐδὲ ἠπ. αὐτὸν ἡδ.

185

ὅταν δὲ νυστάζοντά μ' ἡ λύπη λάβῃ,
ἀπόλλυμ' ὑπὸ τῶν ἐνυπνίων.

Plutarchus Mor. 100f ὁ καθεύδουσι τοῦ σώματος ὕπνος ἐστὶ καὶ ἀνάπαυσις, τῆς δὲ ψυχῆς πτοῖαι καὶ ὄνειροι καὶ ταραχαὶ διὰ δεισιδαιμονίαν κτλ. φησί τις. 1. μ' ἡ Xyland.] με. μὲν (i. e. με ἡ) T. λύπη] κλίνη Herwerd. Anal. crit. 36. 2. ὑπὸ τῶν ἐνυπνίων αὖ τάλας ἀπόλλυμαι Toeppel. Progr. Neobr. 1867, 20, conl. Arist. Ach. 163. 4. Lys. 760. Dion. Chrys. 6, 93 κοιμώμενον ἀναστῆναι (τὸν μέγαν βασιλέα) τὴν ταχίστην, ἅτε ὑπ' αὐτῶν τῶν ἐνυπνίων ἀπολλύμενον.

186

ἀνακλάσας τὸν αὐχένα
ἐφίλησεν οὕτω προσφυῶς τῆς Θαΐδος —

Lucianus Dial. mer. 3, 2. 2. τῆς Θ. ἐφ. οὕτω πρ. — constr. ἐφίλησεν τὸν αὐχ. τῆς Θ. ac fortasse transponenda sunt τὸν αὐχένα et τῆς Θαΐδος.

187

ἀλλ' ὅσῳ προφανεστέρα
πρόφασις, τοσούτῳ πλέον ἀποστραφήσεται.

Libanius IIII 156, 6. 1. προφανεστέρα Reisk.] προφανής. 2. ἡ πρ. — parasitus fore ut patronus excusatione nihil moveatur dicit.

188

Athenaeus 9, 408a ἐκ τούτων δῆλόν ἐστιν ὅτι Τηλέμαχος κυάμων χύτρας ἀεὶ (αἰεὶ A) σιτούμενος ἦγε Πυανέψια πορδὴν ἑορτήν. κυάμων χύτρας σιτούμενος Πυανέψια | πορδὴν ἑορτὴν ἦγε vel κυάμων χύτρας ἀεὶ σιτούμενος | πορδὴν (πορδῶν?) ἑορτὴν ἦγε Mein. sed nomine opus est. fortasse σιτούμενος δὲ Τηλέμαχος κυάμων χύτρας | Πυανόψι' ἄγει πορδῶν ἑορτήν. de *Telemacho* cf. Timocl. 7. 16. 21.

189

σύκῳ, μὰ τὴν Δήμητρα, σῦκον οὐδὲ ἓν
οὕτως ὅμοιον γέγονεν.

Cicero Epist. Att. 4, 8, 2 *de Trebonio prorsus tibi adsentior; de Domitio, σύκῳ — γέγονεν, quam est ista περίστασις nostrae.* Diogenian. 7, 37 *ὁμοιότερος σύκου· τοῦτο παραπαίζει διὰ τὴν ἐμφέρειαν τῶν σύκων.* cf. Diog. Vind. 3, 53. Apostol. 12, 73. Eustath. 1963, 63 (*παροιμία*) *ὁμοιότερος σύκου ἐπὶ τῶν πάντη παρεοικότων κατ' ὄψιν.* Theophr. Char. 5, 2 *εἰσιόντα φῆσαι σύκου ὁμοιότερα εἶναι* (*τὰ παιδία*) *τῷ πατρί.* Plut. Mor. 1077c *σύκῳ, τὸ τοῦ λόγου, σῦκον γέγονεν ἀπαράλλακτον.*

190

τοιούτους ἀρετὴ
ἔοικε τροφίμους τοὺς ἑαυτῆς δεικνύναι.

Procopius Epist. 25. 1. *ἡ ἀρ.* 2. *τοὺς ἑαυτ. ἔοικε τρ. δ.*

191

ὦ τῆς ἐπιθήκης· οἷον αὖ τὸ δεύτερον
ἡμῖν ἔσεισεν . .

Aristides I 130. 1 Dind. *ὦ — ἔσεισεν. ὦ τοῦ τραγικοῦ δαίμονος. . . ὃς ἐν βραχεῖ τὸ δρᾶμα συνέκλεισεν.* est oratio *εἰς Ἐτεωνέα ἐπικήδειος* et praecesserat *ὢ τοῦ δευτέρου πτώματος, οἷος ἐφ' οἵῳ τῷ νέῳ κεῖσαι.* versus 2 fortasse explendus *ὁ θάνατος τὴν οἰκίαν.* perperam Reiskius Sophoclis Oedipo Col. tribuit quae tragici esse non posse metrum arguat.

192

ἀφροδισίων οὖν εἰς τὸ τέλος τῆς ἡδονῆς
ὁδὸς οὐ μί' ἐστίν.

Aristaenetus Ep. 1, 12 (p. 144 Herch.) *οὐκ οὖν τῶν ἀφρ., ὥς ἔφη τις, εἰς τὸ τῆς ἡδ. τ. ὁδ. ἐστιν μία.*

193

τοῖς ζητοῦσι γὰρ
τὸ σπάνιον ἀεί πως ἐπιτείνει τὸν πόθον.

Procopius Epist. 37 *παρὰ σαυτῷ . . γνωμολογεῖς ὡς τὸ σπ. ἀεὶ τοῖς ζ. ἐπιτ. τ. π.*

194

ὀψὲ γάρ ποτε
τὰ τῶν Ἐρώτων μανθάνεις τοξεύματα.

Procopius Epist. 135 Herch. ἑάλως...ὀψέ ποτε κτλ. Ἐρώτων Herch.] ἐρώντων.

195

χρυσὸς γὰρ νόθου
ἀρετῆς ἔλεγχός ἐστιν ἀψευδέστατος.

Theophylactus Simoc. Ep. 10 extr. ὁ χρ. . . . νόθου γὰρ ἀρ. καὶ κακίας — ἀληθέστατος.

196

μᾶλλον γὰρ λόγοις
τοὺς παῖδας ἢ μάστιξιν ἐκταράττομεν.

Theophylactus Simoc. Ep. 64 τοὺς γ. π. λόγ. μᾶλλον κτλ. poeta fortasse scripsit ἐκπαιδεύομεν.

197

φύλλῳ πράσου
τὸ τῶν ἐρώντων συνδέδεται βαλλάντιον.

Plutarchus Mor. 622e μικρολόγος ἐμπεσὼν εἰς ἔρωτα ... ἁπαλὸς καὶ ὑγρὸς (γίνεται)· ὥστε τουτὶ τὸ παιζόμενον μὴ πάνυ φαίνεσθαι γελοῖον, ὅτι πρ. φ. κτλ. indicavit Cobet. N. l. 513. συνδέδεται Cob.] δέδεται. Append. prov. 4, 60 πράσου φύλλῳ τ. τ. ἐρ. δέδ. β. ἐπὶ τῶν δι' ἔρωτα πολλὰ ἀναλισκόντων· ἀσθενὲς γὰρ τὸ τοῦ πράσου φύλλον καὶ οὐκ ἀντέχον. cf. Suid. πράσου. Macar. 7, 34. Diogenian. Vind. 3, 66.

198

τὸ δ' οὖν ῥόδον,
εἰ μή τις αὐτῷ χρήσεται, μαραίνεται.

Aristaenetus Ep. 2, 1 p. 159 Herch. 2. κἂν μή τις αὐτῷ χρήσηται. admonetur puella ut iuventute fruatur. cf. 557.

199

ἐλπίδες
αὗται καλαὶ καὶ ψυχαγωγία λόγων.

Libanius IIII 155, 18. 2. ψυχαγωγίαι. parasitus loquitur.

200. 201

ἅπανθ' ὁρῶ
ἅμα τῇ τύχῃ ῥέοντα μεταπίπτοντά τε.
. . . .
ἀλλ' ἐστὶν εὔστοχόν τι βουλευτήριον
ταὐτόματον.

Stobaeus Ecl. 1, 6(5), 2 et 4 Wachsm. 2. τε P] γε F. cf. Menand. 94, 5. 3. εὔστοχόν] εὐστόν P (εὐκτὸν ἴσως mrg. m. 2).

202

ἐπηρεαστικόν γέ τι
ταὐτόματόν ἐστι τῷ βίῳ.

Stobaeus Ecl. 1, 6(5), 5 Wachsm. (ἐ)πηρεαστικόν F] ἐπηρεατικόν P.

203

πόθεν;
οὐ γὰρ σχολάζω τοῦ πατρὸς τεθνηκότος.

Plutarchus Mor. 526f κἂν εἴπῃ τις 'οὐκ ἀκούσει τοῦ φιλοσόφου;' 'πόθεν ἐμοί' φησίν· 'οὐ σχ. κτλ. vituperantur adulescentes qui philosophiae se vacare posse negant.

204

οὐκ οἶδεν ἡμᾶς ὁ βασιλεύς· ἑτέρους ὁρᾷ
μᾶλλον.

Plutarchus Mor. 533f. ἀλλ' ἑτ. — excusat nescio quis quod pro amico regem adire nolit.

205

Ἔρως
καὶ τὴν ἑαυτοῦ συντιτρώσκει μητέρα.

Aristaenetus Ep. 1, 8 extr. ἑαυτῶν ἔτρωσαν ἐκεῖνοι (οἱ Ἔρωτες) μ. — *cum tot aliis* vel matrem suam vulnerat.

206

τὴν ἀξίαν δεῖ γαμεῖν τὸν ἄξιον.

Aristoteles Rhet. 3, 11, 1411b 23 δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶς λέγεσθαι, εἰ τὸ λεγόμενον ἀληθὲς καὶ μὴ ἐπιπόλαιον· ἔστι γὰρ ταῦτα χωρὶς ἔχειν, οἷον 'ἀποθνήσκειν δεῖ

μηθὲν ἁμαρτάνοντα.' ἀλλ' οὐκ ἀστεῖον. 'τὴν ἀξίαν δεῖ γαμεῖν τὸν ἄξιον.' ἀλλ' οὐκ ἀστεῖον. δὲ δεῖ vel *ἔδει* Mein. et quidni *γὰρ δεῖ*? cf. Anaxandr. 79.

207. 208

ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ Κωρύκῳ.
ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖ.

Aristoteles Rhet. 3, 11, 1413a 9 (*αἱ εἰκόνες τρόπον τινὰ μεταφοραί*). *ἐν οἷς μάλιστα ἐκπίπτουσιν οἱ ποιηταί, ἐὰν μὴ εὖ, καὶ ἐὰν εὖ, εὐδοκιμοῦσιν. 'ὥσπ. σέλ. — φορεῖ'. 'ὥσπ. Φ. — κωρύκῳ'... τὸ δὲ ὥσπερ τὸ καὶ τό, ὑπερβολὴ τῇ λέξει διαφέρουσα. 'ὥσπερ Φιλάμμων ζυγομαχῶν τῷ κωρύκῳ.' ᾠήθης δ' ἂν αὐτὸν Φιλάμμωνα εἶναι μαχόμενον τῷ κωρύκῳ. 'ὥσπερ σέλινον οὖλα τὰ σκέλη φορεῖν.' ᾠήθης δ' ἂν οὐ σκέλη, ἀλλὰ σέλινα ἔχειν οὕτως οὖλα. εἰσὶ δὲ ὑπερβολαὶ μειρακιώδεις. σφοδρότητα γὰρ δηλοῦσιν. Κωρύκῳ*, ut sit nomen proprium, Mein. — 1. Bekker. Anecd. 314, 24 *Φιλάμμων· ὄνομα κύριον πύκτου Ἀθηναίου, ὃς ἐνίκα Ὀλυμπιάδα ἑκατοστὴν πέμπτην.* Demosth. 18, 319. Aeschin. 3, 189. Harpocrat. *Φιλάμμων.* de *Coryco* cf. quae ad Antiphanis *Κώρυκον* adnotavimus, ex qua haec petita esse Meinekius arbitrabatur.

209

οὐκ ἂν γένοιο μᾶλλον ἢ σε δεῖ ξένος ξένος.

Aristoteles Rhet. 3, 11, 1412b 13 *καί 'οὐκ ἂν — ξένος.' ἢ οὐ μᾶλλον ἢ σε δεῖ, τὸ αὐτό. καὶ 'οὐ δεῖ τὸν ξένον ξένον ἀεὶ εἶναι.' ἀλλότριον γὰρ καὶ τοῦτο.* Grotius Excerpt. 923 *εἰ δ' εἶ ξένος,* | *οὐκ ἂν γένοιο μᾶλλον ἢ σε δεῖ ξένος.* alterum *ξένος* ut dubiae fidei uncis inclusit Bekker. non magis intellego quam Meinekius.

210

ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον.

Aristoteles Soph. elench. 4, 7 *ὁ γὰρ αὐτὸς λόγος διῃρημένος καὶ συγκείμενος οὐκ ἀεὶ ταὐτὸ σημαίνειν ἂν δόξειεν, οἷον κτλ.* cf. Theo Progymn. I 179 extr. Walz. *οὐ γὰρ σαφές, πότερον ἐλ. ἔθηκεν ἀντὶ δούλου ἢ δοῦλον ἀντ' ἐλευθέρου.* Doxopatr. II 224, 8 (indic. Nauck.) Terent. Andr. 1, 1, 10 *féci e servo ut ésses libertús mihi.* Menandri ex Andria versus esse non potest propter temporum rationes. neque audiendus est Herwerdenus Obs. crit. 114, tragoediae haec tribuens. cf. Philem. 213, 8 *τὸν εὔπορον τίθησι πτωχόν.*

211

ἐρημία μεγάλη 'στὶν ἡ Μεγάλη πόλις.

Strabo 8, 388 *νυνὶ ἡ Μεγαλόπολις τὸ τοῦ κωμικοῦ πέπονθε καὶ κτλ.* et 16, 738 (*ἡ Βαβυλὼν*) *ἔρημος ἡ πολλή, ὥστ' ἐπ' αὐτῆς μὴ ἂν ὀκνῆσαί τινα εἰπεῖν ὅπερ ἔφη τις τῶν κωμικῶν ἐπὶ τῶν Μεγαλοπολιτῶν τῶν ἐν Ἀρκαδίᾳ κτλ.* Eustathius p. 302, 13 (*Στράβων*) *ἱστορεῖ ὅτι ὑπὸ συχνῶν πολέμων πολλαὶ πόλεις τῶν Ἀρκάδων . . . ἠφανίσθησαν, ὧν καὶ ἡ Μεγάλη πόλις . . περὶ ἧς κωμικός τις ἔφη, ὅτι κτλ.* condita erat Megalopolis Ol. 103, 1. Diodor. 15, 72. diruta est a Cleomene III Ol. 138. Polyb. 2, 55 *ἐκβαλὼν* (*ὁ Κλεομένης*) *τοὺς Μεγαλοπολίτας κατέσχε τὴν πόλιν. γενόμενος δ' ἐγκρατὴς οὕτως αὐτὴν πικρῶς διέφθειρε καὶ δυσμενῶς, ὥστε μηδ' ἐλπίσαι μηδένα διότι δύναιτ' ἂν συνοικισθῆναι πάλιν.* unde Meinekius hoc fragmentum post Ol. 138 scriptum esse coniecit. sed erat iam ante Cleomenem deserta teste eodem Polybio, qui eam dicit fuisse *δυσφύλακτον διὰ τὸ μέγεθος καὶ τὴν ἐ ρ η μ ί α ν.* ceterum cf. Lob. Phryn. 604. Pathol. el. I 562.

212

εἰ μὴ κρατεῖς, θυγάτριον, ἀδικεῖσθαι δοκεῖς;

Suetonius Tib. 53 *Agrippinam post mortem mariti liberius quiddam questam manu adprehendit, graecoque versu* '*si non dominaris*' *inquit*, '*filiola*, *iniuriam te accipere existimas?*' graece vertit Mein. V CCCLXX.

213

τοῖς εὐτυχοῦσι καὶ τρίμηνα παιδία

Suetonius Claud. 1 *Livia cum Augusto gravida nupsisset, intra mensem tertium peperit . . . statimque vulgatus est versus κτλ.* sententia non integra: nam non habere felices *τρίμηνα παιδία*, sed interdum etiam talia eis gigni dicendum erat. scilicet Romani non finxerunt illud dictum, sed ex comoedia acceptum, ut fieri solet in proverbiis, in brevius contraxerunt. poeta addiderat unde penderet dativus, veluti *θεὸς* (*Τύχη*) *δίδωσιν* vel *ἤδη γεγόνασιν* (*γέγονεν*) vel aliquid simile. — seni alicui fatuo, cui uxor iam post trimestre matrimonii spatium filiolum ex alio viro opinor ante nuptias conceptum pepererat, servus vel socrus fucum facit.

214

τὰ μυσαρὰ ταῦτα θρέμματ' ἐκδιωκτέον.

Plutarchus Mor. 13c *ἐκδ. τὰ κτλ.* — adulatores dicit.

215

γάμος νεότητος δεσμὸς ἀσφαλέστατος.

Plutarchus Mor. 13f *πειρατέον . . . γάμῳ καταζεῦξαι· δεσμὸς γὰρ οὗτος τῆς ν. ἀσφ.*

216

τῶν γὰρ καλῶν τοι καὶ τὸ μετόπωρον καλόν.

Plutarchus Mor. 177b *τῶν γ. κ. καὶ τὸ μ. κ. ἐστιν.*

217

ἔα μ' ἀπολέσθαι· τοῦτο γάρ μοι συμφέρει.

Plutarchus Mor. 446a *οὐχ ἧττον (τοῦ συνεπινεύοντος ταῖς ἡδοναῖς) ὁ εἰπών κτλ. τὴν κρίσιν ἔχει τῷ πάθει συναινοῦσαν.* Menandro tribuit Cobet. V. l.[2] 400, praeferens tamen Posidonii apud Galenum (Bake De Posidon. Rhod. p. 211) *τοῦτό μοι νῦν συμφέρει,* 'ut in *praesenti* desperatione'.

218

μισθοῦ γὰρ ἀνθρώπων τις ἄνθρωπον φιλεῖ.

Plutarchus Mor. 495a *θαυμάζεται γὰρ ἐν τοῖς θεάτροις ὁ εἰπών μισθοῦ — φιλεῖ κατ' Ἐπίκουρον· ὁ πατὴρ τὸν υἱόν, ἡ μήτηρ τὸ τέκνον, οἱ παῖδες τοὺς τεκόντας.* 'videtur Menandri esse'. Mein.

219

στροβεῖς σεαυτόν, ζῶν κοχλίου βίον (τινός).

Plutarchus Mor. 525e *κοχλ. β. ζῶν.* homo divitiarum cupidus irridetur. etiam quae sequuntur comoediae colorem prae se ferunt: *διὰ τὴν μικρολογίαν καὶ τὰ δυσχερῆ πάντα ὑπομένεις οὐδὲν εὖ πάσχων, ὥσπερ ὄνος βαλανέως ξύλα καὶ φρύγανα κατακομίζων καπνοῦ καὶ τέφρας ἀναπιμπλάμενος.*

220

εἰς ματρυλεῖα καὶ κοπίδας καὶ φάρμακα

καὶ μαγεύματα καθειργνύμενον ἀκολάστων γυναικῶν (τὸν Ἔρωτα). Plutarchus Mor. 752c.

221

οἵαν ἀδικῶ γυναῖχ' ὁ δυσδαίμων ἐγώ.

Plutarchus Mor. 769d *μὴ . . . ὁ ἀνὴρ ἀναγκάζηται τὰς ἐκ τῆς*

κωμῳδίας λέγειν φωνάς κτλ. ad *Περικειρομένην* Menandri coniectura probabili, sed nequaquam certa rettulit Meinekius.

222. 223. 224

οἰκειότητα δ' ἐμβλέπων ὠλίσθανον.

. . . .

ἀγένειος ἁπαλὸς καὶ νεανίας καλός

. . . .

ἐμφύντ' ἀποθανεῖν κἀπιγράμματος τυχεῖν

Plutarchus Mor. 769 b ἀλλὰ πολλὰ φαῦλα καὶ μανικὰ τῶν γυναικείων ἐρώτων; τί δέ; οὐχὶ πλείονα τῶν παιδικῶν; κτλ. tria sunt dicta insani puerorum amatoris. 1. δ' add. G. Herm. fortasse ὡραιότητα δ'. 2. καὶ καλὸς νεανίας Mein. ed. mai. 3. 'infinitivi pendere videntur a verbis εἴ γένοιτό μοι vel similibus, quae omisit scriptor'. Mein.

225

γαμῶ γέρων, εὖ οἶδα, καὶ τοῖς γείτοσιν.

Plutarchus Mor. 789 a καὶ γὰρ αὐτοὶ (οἱ γέροντες) πολλὰ τοιαῦτα παίζουσιν εἰς ἑαυτούς κτλ. cf. Anaxandrid. 52, 11. 12 et adesp. 272.

226

λευκή με θρὶξ ἀπόμισθον ἐντεῦθεν ποιεῖ.

Plutarchus Mor. 789 c τί οὖν, φήσαι τις ἄν, οὐκ ἀκούομεν ἐν κωμῳδίᾳ στρατιώτου λέγοντος κτλ. ἐντεῦθεν, *ab hoc tempore.*

227

ἄγροικός εἰμι τὴν σκάφην σκάφην λέγων.

Lucian. Iov. trag. 32 οὐκοῦν ἄκουσον, ὦ Ζεῦ, μετὰ παρρησίας· ἐγὼ γάρ, ὡς ὁ κωμῳδὸς ἔφη, ἄγροικός·— λέγων (λέγω Gorlic.). idem Hist. scrib. 41 (ὁ συγγραφεὺς ἔστω) παρρησίας καὶ ἀληθείας φίλος, οἷος, ὡς ὁ κωμικός φησι, τὰ σῦκα σῦκα τὴν σκάφην δὲ σκάφην ὀνομάσαι. Plutarch. Mor. 178 b ἀγροίκους εἶναι Μακεδόνας καὶ τὴν σκάφην σκάφην λέγοντας. cf. Iulian. 8, 208 a. Synes. Epist. 159 (p. 739 Herch.). Menand. 545. Tzetzes Chil. 8, 567 Ἀριστοφάνης δέ φησιν ἐν κωμῳδίᾳ τοῦτο κτλ., cuius ego testimonium non admodum magni facio, siquidem τὸν κωμῳδόν Luciani non recte videtur interpretatus esse. novae comoediae potius cum Meinekio esse crediderim.

228—234

ἀγαθὸς ἀνὴρ λέγοιτ' ἂν ὁ φέρων τἀγαθά.
ἀγαθὸς ἂν εἴη χὠ φέρων καλῶς κακά.
εὐκαταφρόνητός ἐστι πενία, Δερκύλε.
ἐπὶ τοῖς παροῦσι τὸν βίον διάπλεκε.
ἡ τῶν φίλων σοι πίστις ἔστω κεκριμένη.
σοφός ἐστιν ὁ φέρων τἀπὸ τῆς τύχης καλῶς.
ὠρθωμένην πρὸς ἅπαντα τὴν ψυχὴν ἔχω.

Athenaeus 10, 458 a, exempla versuum ab eadem littera incipientium et in eandem desinentium componens. 2. *χὠ* Dindf.] *καὶ ὁ* A. *κακά*] *καλά* Mein. 3. *ἐστιν* A. *εὐκαταφρόνητον* Mein. coll. Menand. 93, 1. 4. *δὴ διάπλεκε* Both. *Δίων, πλέκε* vel *παῖ, διάπλεκε* Mein. 6. *τῆς* add. Porson.

235

ἤτοι τοιαύτην χρὴ γαμεῖν ἢ μὴ γαμεῖν.

Aristides I 521 Dind. *ἀλλ' ἢ τὸ τῆς παροιμίας, ἔφη, ἐρεῖς κτλ.* indicavit Cobet. N. l. 62. *ἤ τοι* Cobet.] *ἢ*. i. e. *nullam nisi talem duc.*

236

(τὴν εὐδαιμονίαν)
ζητοῦντας ἐν τῷ μέλιτι καὶ ταῖς ἰσχάσιν

Lucianus Bis accus. 20. Epicurei dicuntur. sententia comoediam sapit.

237

ὁ θεὸς ἴσως ἔχαιρε φιλόγελώς τις ὤν.

Lucian. Pisc. 25 extr. *τὸ σκῶμμα μέρος ἐδόκει τῆς ἑορτῆς, καὶ κτλ.* Bacchum dicit. senarium agnovit Fritzsch. comoediae videtur.

238

ἔρωτα λύει λιμός, ἂν δὲ μή, βρόχος.

Iulianus 6, 198 d. *ἂν δὲ τούτῳ χρῆσθαι μὴ δύνασαι.* — sententia multum variata. monost. 156 *ἔρ. παύει λ. ἢ χαλκοῦ σπάνις.* Anthol. Pal. 9, 497 *εἰ δὲ μή, χρόνος* (tres versus Cratetis). Mant. prov. 1, 61. Diog. L. 6, 86 (duo versus). cf. Bergk. P. lyr. gr.^{2} II 527. quamquam versus est Cratetis, etiam comoediam ea sententia usam esse arbitror.

239. 240. 241

κόμην τε καὶ πώγωνα καὶ τριβώνιον

Themistius 17, 215a (*ὁ τοιοῦτον βασιλέα μὴ φιλοσοφεῖν ὑπολαμβάνων*) *περιάγει τὴν θειοτάτην τῶν ἐπιστημῶν εἰς κόμην ἴσως καὶ π. κτλ.* cf. adesp. 173. aliud est proverbium Append. prov. 1, 47 *βακτηρία καὶ σχῆμα καὶ τριβώνιον. τοῦτο ἐπέσκωπτον τοὺς Ἀθηναίους δικαστάς.* illud enim ad philosophos cynicos pertinebat. tertium denique eiusdem sententiae fragmentum *χαίρειν ἐᾶν| πώγωνα καὶ τρίβωνα καὶ βακτηρίαν* ex Liban. Epist. 195 (*διαφέρειν ... τῶν φιλοσοφούντων τῷ κτλ.*) elicuit M. Haupt. Opusc. III 380.

242

ἧς χωρὶς οὐδὲν σεμνὸν ἐξευρίσκεται.

Phurnutus De n. d. 14 ap. Eudoc. p. 295 *εἰς τὴν ἐρημίαν ἀναχωρεῖν οἱ φιλοσοφοῦντες, ἧς χωρὶς οὐδὲν σεμνὸν εὑρίσκεται, κατὰ τὸν κωμικόν. ἐξευρίσκεται* Mein. dubitat de comica dicti origine Nauck. Philol. IIII 559.

243

ἐν τοῖσιν αἰδοίοις τὸν ἐγκέφαλον ἔχων

Aelianus fr. 284 Hercher. (Suid. *κραιπαλώδης*) *φιλήδονος καὶ ἐν τοῖς κτλ.* quae, quamvis adversetur Nauckius (Mélanges grécoromains V 225), ex comico fluxisse existimo, parodia inridentis [Demosth.] 7, 45.

244

ἄτοπον πενομένων πλειόνων τρυφᾶν ἕνα.

Clemens Alex. Paed. 2, 12, 120 *ἕνα τρ. πεν. πλ.*

245

ὑποκρινόμενος τὸ δρᾶμα τοῦ βίου καλῶς

Clemens Alex. Strom. 7, 11, 65 *ἀμεμφῶς τοίνυν ὑποκρ. — βίου.* cf. 771. Senec. Epist. 77 extr. Diog. L. 7, 160. (Potter.)

246

ἕως τὸν ὄντως αὐτὸν οὐκ ἐγνώρισεν.

Porphyrius De abstin. 3, 27 (p. 155, 22 Nauck.) *ὁ ἄνθρωπος ἐνδεὴς πάντων εἴκει τῷ θνητῷ τῆς φύσεως, ἕως κτλ.*

247

ὁ πολὺς χρόνος πάντ' ἐξελέγχει, Νικοφῶν.

Stobaeus Ecl. 1, 8(9), 35 Wachsm. ἀναγέους P mrg. (in v. praeced.) ναγενέους quarta linea post F mrg. (littera init. pro rubric. relicta). Ἀθηνᾶς γοναῖς Heeren. videtur potius auctoris nomen latere.

248

ληρεῖς ἐν οὐ δέοντι καιρῷ φιλοσοφῶν.

Stobaeus Floril. 36, 5 sine lemmate.

249

ἔρημός ἐστ' ἄνθρωπος ἠπορημένος.

Stobaeus Floril. 96, 8 'cohaeret praecedentibus' (Philem. 157) 'in A'. Gaisford. sed separandus est, quamquam Philemonis esse potest.

250

ἢ τὸ παρὰ πάντων τῶν σοφιστῶν χρυσίον

Alciphron 1, 34, 3 σὲ γὰρ περιβάλλουσα κοιμᾶσθαι μᾶλλον ἐβουλόμην ἢ κτλ. περιβ. κοιμ. del. Mein.

251. 252

ἦν καὶ Φίλωνι συκίνη βακτηρία.

ὀργίζομαι γὰρ ναὶ μὰ τὴν μεγάλην θεόν.

Alciphron 1, 39, 2. 1. ἦν Mein.] ὑπῆρξε. 2. ναὶ μὰ K.] νή. non cohaesisse haec crediderim. 1. βακτηρία συκίνη est proverbium ex eorum numero quae a sycophantis repetita erant. καπνὸς ξύλου συκίνου est Arist. Vesp. 145, κλῳὸς σύκινος ibid. 897. σύζυγος σύκινος Plut. 945. 6. cf. adesp. 7. 905.

253

ἢ τοῖς Πτολεμαίου βούλομαι διαδήμασιν

Alciphron 2, 3, 10 μὰ . . . τοὺς βακχικοὺς κισσούς, οἷς στεφανωθῆναι μᾶλλον ἢ κτλ. est epistula Menandri; eiusdem fortasse etiam versus.

254

ἐψυχαγώγει διαφόροις θεωρίαις.

Alciphron 3, 20, 1 ἄγει μέ τις λαβὼν εἰς τὸ θέατρον καὶ καθίσας ἐν καλῷ διαφ. ἐψ. θ.

255

εἰς τοὐπίσω τὰς χεῖρας ἐστρεβλούμεθα.

Alciphron 3, 43, 4.

256

ἀλλ' οὐ Λακεδαίμων ἦν ἐν ᾗ ταῦθ' ὑπέμενον.

Alciphron 3, 54, 4 *ἀλλ' οὐκ ἦν Λ.*

257

ἥρω παριόντες, μή κακόν τι προσλάβῃς.

Alciphron 3, 58, 3 *τρέμε* (*τρέχε*) *ἐνδακὼν τὸ χεῖλος, ὡς οἱ τὸν Σιγηλὸν κτλ.* fortasse etiam priora poetae sunt: ⏑ – *τρέχ' ἐνδακὼν τὸ χεῖλος, ὥσπερ οἱ* | *κτλ.* de *heroum* iracundia cf. Menand. 459. Arist. Av. 1492. fr. 692.

258

δέδοικα κἀγὼ τὰς ὑφάλους τὰς τῆς τύχης.

Libanius IIII 212, 21. alterum *τὰς* add. *τὰς ὑφάλους* sc. *πέτρας*.

259

ἐμὲ παιδιὰν τέθεικε τοῖς ἄλλοις θεοῖς.

Libanius IIII 212, 22. *ἴσως πού με* (*ἡ τύχη*) *π.* — *θεοῖς. ὅτι μὲν γὰρ τοῖς ἀνθρώποις, ὁρᾶτε· γελῶντες οὐ γοῦν* (*γὰρ οὐ* W.) *διαλελοίπατε.* fort. etiam haec comoediae sunt: *οὐ γὰρ γελ. τἀμὰ διαλ.*

260

ἴωμεν ἐπὶ τὰς οἰκίας τῶν πλουσίων.

Libanius IIII 237, 12.

261

. . . *καὶ τὴν Λαΐδ' ἀντὶ τοῦ Διὸς*
λογιεῖσθε;

Libanius II 121. 2 (*Λαΐδα*). Laïdi placere malle quam Iovi turpe esse dicit.

262

ταύτης ὁ Μῶμος ἄχθεται παρασφαλείς.

Aristaenet. 1, 12 p. 143 Herch. *ἀποσφ. ἄχθ.*

263. 264

μί᾽ ἡμέρα ποθοῦντα γηράσκειν ποιεῖ.
μία
πρὸς γῆρας ἀρκεῖ τοῖς ἐρῶσιν ἡμέρα.

Procopius Ep. 13 init. *τοὺς ποθοῦντας καὶ μία ἡμ. γ. π.* et 115 init. *τοῖς ἐρ. μία ἡμ. πρ. γ. ἀρκεῖ.* Theocrit. 12, 2 *οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν*, ad quem versum cf. quae adnotavit Meinekius p. 283. 481.

265

καὶ μέγα βοώσας παραπλέων τὰς ἡδονάς

Procopius Epist. 117 extr. (*νικήσει Ὀδυσσεὺς*) *καὶ πολλὰ βοώσας οἶμαι κτλ.*

266

πλατὺν γέλωτα καταχέω τῶν δογμάτων.

Theophylactus Simoc. Ep. 10 *τῶν σῶν καλ. δ.* ridet aliquis placita philosophorum.

267

ἀλγῶ δὲ καὶ τῆς οὐχ ὁρωμένης ἐρῶ.

Theophylactus Simoc. Ep. 36 *ἀλγῶ δὲ ὅμως τὴν ψυχὴν κτλ.*

268

δραχμῆς μὲν αὐλεῖ, τεττάρων δὲ παύεται.

Stephanus Byz. *Ἀραβία* (p. 108, 1 Mein.)· *ὁ Ἀράβιος αὐλητής, ὃς δραχμῆς μὲν ηὔλει, τεττάρων δ' ἐπαύετο.* Zenobius 2, 58 *Ἀράβιος ἄγγελος ... εἴρηται δὲ ἐπὶ τοῦ Ἀραβίου αὐλητοῦ, ὃς ηὔλει μὲν δραχμῆς, ἐπαύετο δὲ τεττάρων.* cf. Gregor. Cypr. 1, 32 (Mosq. 1, 31), ubi C in fine *ἐφ' ὧν ἐλέχθη παροιμία· δραχμῆς μὲν αὐλεῖ, τεττ. δὲ π.* ac sic Apostol. 3, 71. cf. 6, 36a.

269

λόγοισιν Ἑρμόδωρος ἐμπορεύεται.

Zenobius 5, 6 *ὁ Ἑρμόδωρος ἀκροατὴς γέγονε Πλάτωνος καὶ τοὺς ὑπ' αὐτοῦ συντεθειμένους λογισμοὺς . . . ἐπώλει.*

270

μὴ πρὸς λέοντα δορκὰς ἅψωμαι μάχης.

Diogenian. 6, 59 (Apostol. 11, 46) *ἐπὶ τῶν τὴν ἰσχὺν ἀνίσων.*

Diogen. Vind. 3, 26 (ἅπτεται). cf. Greg. Cypr. 3, 5. 56 et de syntaxi Cratin. 52.

271

ἀλῶν μέδιμνον ἅμα φαγὼν (add. *ἀμνημονεῖ*).

Gregorius Cypr. 1, 76 *ἐπὶ τῶν ἀχαρίστων. ἅμα φ.* K.] *ἀποφ.* Macar. 1, 82 *ἀλῶν μέδιμνον καταφαγών· ἐπὶ τῶν ἀμνημονούντων τῶν φίλων.* Aristot. Eth. Eud. 7, 2 p. 1238 a 2 *εἰς παροιμίαν ἐλήλυθεν ὁ μέδιμνος τῶν ἀλῶν.* Eth. Nicom. 7, 4 p. 1156 b 27. — cf. 176.

272

πέπων ἐρινὸς εὐφρανεῖ τοὺς γείτονας.

Macarius 2, 97 *ὁ λόγος ἐπὶ γεγαμηκότος γέροντος. πέπων* Mein. Theocr. vi] *γέρων. εὐφρανεῖ* idem] *εὐφραίνει.* Append. prov. 1, 73 *γέρων ἐρ. εὐφραίνει τ. γ. πρὸς τοὺς μὴ δυναμένους χρῆσθαι τοῖς ἰδίοις ἀγαθοῖς. ὁ δὲ λόγος κτλ.*, ut apud Macar. — de syntaxi cf. Cratin. 52, de re Plin. N. h. 15, 79 *caprificus vocatur e silvestri genere ficus numquam maturescens, sed quod ipsa non habet aliis tribuens.* quod quomodo fiat deinceps exponitur. cf. Anaxandr. 52, 11. 12 et adesp. 225. indicavit Mein. Theocr. vi. cf. H. Iacobi V cccxlviii.

273

δεινὸν πένεσθαι, χεῖρον εὐπορεῖν κακῶς.

Anonymus Walz. Rhet. II 23 *τὸ διπλοῦν ἐκ δύο καταφατικῶν ὄν, οἷον κτλ. οὐ τοσοῦτον ἀντίκειται τῷ ἁπλῷ.* Doxopater ibid. II 298. 9 *διπλῆ (γνώμη) ἡ δύο μὲν ἀποφάνσεις ἢ καὶ πλείους ἔχουσα, ὁμοίας δὲ ἀλλήλαις καὶ τοῦ αὐτοῦ εἴδους, οἷον κτλ.* (*χεῖρον δ'.*)

274

ἀπόδυθι ταχέως, Πάμφιλ'· ἡμέτερος ὁ πλοῦς.

Bekker. Anecd. 427, 26 *ἀπόδυσαι· μᾶλλον δ' ἀπόδυθι·* (*ἀπόδυθι* add. Mein.) *ταχέως, Παμφίλη κτλ. Πάμφιλ'* Mein. — Ruhnkenius Auctar. Hesych. I 1706 *ἀποθευσόμεθα· ἀποδραμούμεθα. μάλιστα ἐπὶ πλοῦ λέγεται. ταχέως, Παμφίλη, ἡμέτερος ὁ πλοῦς.* 'excidit nomen comici et fabulae et repetitum *ἀπόδυθι. Παμφίλη* ridiculum est: non solebant mulieres *ἀποδῦναι*'. Cobet N. l. 50.

275

οὐδ' Ἰταλιώτης, οὐδ' ἀλαζὼν οὐδαμῶς

Hesychius *Ἰταλιώτης κτλ. ἐπεὶ οἱ Πυθαγορικοὶ ἐν Ἰταλίᾳ διέτριβον, ἔνθα φασὶν αὐτοὺς καὶ ἐμπυρισθῆναι.* Photius 117, 14

Ἰταλιώτης (sic Cobet. Mnem. VIII 22 pro *Ἰταλιώδης*)· *ὁ ἀλαζὼν ἀπὸ τῶν Πυθαγορικῶν, ἢ* (add. Cob.) *διὰ τὴν Σύβαριν, ὁ λάγνος.* idem *Ἰταλιώτης· Πυθαγόρειος. ἐκεῖ γὰρ διέτριβον.* — *Ἰταλιώτην*, i. e. Pythagoreum, et *ἀλαζόνα* pro synonymis posuit.

276

ἤμην ποτ', ἤμην τῶν σφριγώντων ἐν λόγοις.

Etymologic. m. 430, 8 cod. Voss. ap. Gaisf. *τὸ ἤμην ἐπὶ τοῦ ὑπῆρχον ἀπηγόρευται, λέγεται δὲ ἦν. χρῶνται δέ τινες τούτῳ τῶν νεωτέρων, οἷον κτλ. ἦμεν* pro *ἤμην* Naber. Mnem. nov. VIII 434: pravis enim codicibus deceptum fuisse grammaticum, de inperfecto *ἤμην* cf. Veitch. Gr. verb.² 200.

277

οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας.

Photius, Suidas, Append. prov. 4, 35 (ubi cf. Leutsch.), Apostol. 13, 30. — Eustath. 455, 40 (Ael. Dion.) *συμπαράκεινται καὶ ἕτεραι κεφαλαιώδεις παροιμίαι αὗται . . . καὶ οὐδεὶς κτλ.* Poll. 3, 126 *ὁ δυσώνης οὐκ οἶδα μὲν εἰ παρά τινι, ἐν δὲ παροιμίᾳ.* sed hoc ipsum proverbium ex comoedia videtur fluxisse: nam Pollucis quidem dubitatio eo infringitur quod ipse verbi *δυσωνεῖν* exemplum adfert ex Platone comico (224).

278

οὐκ ἂν δύναιο γαστρὶ πενθῆσαι νεκρόν.

Photius. in eum qui *ciborum abstinentia* mortuum lugere vellet. petivit comicus sententiam ex Hom. Il. 19, 225 (Naber.) *γαστέρι δ' οὔ πως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς.*

279

γραφή τε καὶ Λευκαῖος οὐ ταὐτὸν (*λέγει*).

Append. prov. 1, 83 et Suidas *ἐπὶ τῶν ἀνόμοια γραφόντων* (hactenus Suidas) . . . *ὅτι οὐχὶ αὐτὴ φύσις γραφῆς καὶ αὐτοῦ τοῦ γραφομένου σώματος.* incerto comico tribuit *λέγει* addens Cobet. Mnem. nov. V 222.

280

καὶ φθειριῶσαν ὡς τὸ πρὶν Καλλισθένης

Suidas *Καλλισθένης· φέρεται λόγος ὡς ὁ Καλλισθένης ὑπὸ φθειρῶν ὑπερβλύσεως καὶ ἐκβράσεως τὸν βίον καταστρέφει. καὶ μαρτυρεῖ ὁ ἴαμβος οὗτος κτλ. περὶ τῆς ἰατρικῆς τέχνης λέγων, ὡς ἡμέ-*

λητο πάνυ. τὸ O. Bachmann. Coniect. Arist. 48] δ. — *Callisthenes* Olynthius, Aristotelis discipulus, Alexandri m. in Asia comes, cum regem deum esse negaret, in vincula coniectus est, mortuus in India. Plut. Alex. 54. ibid. 55 extr. *Χάρης (λέγει) ἑπτὰ μῆνας φυλάττεσθαι δεδεμένον . . . περὶ τὴν Ἰνδίαν ἀποθανεῖν ὑπέρπαχυν γενόμενον καὶ φθειριάσαντα.* Arrian. Anab. 4, 10 sq. Curt. 8, 5. 6. 8 extr. Meinekius cur postea de comica versus origine dubitaverit nescio.

281

σύγγνωθί μοι καὶ μὴ χαλεφθῇς, ὦ πάτερ.

Mus. philol. Cantabr. II 113 (non vidi librum) *χαλεφθῇς ἀπὸ τοῦ χαλέπτω κτλ.* *χαλεφθῇς* Schneidewin.] *χαλεφῇς.* Menandro coniectura incerta tribuebat Cramer.

282

ἐξὸν καθεύδειν τὴν ἐρωμένην ἔχων.

Eustathius 236, 32 *σχήματα σολοικοφανῆ . . . ὅμοιον δὲ καὶ τό κτλ. ἀντὶ τοῦ ἔχοντα.* cf. Schol. Eurip. Phoen. 478 Dindf. Schol. Arist. Acharn. 1164 *ἠπιαλῶν δὲ εἶπε καὶ βαδίζων ἀντὶ τοῦ ἠπιαλοῦντες καὶ βαδίζοντες. ἀντὶ τοῦ βαδίζοντα κατὰ τὸ ἀρχαῖον σύνηθες, ὡς τὴν ἐρωμένην ἔχων ἀντὶ τοῦ ἔχοντα.* Chariton. 4, 7, 7 *ἐξὸν καθεύδειν τήν (τ') ἐρωμένην ἔχειν.* Apollon. Synt. 4, 9 p. 331, 3 Bekk. *ἐξὸν καθεύδειν.*

283

μὴ καταγελᾶτε τοῖς ἐμοῖς παθημάτοις.

Eustathius 279, 39 (ex Aristophane grammatico) *τὴν γέρων γέροντος γενικὴν ἀναγαγόντες (οἱ Αἰτωλοὶ) εἰς εὐθεῖαν γράφουσιν . . . 'τοῖς γερόντοις' . . . τὸ δ' αὐτό φησι φαίνεσθαι καὶ ἐπὶ τοῦ παθήματος, ὡς δῆλον ἐκ τοῦ κτλ.* et 1761, 35 *παρὰ Αἰτωλοῖς τὸ τοῖς γέρουσι γερόντοις φράζεται . . . καὶ τὸ παθήμασι παθημάτοις.* dissentit ab Eustathio Nauck. Arist. Byz. 207 sq. *μὴ κἀγγελᾶτε* Herwerd. Obs. crit. 125. quod non necessarium, si comicus, ut recte suspicatur Meinekius, Aetolum hominem loquentem induxerat. id si verum est, novae comoediae fragmentum tribuendum videtur.

284

δυοῖν γυναικοῖν εἷς ἀνὴρ οὐ στέργεται.

Eustathius 802, 34 *τὸ δυοῖν καὶ ἐπὶ δοτικῆς παρὰ Ἀττικοῖς, οἷον κτλ.*

285

εἰ συγκεχρῶσθαι τοῖς νεκροῖς δυνήσεται.

Schol. Aristoph. Nub. 144 ἔστι (διὰ τριμέτρων χρησμὸς) παρὰ κωμικῷ τινι κτλ. Diogenes L. 7, 2 χρηστηριαζομένου αὐτοῦ (Ζήνωνος) τί πράττων ἄριστα βιώσεται, ἀποκρίνασθαι τὸν θεόν, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅθεν ξυνέντα τὰ τῶν ἀρχαίων ἀναγινώσκειν. Suidas συγχρωτίζεσθαι . . . ὅ ἐστι τοῖς βιβλίοις τῶν ἀρχαίων· τουτέστι μελέτην ἀσκεῖν. εἰ Suid. et Diog.] πῇ V. Ald. συγκεχρῶσθαι Toup. Emend. II 207] συγκεχωρίσθαι V. τοῖς νεκροῖς Diog.] τῷ χρησμῷ V. δυνήσεται Toup.] δύναται.

286

καὶ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται.

Schol. Arist. Ran. 270 Καλλίστρατος ὅτι τὸν ναῦλον ἀρσενικῶς, καὶ οὐχὶ τὸ ναῦλον εἰώθασι λέγειν. . .καὶ ἔστι παρὰ τοῖς νεωτέροις καὶ ἡ ναῦλος κτλ. sed ex cod. R Fritzschius Ran. 270 p. 155 διασῴζεται δὲ ἡ γραφὴ (καὶ ἔστι add. schedae Seidl.) παρὰ τοῖς νεωτέροις· καὶ ναῦλος ἡμῖν κτλ. ac sic etiam A Suidae ναῦλος (in marg.). 'scriberem χὠ ναῦλος, si opus esse videretur articulo'. Fritzsch.

287

Δᾶος πάρεστι· τί ποτ' ἀπαγγελῶν ἄρα;

Anonymus Aristot. Bekk. 93, 25 διαπορητικόν, ὅ ἐστιν ἐρώτησις αὐτοῦ πρὸς αὐτόν, ὥστε τό Δάος προσῆλθε τί ποτ' ἀγγελῶν ἄρα; 96, 19 πέμπτον δέ τι πρὸς τούτοις εἶναί φασι τὸ ἐπαπορητικόν Δᾶος πάρεστι τί ποτ' ἀγγελῶν ἄρα. Schol. Hermog. Walz. Rhet. VII 4 Δᾶος πότ' ἦλθε τί ποτ' ἀγγέλλων ἄρα; ubi τί ποτε ἀγγέλων Mon. Io. Sicel. Walz. VI 128 ὡς τὸ Δάος ἤλυθε τί ποτ' ἀγγ. — ἀπαγγέλλων K. cf. Arist. Plut. 766. τί δέ ποτ' ἀγγ. Mein. V 117. Menandro versum tribuebat Schneidewin. Coniect. 119.

288. 289

τὴν κόμην ἠψήσατο.
ἑφθὴν τὴν κόμην ξανθίζεται.

Pollux 2, 35 καὶ ἑψήσασθαι δὲ τὴν κόμην τὸ καταχρῶσαι ἔλεγον κτλ. 1. ἠψήσατο A. 2. ἔφθην A. ξανθίζεται Bekker.] ξανθίζεσθαι.

290

'Ροίκου κριθοπομπία

'Ερατοσθένης ἐν τῷ ἐννάτῳ. τῶν 'Αμαθουσίων βασιλέως. τοῦτον

αἰχμάλωτον γενόμενον εἶτα ὑποστρέψαντα πρὸς ἑαυτὸν τῇ πόλει Ἀθηναίων κριθὰς ἐκπέμψαι φησίν. Hesychius. cf. Bernhardy Eratosth. 231 sq. Schmidt Didym. 55. ad Euagorae tempora refert Meinekius, ex comoedia sumpta esse censens.

291

. . . . . *οὐδέν ἐστ' ἀλλ' ἢ γνάθος.*

Clemens Alex. Paed. 2, 1, 4 *καί μοι δοκεῖ ὁ τοιοῦτος ἄνθρωπος οὐδὲν ἀλλ' ἢ γνάθος εἶναι.*

292

τὸ Ξενοκράτους τυρίον

Stobaeus Floril. 17, 25 *Ξενοκράτης εἴ ποτε σταμνίον οἴνου ἀνοίξειεν, ἔφθανεν ὁ οἶνος τρεπόμενος πρὶν ἀναλωθῆναι. καὶ τὰ ὄψα δὲ πολλάκις ἕωλα ἐξέρριπτεν. ἔνθεν καὶ ἡ παροιμία κτλ. ἐπὶ τῶν ἐπὶ πολὺ παραμενόντων καὶ μὴ τάχιστα ἀναλισκομένων.* exscr. Mant. prov. 3, 18. comicae videtur incudis esse.

293

Varro Sat. Menipp. 32, 1 Oehl. p. 128 e Nonio *subducere: ego unus scilicet antiquorum hominum subductis superciliis dicam,* *γαμήσεις νοῦν ἔχων;* cod. *ταμησιονουν ἔχων.* Oehlerus *γαμήσω νοῦν ἔχων. γαμήσεις* Mein. cf. Menand. 65,1. *γαμήσω* posterioribus non inusitatum.

294

οὐριστικὸς δ' Εὐβουλίδης ὁ κερατίνας ἐρωτῶν
καὶ ψευδαλαζόσιν λόγοις τοὺς ῥήτορας κυρίττων
ἐπῆλθ' ἔχων Δημοσθένους τὴν ῥωποπερπερήθραν.

Diogenes Laert. 2, 108 *τῆς Εὐκλείδου διαδοχῆς ἐστι καὶ Εὐβουλίδης ὁ Μιλήσιος, ὃς καὶ πολλοὺς ἐν διαλεκτικῇ λόγους ἠρώτησε, τόν τε ψευδόμενον . . . καὶ σωρίτην καὶ κερατίνην καὶ φαλακρόν. περὶ τούτου φησί τις τῶν κωμικῶν κτλ.* Suidas *ῥομβοστωμυλήθρα· Εὐβουλίδης φησίν· ἐριστικὸς κερατίνα — ῥομβοστωμυλήθραν* (confudit Eubulidem cum comico eum inridente). v. 3 Plutarch. Demosth. 9 *τῶν δὲ κωμικῶν τις αὐτὸν (Δημοσθένην) ἀποκαλεῖ ῥωποπερπερήθραν.* Eustath. 927, 56 *ἐκ τούτου (τοῦ ῥώπου) καὶ ῥωποπερπερήθρα τις* (!) *προσερρήθη ἐπὶ χυδαιότητι καὶ φλυαρίᾳ σκωπτόμενος.* 1. *ὁ* add. Th. Roeper. Philol. VIIII 5. 2. *κυρίττων* Herwerd. Obs. crit. 114] *κυλίων*, de qua forma cf. Cobet. V. l.² 133. 3. *ἐπῆλθ'* Roeper. cum HSuid.] *ἀπῆλθ'. ἐλπίδ'* GSuid. *ῥωποπερ-*

περήθραν Plut. Eust.] *ῥωβοστωμυλήθραν* Diog. *ῥομβοστωμυλήθραν* Suid. cf. Roeper. Philol. VIIII 1 sq. non audiendus est Fritzschius Arist. Ran. p. 300. 1. scilicet Plutarchus non accurate comicum excerpsit, qui non Demosthenem, sed eloquentiam eius adpellaverat *τὴν ῥωποπερπερήθραν.*

1. *κερατίναν* haud raro commemorat Lucianus, veluti Conviv. 23. 2. Plat. Reip. 9, 586 b *λακτίζοντες καὶ κυρίττοντες ἀλλήλους σιδηροῖς κέρασι.* Gorg. 516 a *παραλαβὼν μὴ λακτίζοντας μηδὲ κυρίττοντας μηδὲ δάκνοντας* (Herw.). corripi *υ* in *κῠρίττω* cognoscitur ex Hephaest. 77 Gaisf. 3. *ἐπῆλθεν,* nam *aggredi* Eubulidem cum Demosthenis facundia consentaneum est, non *abire.* quid sit *τὸ ῥωπικόν* in eloquentia docent [Longin.] De subl. 3, 4 *ὀλισθαίνουσι... ὀρεγόμενοι μὲν τοῦ περιττοῦ καὶ πεποιημένου καὶ μάλιστα τοῦ ἡδέος, ἐξοκέλλοντες δὲ εἰς ῥωπικὸν καὶ κακόζηλον.* Hesych. (emend. Ruhnk.) *ῥωπικόν· τὸ ἐπίκτητον καὶ ὡραϊσμένον. πέρπερος* autem inlustratur fr. 1031 et Polyb. 40, 6, 2 *στωμύλος καὶ λάλος καὶ πέρπερος διαφερόντως. περπερήθρα* formatum ut *στωμυλήθρα, ἀλινδήθρα, ἀνακλήθρα* (Fritzsch.) cf. *tolutiloquentia* Novii 38 O. Ribbeck. Com. R. fr.[2] 260.

295

εὐθὺς ἐξ ἀρχῆς ἕκαστον ἐπικεκλωσμένην ἔχει
τὴν ἀπόβασιν.

Lucianus Iov. confut. 1 extr. — tales sententiae novae sunt comoediae.

296. 297

εἶτα, φίλ', ὃς ἔχεις γυναῖκα σχοινίων πωλουμένων;
Πάμφιλος γαμεῖ; γαμείτω· καὶ γὰρ ἠδίκησέ με.

Donatus Terent. Adelph. 1, 1, 18 *Romani scilicet qui coelibem quasi coelitem dicunt; et item Graeci, apud quos sunt huiusmodi sententiae* ΕΙΤΑ ΦΙΛΟΣ ΕΧΟΙΟΙΩΝ ΠΩΔΟΥΜΕΝΟΝ *et alibi γαμεῖ Πάμφιλος, γαμείτω κτλ.* emend. Porson. Miscell. 304. 1. *εἶτα φίλ' ὃς* ut natum ex primo alterius versus verbo (*Πάμφιλος*) delet Nauckius relicto senario *ἔχ. γ. κτλ.* 2. *Πάμφιλος γαμεῖν ἕλοιτ' ἂν σχοινίων πωλουμένων;* Dziatzko Mus. Rhen. XXXI 373, utrumque fragmentum eidem fabulae et personae tribuens.

1. cf. Antiphan. 100, 4. Iuvenal. 6, 30 (cont. Pors.) *ferre potes dominam salvis tot restibus ullam?*

298

πόρνοι μεγάλοι Τιμαρχώδεις

Aeschines 1, 157 *τοσοῦτον ἀπέχει (ὁ ὁμώνυμος τοῦ κρινομένου*

Τιμάρχου) τῶν αἰσχρῶν, ὥστε πρῴην ἐν τοῖς κατ' ἀγροὺς Διονυσίοις κωμῳδῶν ὄντων ἐν Κολυττῷ καὶ Παρμένοντος τοῦ κωμικοῦ ὑποκριτοῦ εἰπόντος τι πρὸς τὸν χορὸν ἀνάπαιστον, ἐν ᾧ ἦν εἶναί τινας πόρνους μεγάλους Τιμαρχώδεις, οὐδεὶς ὑπελάμβανεν εἰς τὸ μειράκιον, ἀλλ' εἰς σὲ πάντες. Hesych. Δημοκλεῖδαι . . . οἱ μοιχοί . . . καθάπερ καὶ τοὺς ἡταιρηκότας Τιμάρχους ἔλεγον.

299. 300. 301

Hephaestio Phot. Bibl. 147a 14 Bekk. Περιτάνος τις ὄνομα Ἀρκὰς Ἑλένην συνοῦσαν Ἀλεξάνδρῳ ἐν Ἀρκαδίᾳ ἐμοίχευσεν, Ἀλέξανδρος δ' αὐτὸν ποινὴν τῆς μοιχείας ἐξευνούχισε, καὶ ἐξ ἐκείνου Ἀρκάδες τοὺς εὐνούχους περιτάνους λέγουσιν. idem 149a 23 κυνηγοῦσαν Ἑλένην ἔνιοί φασιν ἐν τῷ Παρθενίῳ ὄρει ἁρπασθῆναι ὑπ' Ἀλεξάνδρου καὶ ἐκπλαγεῖσαν τὸ κάλλος ἀκολουθῆσαι ὡς θεῷ. haec ex comoedia aliqua derivata esse statuit Lehrs. Pop. Aufs. 26. 27. ac tum fortasse etiam quae sequuntur comoediae debentur haec: περὶ τοῦ κεστοῦ ἱμάντος, ὡς λάβοι μὲν αὐτὸν Ἥρα παρὰ Ἀφροδίτης, δοίη δ' Ἑλένῃ, κλέψαι δ' αὐτὸν ἡ Ἑλένης θεράπαινα Ἀστυάνασσα, ἀφέλοι δ' αὐτὸν ἐξ αὐτῆς πάλιν Ἀφροδίτη. quamquam Hephaestionis fides admodum exigua.

302

Aristoteles Rhet. 2, 23 p. 1398a 32 (τόπος τῶν δεικτικῶν) ἐξ ἐπαγωγῆς, οἷον ἐκ τῆς Πεπαρηθίας, ὅτι περὶ τῶν τέκνων αἱ γυναῖκες πανταχοῦ δοξάζουσι τἀληθές. Eustathius 1412, 18 (Ἀριστοτέλης) φησίν, ὡς ἄριστα περὶ τῶν τέκνων κρίνουσιν αἱ γυναῖκες. διό φησι Πεπαρηθία τις γυνὴ μαρτυρήσασα οἰκεῖόν τινα εἶναι παῖδα ἔλυσε τὴν περὶ ἐκείνου ἀμφιβολίαν. orationem fuisse τὴν Πεπαρηθίαν opinatur Spengelius. quod falsum esse, si conferas Ὀλυνθιακούς, Πλαταιικόν al., facile adparet. contra cum comoediarum titulos considero quales sunt Ἀνδρία, Περινθία cet. et Aristotelem in Rhetoricis saepissime ex comoediis exempla petivisse recordor, necessario eo adducor ut *Peparethiam* comoediam fuisse arbitrer, fortasse Antiphanis.

303

Plutarchus Demetr. 27 ἡ Λάμια τῷ βασιλεῖ παρασκευάζουσα δεῖπνον ἠργυρολόγησε πολλούς. καὶ τὸ δεῖπνον οὕτως ἤνθησε τῇ δόξῃ διὰ τὴν πολυτέλειαν, ὥστε ὑπὸ Λυγκέως τοῦ Σαμίου συγγεγράφθαι. διὸ καὶ τῶν κωμικῶν τις οὐ φαύλως τὴν Λάμιαν ἑλέπολιν ἀληθῶς προσεῖπε. cf. Athen. 3, 101a. 4, 128a. Droysen. Hellenism. I 455. 465. 513. ἑλέπολις apud tragicos est Helena et Iphigenia; eodem nomine Demetrii machina bellica vocabatur.

304

Plutarchus Mor. 18c *οὕτως ὁ νέος ἀναγινώσκων ἃ Θερσίτης ὁ γελωτοποιός, ἢ Σίσυφος ὁ φθορεύς, ἢ Βάτραχος ὁ πορνοβοσκὸς λέγων ἢ πράττων πεποίηται, διδασκέσθω τὴν μιμουμένην ταῦτα δύναμιν καὶ τέχνην ἐπαινεῖν, ἃς δὲ μιμεῖται διαθέσεις καὶ πράξεις προβάλλεσθαι καὶ κακίζειν.* 'probabile est Batrachum fuisse lenonis nomen apud Menandrum.' Mein. *Βάταλος* scribendum censet Nauck. Allg. Lit. z. 1847, 475. non credo.

305

Athenaeus 7, 278f *οἱ τῆς κωμῳδίας ποιηταὶ κατατρέχοντές που τῆς ἡδονῆς καὶ ἀκρασίας ἐπικούρους καὶ βοηθοὺς βοῶσιν.* — *Ἐπικούρους καὶ Βοήθους* Mein. Vind. Strab. 228. quamquam sententiam retractavit Anal. Ath. 124. apud *Boëthum* Epicureum convivium est Plut. Mor. 673d.

306

Dio Chrysost. 32 p. 699 R. *ἐν ταῖς κωμῳδίαις καὶ διασκευαῖς* (*κωμῳδικαῖς διασκ.*) *Καρίωνα μὲν εἰσάγοντες μεθύοντα καὶ Δᾶον οὐ σφόδρα κινοῦσι γέλωτα· τὸν δ' Ἡρακλέα τοιοῦτον ὁρῶσι γελοῖον δοκεῖ, παραφερόμενον καὶ καθάπερ εἰώθασιν ἐν κροκωτῷ.*

307

Philostratus Imag. 1, 3 extr. *χρῆται* (*τῇ ἀλώπεκι*) *ὁ Αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ Δάῳ.*

308

Iulianus Or. 1, 19d *κρινέτω μὴ πρὸς ἀργύριον σκοπῶν . . . καθάπερ οἱ φιλάργυροι γέροντες ὑπὸ τῶν κωμῳδῶν ἐπὶ τὴν σκηνὴν ἑλκόμενοι.*

309

Harpocration *Κηφισόδωρος . . . κεκωμῴδηται δὲ οὗτος ὡς νωθής.* idem ut videtur qui *πλάνος* dicebatur. Nicostr. 24.

310. 311

Θεόδωρος

Hesychius *Θεοδώρους ἔλεγον οἱ κωμικοὶ τοὺς πρωκτούς, ἀπὸ Θεοδώρου τινός, οὐκ εὖ τῇ ἑαυτοῦ ὥρᾳ χρησαμένου. οἱ κωμικοὶ* Musur.] *οἰκονομικοὶ* cod. *τῇ—ὥρᾳ* Mein.] *τῆς—ὥρας* cod. — *Theodorus* est nobilissimus tragoediarum actor Philippi regis aetate. cf. Demosth. 19, 246. Arist. Polit. 7 (1336b 28). cf. Rhet. 3, 2 (1404b 22).

foedis eum libidinibus deditum fuisse docet Hesychius *πελεθοβάψ· Θεόδωρος ὁ τραγικὸς* (sic Mein. pro *κωμικὸς ὁ*) *ὑποκριτὴς οὕτω ἐπεκαλεῖτο.* atque id ipsum *πελεθοβάψ* a comico poeta inventum esse iure suspicatur Mein. I 524. Herodian. I 246, 12 *τὸ πλινθοβάψ καὶ πελεθοβάψ ὀξύνεται.*

312

Schol. Aeschin. 1, 64 *κεκωμῴδηται ὁ Ἀριστοφῶν ὡς ὑπὲρ Χάρητος μισθοῦ λέγων καὶ ὡς παρανόμων γραφὴν πεφευγὼς καὶ ὡς στρατηγήσας ἐν Κέῳ καὶ διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργασάμενος τοὺς ἐνοικοῦντας, ἐφ' ᾧ γραφεὶς ὑπὸ Ὑπερείδου παρανόμων ἑάλω. φησὶ δ' αὐτὸν Ὑπερείδης καὶ Ἄρδηττον ἐπικληθῆναι διὰ τὸ πολλάκις αὐτόθι ἐπιωρκηκέναι.* Aeschin. 3, 194 *Ἀριστοφῶν ὁ Ἀζηνιεὺς . . γραφὰς παρανόμων πέφευγεν ἑβδομήκοντα καὶ πέντε.* cf. Hyperid. fr. 44. fortasse etiam *Ardetti* cognomen primus excogitavit comicus aliquis.

313

Schol. Aristid. 458, 21 Dindf. *ἔχομεν παρὰ τοῖς κωμικοῖς ὅτι τινὰ τῶν ἐκτεθέντων παίδων ἀπό τινων σημείων ἐν αὐτοῖς ὄντων ἀνεγνωρίζοντο.*

314

δραχμὴ χαλαζῶσα

Hesychius *ἐπὶ Διοφάντου τὸ θεωρικὸν ἐγένετο δραχμή.* addit Zenobius 3, 27 *ἐπεὶ δὲ ἔπεσε χάλαζα τότε ἀπὸ τοῦ ἀέρος, χαλαζῶσαν αὐτὴν ἐπέσκωπτον.* 'cf. Boeckh. Oecon. Athen. I 239. Fritzsch. De merc. iud. 13. Diophantus archon erat Olymp. 96, 2.' Mein.

315

ἀγάμητον

τῶν νέων κωμῳδῶν τινες τὸν ἄγαμον εἰρήκασιν. Pollux 3, 47.

316

ἀλείπτριαν

εἰρήκασιν οἱ μέσοι κωμικοί. . Ἄμφιδος καὶ δρᾶμά ἐστιν Ἀλείπτρια. Pollux 7, 17. cf. hui. ed. II 236. adparet etiam praeter titulos fabularum Amphidis (Antiphanis, Alexidis) nomen illud Pollucem in nova comoedia invenisse.

317

ἀντίκλειδες

παρὰ τοῖς νεωτέροις τούτοις (κωμικοῖς). . εἴρηνται. Pollux 10, 22. significationem inlustrat Clemens Alex. Strom. 7, 17, 106 *οὐδὲ τὴν*

κλεῖν ἔχοντες τῆς εἰσόδου, ψευδῆ δέ τινα...ἀντικλεῖδα. ἡ ἀντίκλεις Herodian. II 672, 18 (non ἀντικλείς).

318

ἀντίπαις

Pollux 2, 9 παιδίον, παιδάριον, παιδίσκος . . . καὶ ἀντίπαις, ὡς οἱ νέοι κωμῳδοί.

319

ἀπφία, ἀπφίον

Pollux 3, 74 φαυλοτάτη ἡ παρὰ τοῖς νέοις κωμῳδοῖς ἀπφία καὶ ἀπφίον καὶ ἀπφάριον (Xenarch. 4, 15), νέας δεσποίνης ὑποκορίσματα.

320

δεῖπνον

Etymologic. m. 262, 38 δεῖπνον ὁ καιρὸς τῆς τροφῆς, καὶ ἡ ἐν τοιῷδε καιρῷ διδομένη τροφή. οἱ δὲ κωμικοὶ οἱ νεώτεροι συγχέουσι τὸν καιρόν, ἑσπερινὴν τροφὴν δεῖπνον ὀνομάζοντες.

321

δειπνοπίθηκος

ὁ δείπνου ἕνεκα πιθηκίζων καὶ ὑποθωπεύων κόλακος τρόπον. Bekker. Anecd. 34, 29. cf. δημοπίθηκος. non antiquae comoediae est, ut Meinekius indicavit, sed novae. est enim nomen parasiti.

322

διαβασιλίζεται

τῆς βασιλείας ἀντιποιεῖται. Bekker. Anecd. 241, 14.

323

εἰργασμένον (ἱμάτιον)

Pollux 7, 69. cf. 328. ὠργασμένον Mein.

324

ἐμμακεδονίξαι

χρήσασθαι (Μακεδόνων τρόποις add. Pearso). Hesychius. comice etiam forma verbi Macedonum dialecto accommodatur.

325

καψιδρώτιον

Pollux 7, 71 τὸ ἐν τῇ μέσῃ κωμῳδίᾳ καψ. καλούμενον . . νῦν

σουδάριον ὀνομάζεται. Hesych. *καψιδρώτιον· εἶδος χιτωνίσκου.* vocem non vulgarem fuisse, sed a comico aliquo ioci causa adhibitam censet Fielitz. De Att. com. bip. 19.

326

λουτῆρας

Pollux 7, 167 *ἡ νέα κωμῳδία καὶ λ. λέγει.*

327

μαχαίρια

ἐκάλουν οἱ νέοι κωμῳδοὶ ἐν οἷς ἀπέσχαζον ἢ ἔσχαζον. Pollux 4, 182. *οὕτω γὰρ ἔλεγον τὸ ἀμύσσειν. κατέσχαζον* deletis *ἐν* et *ἀπέσχαζον ἢ* Herwerd. Obs. crit. 116. cf. Lobeck. Rhem. 84. Pathol. el. I 128.

328

ὀρεινόν

Pollux 7, 69 *τὸ ἄκναπτον ἱμάτιον ὀρεινὸν οἱ μέσοι κωμικοί, ὥσπερ εἰργασμένον τὸ ἐγναμμένον.* '*ὀρεινὸν* non expedio'. Mein. cf. 323.

329

ὀστοθήκην, ὀστοκόπον

Pollux 2, 232 *ἡ νέα κωμῳδία καὶ ὀστοθ. καὶ ὀστοκ. λέγει.*

330

πισύγγους, πισύγγια

Pollux 7, 82 *τοὺς τὰ ὑποδήματα ῥάπτοντας πισύγγους ἔνιοι* (*οἱ νέοι* Mein.) *τῶν κωμικῶν καλοῦσι, καὶ τὰ ἐργαστήρια αὐτῶν πισύγγια.* Hesych. et Phot. (Herodian. II 567, 28) *πισύγγιον· σκυτεῖον.* Hes. *πισύγγων· σκυτέων.* cf. Lobeck. Pathol. prol. 306. 7.

331

πονηρούς

Cramer. Anecd. Ox. I 372. 3 *πονηρός, ὁ κατὰ ψυχὴν ὀξυτόνως, ὁ δὲ κατὰ σῶμα προπαροξυτόνως . . . οἱ μέντοι νεώτεροι τῆς κωμῳδίας ποιηταὶ . . τὸ ὄνομα πονηροὺς ἐξήνεγκαν τοὺς ἐρῶντας παρὰ τὸ πονεῖν ἐν τῷ ἐρᾶν.*

332

προσωποποιόν

Pollux 2, 47 *ἡ νέα κωμῳδία καὶ πρ. εἴρηκεν ὃν ἡ ἀρχαία σκευοποιόν* (Arist. Eq. 232).

333

προυνίκους

τοὺς μισθωτοὺς οἱ νέοι κωμῳδοδιδάσκαλοι ὠνόμαζον. τὸ ὄνομα Βυζαντίων ἦν, ὅθεν καὶ Βυζαντίους αὐτοὺς ἀπεκάλουν. Pollux 7, 132. Herodian II 445, 7 (ac similiter 574, 9) *τὸ προύνεικος διὰ διφθόγγου γράφεται· σημαίνει δὲ τοὺς ὑβριστὰς καὶ τοὺς [ἄνδρας] ἱσταμένους ἐν ταῖς ἀγοραῖς καὶ φέροντας τὰ ὤνια καὶ λαμβάνοντας ὑπὲρ τούτων μισθόν. εἴτε δὲ τοὺς ὑβριστὰς σημαίνει εἴτε τοὺς ἄλλους, διὰ τῆς ει διφθόγγου γράφεται, καὶ ἐπὶ μὲν τῶν ὑβριστῶν, ἐπειδὴ παρὰ τὴν πρό πρόθεσιν καὶ τὸ νεῖκος γέγονε πρόνεικος ... εἰ δὲ τοὺς ἄλλους σημαίνει, ἐπειδὴ παρὰ τὴν πρό πρόθεσιν καὶ τὸ ἐνείκω Βοιωτιακὸν γέγονε προένεικος καὶ κατὰ κρᾶσιν . . . προὔνεικος.* Bekker. Anecd. 1415 (ex cod. Paris. 2630) *προὔνεικος οἱ μὲν ἀπὸ τῶν νεικῶν ἐσχημάτισαν· ἐπὶ γὰρ ἀπαιδεύτων φασὶ κεῖσθαι τὴν φωνήν. Ἀλεξίων μέντοι παρὰ τὸ ἔνεικος* (?) *ἐσχημάτισεν· κυρίως γὰρ λέγεσθαι προὐνείκους τοὺς μισθοῦ τὰ ἐξ ἀγορᾶς ὤνια κομίζοντας παῖδας. Δημήτριος δέ φησι τοὺς διδόντας τὰ ὤνια πρὶν ἢ λαβεῖν τιμήν. δῆλον δὲ ὅτι εἴτε κατὰ τὸν Ἀλεξίωνος λόγον εἴτε κατὰ τὸν Δημητρίου διὰ τῆς ει διφθόγγου ἡ γραφή ἐστιν.* cf. Etym. m. 691, 19. Ael. Dionys. Eustath. 983, 48. Cramer. Anecd. Ox. II 251. Paris. IIII 189. Phot. *προύνεικον.* Hesychius *προυνικοί· οἱ μισθοῦ κομίζοντες τὰ ὤνια ἀπὸ τῆς ἀγορᾶς, οὓς τινες παιδαρίωνας καλοῦσι· δρομεῖς ταχεῖς, ὀξεῖς, εὐκίνητοι, γοργοί, μισθωτοί,* quae ex parte proferunt Photius *προύνεικος,* Suidas *προύνεικος* (qui exscripsit etiam Diog. L. 4, 6), Bachmann. Anecd. I 353, 1. cf. 1343. dissentiunt de ea voce etiam recentiores: *προύνικος* Porsonus, *προὔνεικος* Lobeckius Agl. 1325. Rhem. 59, *προυνικός* Meinekius Anal. Alex. 398.

'Bochartus Hieroz. I 794 ex oriente repetit vocem a *phuranik,* quod celeritatem cursus indica*t*.' M. Schmidt.

334

στράβωνες

Pollux 2, 51 *διάστροφος, στρεβλός· ὁ γὰρ στραβὸς ἰδιωτικόν, καὶ οἱ στρ. ἐν τῇ νέᾳ κωμῳδίᾳ.*

335

ὑπόξυλον

Pollux 3, 56. cf. 83 et Aristoph. fr. 881.

ΑΔΗΛΑ ΟΠΟΤΕΡΑΣ

336

αὕτη πόλις ἔσθ' Ἑλληνὶς ἡ ῥόδοις ἴσην
εὐωδίαν ἔχουσα χἄμ' ἀηδίαν.
τὰ γὰρ Ἁλίεια τὰ μεγάλ' εἰς σχολὴν ἄγει,
τὸ δ' ἁλιακὸν ἔτος με μαίνεσθαι ποιεῖ·
ὅταν δὲ τὴν λεύκην τις αὐτῶν πραέως
ἁλιακὸν εἶναι στέφανον εἴπῃ, πνίγομαι
οὕτως ἐπ' αὐτοῖς, ὥστε μᾶλλον ἂν θέλειν
ἀποκαρτερεῖν ἢ ταῦτ' ἀκούων καρτερεῖν.
τοιοῦτο τῶν ξένων τι καταχεῖται σκότος.

[Dicaearchus] 1, 5 in C. Muelleri Geogr. min. I 100 (continuo post Lysippi fr. 7). 1. ἣ ῥόδοις cod. Par. ἴσην Steph.] δίσσην. ῥόδων δίκην Naekius. 2. χἄμ' ἀηδίαν G. Herm.] καὶ ἀμαληδίαν. 3. Ἁλίεια τὰ μεγάλ' Naek.] ἀλιειτα μεγάλην cod. εἰς σχολὴν Steph.] εἰσχολὴν cod. οὐ σχ. Naek. Ἁλ. μὲν μεγάλην ἔχει σχολήν *(oblectationem)* Mein. II 147. (μὲν μεγάλην σχολὴν ἄγει V 32. 3.) μεγάλην μ' εἰς χολὴν (debebat certe εἰς μεγάλην χολήν μ') Holsten. 4. ἁλιακὸν (ut mox iterum) ἔτος cod. ἔθος Steph. ἔπος Holst. ἕδος Osann. (i. e. colossus Rhodius). ἔτνος Mein. coni. Bergk. zur Monatsk. p. 69, etiam *pultem* qua Halieis vescebantur, *solarem pultem* dictam esse censens. 5. λευκὴν cod. 9. τοιοῦτο τῶν edit.] τοιούτων cod. καταχεῖται G. Herm.] καλεῖται cod. κακχεῖται Casaub.

Rhodum dici praeeunte Casaubono monuit Naekius Opusc. I 339. si v. 4 colossus Rhodius, Charetis Lindii opus (Strab. 14, 652. Plin. N. h. 34, 41. 2), significaretur, eclogam novae comoediae esse constaret. scribi non potuisse ante Ol. 93, 1, quo anno Rhodii ex tribus oppidis Lindo, Ialyso, Camiro in unam civitatem Rhodum commigraverunt (Diodor. 13, 75), adparet. C. Muellerus cum Lysippi fr. 7 hoc coniungi posse censet, si loqui fingamus hominem Atheniensem, Rhodi degentem. non coniuncta fuisse multo veri similius est. 3. de *Halieis* cf. Athen. 13, 561e. Aristid. I 808 Dind. Eustath. 1562. Preller. Myth. gr.[2] I 335. 5. Schol. Pind. Ol. 7, 147 ὁ στέφανος (παρὰ Ῥοδίοις) λεύκη δίδοται. 8. cf. Timocl. 18, 4. 5.

337

[Dicaearch.] 1, 25 in C. Mueller. Geogr. min. I 104 *ἱστοροῦσι δ' οἱ Βοιωτοὶ τὰ κατ' αὐτοὺς ὑπάρχοντα ἴδια ἀκληρήματα λέγοντες ταῦτα· τὴν μὲν αἰσχροκέρδειαν κατοικεῖν ἐν Ὠρωπῷ, τὸν δὲ*

φθόνον ἐν Τανάγρᾳ, τὴν φιλονεικίαν ἐν Θεσπιαῖς, τὴν ὕβριν ἐν Θήβαις, τὴν πλεονεξίαν ἐν Ἀνθηδόνι, τὴν περιεργίαν ἐν Κορωνείᾳ, ἐν Πλαταιαῖς τὴν ἀλαζονείαν, τὸν πυρετὸν ἐν Ὀγχηστῷ, τὴν ἀναισθησίαν ἐν Ἁλιάρτῳ. τάδ' ἐκ πάσης τῆς Ἑλλάδος ἀκληρήματα εἰς τὰς τῆς Βοιωτίας πόλεις κατερρύη. in his *αἰσχροκερδίαν*, *θεσπεσίαις*, *κορωνίᾳ*, *ἀλαζονίαν*, *ὀσχήστῳ* cod. Par.

ex comoedia haec excerpta esse sententia est A. Nauckii (Philol. VI 425 sq.) ita fere poetam scripsisse censentis: *τὴν μὲν αἰσχροκερδίαν | σύνοικον Ὠρωπῷ, Τανάγρᾳ δὲ τὸν φθόνον, | φιλονεικίαν δὲ Θεσπιαῖς, Θήβαις ὕβριν, | πλεονεξίαν Ἀνθηδόνι καὶ περιεργίαν | Κορωνίοισι, τῇ δὲ Πλαταιέων πόλει | ἀλαζονείαν, τὸν πυρετὸν δ' Ὀγχηστίοις, | Ἁλιαρτίοις δὲ τὴν ἀναίσθητον φύσιν. | πάσης τάδ' ἐκ τῆς Ἑλλάδος ἀκληρήματα | Βοιωτίας ἐς τὰς πόλεις κατερρύη.* in quibus et sunt quae displiceant et quid sint *ἀκληρήματα*, qua voce apud posteriores singuli *casus adversi* significantur, nescio. dubitari potest an ex pluribus comoediis haec congesserit scriptor. si ex una sunt, scripta sunt inter Ol. 98, 1 et 101, 3, siquidem Plataeae post pacem Antalcideam restitutae Ol. 101, 3 a Thebanis denuo dirutae sunt. fortasse *σύνοικον Ὠρωπῷ μὲν αἰσχροκερδίαν,| φθόνον δὲ Τανάγρᾳ, Θεσπιαῖς φιλονεικίαν, | Θήβαις ὕβριν, πλεονεξίαν Ἀνθηδόνι, | περιεργίαν δὲ τῇ Κορωνίων πόλει, | ἀλαζονείαν ταῖς Πλαταιαῖς (μυρίαν), | πύρεξιν Ὀγχηστῷ δέ, κἀναισθησίαν | (μάλισθ') Ἁλιάρτῳ . . . . | τάδ' ἐξ ἁπάσης Ἑλλάδος τἀγκλήματα | Βοιωτίας ἐς τὰς πόλεις κατερρύη.* de nomine *Κορώνιοι* Strab. 9, 411 *οἱ ἐν τῇ Κορωνείᾳ Κορώνιοι λέγονται.*

338. 339

χλανίσι δὲ δὴ φαναῖσι περιπεπεμμένοι
καὶ μαστίχην τρώγοντες, ὄζοντες μύρου.

τὸ δ' ὅλον οὐκ ἐπίσταμαι
ἐγὼ ψιθυρίζειν, οὐδὲ κατακεκλασμένος
πλάγιον ποιήσας τὸν τράχηλον περιπατεῖν,
ὥσπερ ἑτέρους δρῶ κιναίδους ἐνθάδε
πολλοὺς ἐν ἄστει καὶ πεπιττοκοπημένους.

v. 1. 2 Clemens Alex. Paed. 3, 3, 15 *κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι· χλανίσι δὲ διαφανέσι περιπεπεμμένοι καὶ μαστίχην κτλ.* v. 3 sq. Clemens Alex. Paed. 3, 11, 69 *ἔχοι δ' ἂν κἀκεῖνο ἄριστα τὸ εἰρημένον κτλ.* 1. *δὴ φαναῖσι* Mein.] *διαφανέσι. περιπεπλεγμένοι* Heinsius. v. 2 (*τρώγοντας, ὄζοντας*) Meinekius post v. 7 transponendum censuit. 4. *κατακεκλασμένως* BFR. 6. *ἑταίρους* MNPR et supra scripto *ε* F. *δρῶμεν* BR. 7. *περιπιττοκοπημένους*

BR. — mihi etiam *κουρὰς ἀγεννεῖς κτλ.* comici videntur omniaque a Clemente ex una scaena exscripta: *τὸ δ' ὅλον — πεπιττοκοπημένους, κουρὰς ἀγεννεῖς, πορνικὰς κεκαρμένους, χλανίσι τε ταῖς φαναῖσι περιπεπεμμένους, καὶ μαστίχην τρώγοντας, ὄζοντας μύρον.* cf. 375.

2. *μαστίχην* manducabant odoris causa. Plin. N. h. 20, 263 *mastiche e carduis odorem commendat oris.* 4. Archipp. 45. Polem. Physiogn. 1, 176 *κλάσις τοῦ τραχήλου ἀνδρόγυνον δηλοῖ.* Dio Chrys. 5 p. 196 R. *γυναῖκα . . . ἐπιδεικνύουσαν . . τοὺς μαστοὺς καὶ τὸν τράχηλον ἀνακλῶσαν* (Mein.). 7. cf. Alexid. 264 et quae ad Philemonis *Πιττοκοπούμενον* adnotavimus.

340

δέσποιν' ἁπασῶν, πότνι' Ἀθηναίων πόλι,
ὡς πάγκαλόν σου φαίνεται τὸ νεώριον,
ὡς καλὸς ὁ Παρθενών, καλὸς δ' ὁ Πειραιεύς.
ἄλση δὲ τίς πω τοιάδ' ἔσχ' ἄλλη πόλις;
καὶ τοὐρανοῦ γ', ὥς φασιν, ἐστὶν ἐν καλῷ.

Dio Chrysost. 64, p. 334 Reisk. v. 3 partem priorem addidit Porsonus ex Diogene L. 7, 67 *ὅμοιον δέ ἐστιν ἀξιώματι ὃ τὴν ἐκφορὰν ἔχον ἀξιωματικὴν παρά τινος μορίου πλεονασμὸν ἢ πάθος ἔξω πίπτει τοῦ γένους τῶν ἀξιωμάτων, οἷον 'καλός γ' ὁ Παρθενών'.* Syrianus Walz. Rhet. VII 4 *οἱ δὲ Στωικοὶ προστιθέασι τούτοις* (Peripateticorum partitionibus orationis) *καὶ ἄλλους ἕξ· πυσματικὸν καὶ ἐπαπορητικόν . . . εἶτα θαυμαστικόν· ὡς καλὸς ὁ Παρθενών.*

1. *δέσποινα δ' ἁπασῶν πόλεων, πότνια κτλ.* cod. corr. Mein. *δέσποινα πόλεων* Porsonus. *δέσποιν' ἄνασσα* G. A. Hirschig. Ann. crit. 34. 2. *ὡς πάγκαλόν* Reiskius] *ὡς καὶ καλόν.* 3. *ὡς καλὸς* Syrian.] *καλός γ'* Diogen. 4. *πόλις* add. Porson. 5. *γ', ὥς* Reisk.] *πῶς.*

4. *ἄλση.* significantur Academia cum Colono et fortasse ea urbis regio, cui nomen erat *Κῆποι.* 5. cf. Xenoph. Vectig. 1. Dion. 6, 179 (*εἶναι*) *τὸν ἀέρα κοῦφον, ὡς μήτε ὕεσθαι πολλάκις μήτε ὑπομένειν τὸ γινόμενον ὕδωρ.*

341

ἂν μῦς διορύξῃ βωμὸν ὄντα πήλινον
κἂν μηδὲν ἄλλ' ἔχων διατράγῃ θύλακον,
ἀλεκτρυὼν τρεφόμενος ἂν ἐφ' ἑσπέρας
ᾄσῃ, τιθέμενοι τοῦτο σημεῖόν τινος —

Clemens Alex. Strom. 7, 4, 24 *εἰκότως τοίνυν δεισιδαίμονες περὶ τοὺς εὐοργήτους γινόμενοι πάντα σημεῖα ἡγοῦνται εἶναι τὰ συμβαίνοντα καὶ κακῶν αἴτια κτλ.* indicavit Porsonus Eurip. Med. 139

n. xi. 1. ἂν Mein.] ἐὰν L. διορύξῃ Sylb.] διορίζῃ L. βωμὸν] τοῖχον Naber. Mnem. nov. VIII 433. 2. διατράγῃ Sylb.] διατραγῇ L. θύλακον Porson.] λυκήθιον L. perperam ληκύθιον Sylb. 3. ἂν ἐφ' anon. Zimmerm. ann. 1835, 91] ἐὰν ἀπὸ L. 4. τιθέμενοι] τιθέμεθα Cobet. N. l. 175. sed videtur abrupta esse oratio. τινος L] τινες Sylb., nulla necessitate. — cf. 350.

'Bion' apud Clem. ibid. 'τί δὲ καὶ θαυμαστόν, εἰ ὁ μῦς τὸν θύλακον διέτραγεν, οὐχ εὑρὼν ὅ τι φάγῃ; Theophr. Charact. 16 ἐὰν μῦς θύλακον . . διαφάγῃ, πρὸς τὸν ἐξηγητὴν ἐλθὼν ἐρωτᾶν τί χρὴ ποιεῖν.' Porson. Cic. De divin. 2, 27 *nos autem ita leves et inconsiderati sumus, ut si mures conroserint aliquid, quorum est opus hoc unum, monstrum putemus.* (Potter.) in Menandri fr. 534 post v. 11 insertum ad Δεισιδαίμονα refert Herwerd. Anal. crit. 38. 9. — antiquae haec non minus quam novae comoediae esse possunt. cf. Arist. Av. 720. 1.

342

. . . . ἄλλους δὲ πλήρεις κραιπάλης,
αὐχμῶντας, ὠχριῶντας ἔστιν εἰσορᾶν,
τὰ πρόσωπα πελιτνοὺς κἀπὶ τῇ χθεσινῇ μέθῃ
ἄλλην ἕωθεν αὖθις ἀντλοῦντας μέθην.

Clemens Alex. Paed. 2, 2, 26 ἄλλους δὲ (ὁρᾶν ἔστιν) πλ. κρ. — ὠχρ. τὰ πρ. πελιδνοὺς καὶ ἔτι τῇ χθιζῇ μ. ἄλλην εἰς ἕω αὖθις ἀναντλ. μ. cf. 375. — 3. πελιτνούς, ut Alexid. 110, 17.

343

ὁ δ' οὔτ' ἄγαν ὀπτοῖσιν οὔθ' ἑφθοῖς ἄγαν,
οὔθ' ἧττον οὔτε μᾶλλον οὔτε διὰ μέσου
ἠρτυμένοισι χαίρων ὥστ' ἐπαινέσαι.

Plutarchus Mor. 461 b μεῖζον οὐδὲν εὐκολίας καὶ ἀφελείας ἐφόδιον εἰς πρᾳότητα . . . τῷ . . . μὴ δεομένῳ πολλῶν καὶ περιττῶν κτλ. 2. ἀλλὰ διὰ μέσου Madvig. Advers. crit. I 640. 3. ἠρτυμένοις ἔχαιρεν Mein.

344

πλευρίτιδες, περιπλευμονίαι, φρενίτιδες,
στραγγουρίαι, δυσεντερίαι, ληθαργίαι,
ἐπιληψίαι, σηπεδόνες, ἄλλα μυρία.

Hipparchus Pythag. Stob. Floril. 108, 81 πρᾶτόν γ' ἐπένθωμεν ἐπὶ τὰ συμβαίνοντα περὶ τὸ σῶμα κτλ. indicavit Nauck. Philol. IIII 359. 1. φρενίτιδες Nauck.] φρενίτιδες, ποδάγραι. νεφρίτιδες K.,

nam *φρενίτιδες* quidem, i. e. *μανίαι*, non sunt *περὶ τὸ σῶμα.* ex Hipparchi aetate nihil efficitur ad aetatem fragmenti definiendam, nisi ante saec. 4 medium id scriptum fuisse.

345

πᾶς ὁ καθ' ἑαυτὸν τεχνολογῶν θαυμάζεται,
διακρινόμενος δὲ πρὸς ἑτέρους ἐλέγχεται
ὑποβολιμαίαν σύνεσιν ἠμφιεσμένος.

Stobaeus Ecl. 2, 15, 9 Wachsm. *ριπιδ* L., *εὐ* praef. rubric. comico tribuit Gaisf., Philippidis vel Hermippi esse coni. Wachsm. — 1. *ὁ* Mein.] *τὸ.*

346

ὅταν ποιῶν πονηρὰ χρηστά τις λαλῇ
καὶ τὸν παρόντα πλησίον μὴ λανθάνῃ,
διπλάσιος αὑτῷ γίνεθ' ἡ πονηρία.

Felton. ex tabula lignea cerata mus. Abbot. Welcker. Mus. Rhen. XV 156. Froehner. Tablettes grecques du musée de Marseille (1867) p. 4. cf. etiam Kaibel. Epigramm. xxiii 1117a. 3. *διπλάσιος αὑτῷ* Welck.] *διπλασίως αὑτῷ* tab. *αὑτῷ διπλασίως* Felt. *γίνεται* tab. (in qua omittitur *ι* subscr.). unde Felto et Welckerus concluserint Menandri esse nescio. nec satis firmatur H. Iacobi sententia, hoc fragmentum cum 636 Menandri ita coniungentis, ut hoc sit responsum alterius personae (Progr. Posn. 1861 p. 9).

347

εἶτά μοι σκάπτων ἐρεῖ
ἐφ' οἷς γεγόνασιν αἱ διαλύσεις· ταῦτα γὰρ
πολυπραγμονῶν νῦν ὁ κατάρατος περιπατεῖ.

Plutarchus Mor. 519a *ὁ μὲν γὰρ ἀληθινὸς ἐκεῖνος γεωργὸς οὐδὲ τὸν αὐτομάτως ἐρχόμενον ἐκ πόλεως λόγον ἡδέως προσδέχεται λέγων κτλ.* idem 511e (Romanum servum negat quicquam non interrogatum dicere audere), *ὁ δ' Ἀττικὸς ἐρεῖ τῷ δεσπότῃ σκάπτων ἐφ' οἷς — διαλύσεις.* non recte haec interpretatus est Iacobsius ap. Mein. Menand. rel. p. 38. sunt verba domini indignantis, quod servus garrulus vel inter opera rustica sibi talia non curanti de rerum publicarum statu narret. ad Menandri *Georgum* referebat Toupius. sed cum ignoremus quae indutiae significentur, ne illud quidem constat, utrius comoediae haec fuerint.

347a

οἶνος δ' ἀληθείας ἔφυ γονιμώτατος·
ἧς μὴ παρούσης οὐδέν ἐστ' ἐμπειρίας
οὐδ' ἀγχινοίας ὄφελος.

Plutarchus Mor. 715 b *ἔστι δὲ (οἶνος) παρρησίας καὶ δι' αὐτὴν ἀλ. γ. κτλ.* 2. *ἐστ'* add.

348

μὴ τὴν ὕειον ἁρμονίαν ἡρμοσμένοι
ἐκ νύκτα νυκτὸς χἠμέραν ἐξ ἡμέρας
(αἰσχρῶς) καλινδώμεσθα.

Aristides II 582 Dindf. 2. *νύκτα ἐκ νυκτὸς καὶ ἡμ.* 3. *καλινδοίμεθα. αἰσχρῶς* add. — 2. de conlocatione verborum cf. *ἀνήλυθεν ἐκ δόρυ γαίης, δήεις ἐν πήματα οἴκῳ, ὑπὲρ αὐτὸς αὐτοῦ* al.

349

ἐς τὰς πανηγύρεις
ἀπιὼν τοσοῦτον πλῆθος ἀνθρώπων ὁρᾷς
συλλεγόμενον ἐπὶ τὴν θέαν τῶν τοιούτων καὶ

θέατρα μυρίανδρα συμπληρούμενα
καὶ τοὺς ἀγωνιστὰς
ἐπαινουμένους, τὸν δὲ καὶ νικήσαντα αὐτῶν ἰσόθεον νομιζόμενον.

Lucianus Anach. 10. 2. *ἀπ. ὁρ. τοσ. πλ. ἀνθρ.*

350

ἄν τις εἰσίδῃ βάκηλον ἢ
πίθηκον εὐθὺς ἐξιὼν τῆς οἰκίας,
ἐπὶ πόδ' ἀναστρέφει τε κἀπανέρχεται.

Lucianus Pseudolog. 17 *κἂν εἴ τις βάκηλον .. ἴδοι κτλ.* 3. *τε* add. cf. 341.

351

οἶδε θηρεύειν φίλους
ὃς πᾶσιν εὖ πράττουσι μὲν συνήδεται,
πεπονθόσιν δ' οἷ' οὐκ ἔδει συνάχθεται.

Aeneas Epist. 20 p. 30 Herch. *φίλ. οἶδε θηρ. καὶ εὖ πρ. — πεπονθόσι δ' οἷά περ κτλ.*

352

. . . *πάντα ταῦθ' ὑπὸ φιλανθρωπίας*
θεοὶ πονοῦσι πρὸς τὸν ἐπὶ τῆς γῆς βίον
ἕκαστα συντελοῦντες.

Lucianus Bis accus. 1 extr. *πάντα γὰρ ταῦτα ὑπὸ φ. οἱ θεοὶ κτλ.* 3. *ἕκαστα* Ψ] *ἕκαστοι* vel *ἑκάστοις*. *βίος* eadem vel simili significatione Lucian. Fugit. 3. 5. 6. 23. Hesiod. 2.

353

καὶ ποῖ βαδιεῖται τὸ κακὸν ἢ ποῦ στήσεται;
οὐκ οἶσθ' ὅτι πηγὴν ἀέναον πονηρίας
κινεῖς;

Maximus Tyrius Dissert. 2 p. 21 ed. Leid. (1614). 1. *ἢ* K.] *καί*. 2. 3. *ἀένναον κ. πον.*

354

ὁ γὰρ Ποσειδῶν· τὰς νεφέλας συνήγαγε
καὶ ἐτάραξε τὸν πόντον

ὥσπερ τορύνην τὴν τρίαιναν ἐμβαλών.

Lucianus Charon. 7 *ὡς ὁ Π. συνήγ. τ. ν.* — *ὥσπ. τορ. τινὰ ἐμβ. τ. τρ.* fortasse v. 2 *καὶ τὴν θάλατταν συνετάραξεν.*

355. 356

περὶ μεγάλων γὰρ πραγμάτων σκοπουμένοις
εὐνουστάτη σύμβουλος ἡ παρρησία.
. . . .
παρρησίαν δὲ παντὸς ὠνοῦ χρυσίου.

Ioannes Damasc. Flor. 1, 21, 22. 3 (V CCCLXX). 1. *γὰρ* add. Mein. *σκοπουμένοις* Mein.] *σκοπουμένη.*

357

τόλμα τι, κινδύνευε, πρᾶττ', ἀποτύγχανε,
ἐπίτυχε· πάντα μᾶλλον ἢ σαυτὸν προοῦ.

Polybius 31, 21 *γενομένων δὲ πάντων κατὰ τὸ συνταχθέν, λαβὼν ὁ Δημήτριος ἐπανέγνω. τὸ δὲ πιττάκιον περιεῖχε τὰς γνώμας ταύτας...κτλ.* *ἐπιτύγχανε, ἀπότυχε* Naber. Mnem. nov. VIII 34.

358

τοῖς συμμέτροις μὲν αὔξεται ψυχὴ πόνοις,
τοῖσιν δ' ὑπερβάλλουσι καὶ βαπτίζεται.

Plutarch. Mor. 9b *ψ. τοῖς μὲν σ. αὔξ. π., τοῖς δ' ὑπερβ. β.* — de verbo *βαπτίζειν* Heindorf. Plat. Euthyd. 277d.

359

τί τἀλλότριον, ἄνθρωπε βασκανώτατε,
κακὸν ὀξυδορκεῖς, τὸ δ' ἴδιον παραβλέπεις;

Plutarchus Mor. 469b *καί τοι τό γε πρὸς τὸν πολυπράγμονα λελεγμένον οὐκ ἀηδῶς δεῦρ' ἔστι μετενεγκεῖν κτλ.* et 515d *ἡ πολυπραγμοσύνη φιλομάθειά τίς ἐστιν ἀλλοτρίων κακῶν, οὔτε φθόνου δοκοῦσα καθαρεύειν νόσος οὔτε κακοηθείας κτλ.* Horat. Serm. 1, 3, 25 (Mein.) *cum tua pervideas oculis mala lippus inunctis, cur in amicorum vitiis tam cernis acutum?* de verbo *ὀξυδορκεῖν* cf. Lobeck. Phryn. 576. Menandro tribuebat Mein. Quaest. Men. 45.

360

πρὸς θῆλυ νεύεις μᾶλλον ἢ 'πὶ τἄρρενα;
B. ὅπου προσῇ τὸ κάλλος, ἀμφιδέξιος.

Plutarchus Mor. 766. 7 *οὐ γὰρ ὁ φιλήδονος ἐρωτηθεὶς εἰ πρὸς — τἄρρ. καὶ ἀποκρινάμενος ὅπου — ἀμφ. ἔδοξεν οἰκείως ἀποκρίνασθαι.* 1. *νεύει.* 2. *ὅπου*] *ἵν' ἂν* vel *ὅπου πρόσεστι κάλλος* K.

361

αὐχμῶντα δ' οὕτως ἄνδρα καὶ κεκονιμένον
κάλλιον ἢ τῶν νῦν παλαιστῶν ὁστισοῦν

Aristides II 233 Dindf. (*Μιλτιάδην*) *ἄνδρα οὕτ. αὐχμ. κ. κ. κ. ἢ τῶν παλαισάντων καὶ γυμναστικῶν ὁστ.* — *νῦν* add. scriberem *ὁντινοῦν*, ita si scripsisset Aristides. potest esse Eupolidis ex *Δήμοις*.

362

σὺ δ' ἄθλιος τὰ μὲν παραδραμών, τὰ δὲ βάδην
ἄναντα πολλὰ καὶ κάταντα πνευστιᾷς.

Lucianus De merc. cond. 26. — quis apud poetam adpelletur non constat. imitatur Hom. Il. 23, 116.

363

Ἅιδην ὑπειλήφασιν ὑπὸ τῇ γῇ τόπον
βαθύν, πολύχωρον καὶ ζοφερὸν κἀνήλιον.

Lucianus De luct. 2 *τόπον τινὰ ὑπὸ τῇ γῇ βαθὺν Ἅιδην ὑπειλ., μέγαν δὲ καὶ πολ. τοῦτον εἶναι καὶ ζ. καὶ ἀνήλ.*

364

καὶ πυραμίδες στῆλαί τε κἀπιγράμματα
πῶς οὐ περιττὰ παιδιαῖς τ' ἐοικότα;

Lucianus De luctu 22 *καὶ π. καὶ στ. καὶ ἐπιγρ. πρὸς ὀλίγον διαρκοῦντα πῶς οὐ π. καὶ π. προσεοικ.;*

365

ἐς τὸ φανερὸν μὲν οὐχὶ τολμῶσιν λέγειν,
ὑποτονθορύζουσιν δὲ συγκεκυφότες.

Lucianus Bis accus. 4 *πάντες ἀγανακτοῦσι . . . καὶ κτλ.* indicavit Mein. Philol. XV 539. 1. *τὸ* add. K. cf. Alexid. 2, 4. Arist. Thesm. 525. *οὐχὶ τολμῶσιν* Mein.] *οὐ τολμῶσι.* 2. *ὑποτονθορύζουσιν* Mein.] *ὑποτονθορύζουσι.*

366

ἀπὸ τῆς πατρῴας ἑστίας ἐξέρχεται
κάτω κεκυφὼς κοὐδέν' ἐξ ἐναντίου

προσβλέπων (fortasse *προσορῶν*). [Lucianus] Amor. 44. 2. *καὶ μηδένα τῶν ἀπαντώντων ἐξ κτλ.* celebratur priscae educationis modestia et severitas.

367. 368

μηδέποτ' ἐλάαν ἔσθι' ἀκαλήφην ἔχων,
χειμῶνος ὥρᾳ βολβοφακῆν. B. βαβαί, βαβαί.

Athenaeus 4, 158b *Χρύσιππος ἐν τῷ περὶ τοῦ καλοῦ γνώμας τινὰς εἰσφέρων φησί κτλ. μηδέποτ' ἐλάαν* Bergk.] *μήποτελαίαν* A. *μή μοί ποτ' ἐλαίαν* Mein. Anal. Ath. 75. proxima apud Chrysippum haec sunt:

βολβοφακῆ δ' ἶσον ἀμβροσίῃ ψύχους κρυόεντος.

ἶσον Mein.] *οἷον.* — et trimetros et heroicum versum Chrysippus videtur ex comoedia excerpsisse.

369

ἅ γ' εἴ τις εἰς τὸ φῶς ἄγοι, σάφ' ἴσθι, τῶν
δώδεκα θεῶν δέοιντ' ἂν εἰς σωτηρίαν.

Libanius II 97, 16. 1. τὸ et σάφ' ἴσθι add. ἄγει Bav. Mor.

370

τἀκ τῶν ἀγρῶν ἃ δίδωσιν ἐνιαυτὸς μόλις,
οὗτοι διαρρίπτουσιν ἐν ἀκαρεῖ χρόνῳ.

Libanius IIII 203, 7. 2. οὗτοι add. deinde ἐν ἀκ. χρ. διαρρ. (οἱ λαμπροὶ δοκοῦντες εἶναι).

371

πολλῶν ὀφείλω σοι χάριτας, γονῆς, τροφῆς·
ἀμείβομαί σε τῷ φυγεῖν τὴν οἰκίαν.

Libanius IIII 705, 16. 1. τροφῆς, παιδείας. — filius patrem adloquitur.

372

ψαιστά, λιβανωτόν, πόπανα· ταῦτ' ὠνήσομαι·
οὐ τοῖς φίλοις θύω γάρ, ἀλλὰ τοῖς θεοῖς.

Porphyrius De abstin. 2, 58 (p. 120, 8 Nauck.) λέγουσι γοῦν καὶ τῶν ποιητῶν οἱ ἐπ' ὀλίγον σωφρονοῦντες . . . ἄλλος δέ φησι κτλ. 1. πόπανα· ταῦτ' ὠνήσομαι Mein.] μόνα τ' αὐτῶν ἥσομαι. 2. φύλοις Mm. θεοῖς Mein.] θεοῖς τανῦν, quod rettinet Nauck. nihil in his est quod non etiam in antiqua comoedia dici potuerit.

373

οὐχ αἵματος καὶ τῶν ὅσα τούτοις κίρναται,
ἀλλ' ἐξ ἀδάμαντος καὶ πέτρας εἶ καὶ Στυγός.

Philostratus Epist. 14 (p. 471. 2 Herch.) οὐκ ἦσθα συγκείμενος ἐκ σαρκὸς (καὶ αἵματος add. Kayser.) καὶ τῶν — πέτρας καὶ Στ. σαρκὸς Bentl.] ἀέρος. Plat. Protag. 320d ἐκ γῆς καὶ πυρὸς . . . καὶ τῶν ὅσα πυρὶ καὶ γῇ κεράννυται. ἐγκιρνᾶσιν est Arist. Eccl. 841, κιρνάντες eiusdem fr. 683.

374

Ἀγαμέμνονος τὸ πρόσωπον ὅδ' ὑποκρίνεται,
Μίθαικος ὤν τις τἄνδοθεν ἢ Θεαρίων.

Themistius 21, 251c ἐξαπατᾷ ὑμᾶς καὶ πρ. Ἀγ. ὑπ. Μ. τις ὢν ἔνδ. κτλ. Plat. Gorg. 518b Θεαρίων ὁ ἀρτοκόπος (Aristoph. fr. 1)

καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικήν. Lucian. Apolog. 5 *ἐπὶ τῆς σκηνῆς Ἀγαμέμνων ἕκαστος αὐτῶν. . .ἀποθέμενοι τὰ προσωπεῖα γίγνονται ὑπόμισθοι τραγῳδοῦντες.*

375

ὧν ἐστι τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία, πότος.

Clemens Alex. Paed. 2, 2, 25 extr. *μακαριστὸν ἡγοῦνται βίον τὴν ἀκοσμίαν τὴν περὶ τὰ συμπόσια κτλ. κραιπάλη* Porson. Advers. 300] *κῶμος, κραιπάλη. κραιπ., | κῶμος, β. — ἀργία, | πότος* Markland. Explic. vet. auct. 258. cui, deleto tamen *πότος*, adsentiuntur Mein. et Cobet. N. l. 343. fortasse haec quoque coniuncta fuerunt cum fr. 338. 9 *ὄζοντας μύρου, | ὧν ἐστι τὸ ζῆν κτλ.* cf. etiam 342.

376

ἵππον ταλάντων εἶχε πεντεκαίδεκα,
αὐτὸς δὲ χαλκῶν τιμιώτερος τριῶν.

Clemens Alex. Paed. 3, 6, 34 *ὁ ἵππος αὐτοῦ πεντεκαίδεκα ταλάντων ἐστὶν ἄξιος . . ., αὐτὸς — ἐστι τιμιώτερος τριῶν.* v. 2 ex comoedia repetendum esse monuit Nauck. Philol. IIII 359. *αὐτὸς δὲ χαλκῶν ἐστι τιμιώτερος | τριῶν* Cobet. N. l. 343. mihi etiam priora comici et sicuti factum est scribenda esse videbantur.

377

ἐγὼ πάλαι περισκοπῶν τὰς ὁλκάδας
μετέωρος ἀεὶ πρὸς τὸ μέλλον γίνομαι.

Procopius Epist. 103. 1. *ἐγὼ δὲ π. περισκοπῶ.* 2. *γίνομαι* K.] *γινόμενος.* — loquitur mercator sollicitus.

378

ἀλλ' ὡς ἔοικε μόνον ὁρᾷς τὸ χρυσίον,
ἄγει δέ σ' αὐτὸ καὶ ποιεῖ μετάρσιον.

Procopius Epist. 125 *οὐδὲν ὡς ἔοικεν ὅτι μὴ χρ. ὁρᾷς κτλ.* — vocem *μετάρσιον* consulto ex tragicorum sermone retinuit ut Arist. Av. 1383.

379

μέγ' εἰς πόθον γάρ ἐστιν ἀνθρώποις πατρίς·
μάρτυς δ' Ὀδυσσεὺς τῆς Καλυψοῦς ὑπεριδών.

Procopius Epist. 128. *μ. τοῖς ἀνθρ. εἰς π. ἐστὶν ἢ π. καὶ μάρτυς Ὀδ. — παριδών.*

380

πέτρας γεωργεῖν ἐστι συμφορώτερον
ἢ πεδία χαλεποὺς γείτονας κεκτημένοις.

Theophylactus Simoc. Epist. 5 extr. *π. γὰρ ἡμῖν γ. συμφ. ἢ πεδία καὶ γηλόφους οἰκεῖν χαλ. κεκτ. τοὺς γ.* alii cod. *χαλεπὰς κεκτημένους τὰς γ.* (i. e. *τὰς γεράνους*). *πέτρας γεωργεῖν* Delphi dicuntur Lucian. Phalar. 2, 8.

381

τοῖσιν δὲ καρποῖς ἡ πάχνη λυμαίνεται,
καὶ τοὺς ἱδρῶτας τοῖς ἀνέμοις χαρίζομαι.

Theophylactus Simoc. Epist. 41 *ἡ δὲ π. λ. τοὺς καρποὺς ὡς ἀπαραίτητος τύραννος, καὶ τ. ἱδρ. ὁ τάλας κτλ.* — queritur agricola.

382

'ἄνδρες δικασταί' φθεγγομένους διηνεκῶς
ἡ τῶν γεωργῶν τάξις οὐ προσίεται.

Theophylactus Simoc. Epist. 50 *τοὺς γὰρ συκοφάντας ἄνδρας καὶ τὸ κτλ.* 1. *διηνεκῶς*] *πυκνότερον.* 2. *τάξις*] *πολιτεία.*

383

οὐκ ἔστ' ἀνεπιδόκητον ἀνθρώποις κακόν,
ὀλίγῳ χρόνῳ δὲ πάντα μεταρρίπτει θεός.

Theophilus Autol. 2, 115c. comici esse, non Simonidis (cui tribuit Theophilus), cum Bergkio (P. l. gr.[3] 1140) arbitratur Diels Mus. Rh. XXX 180. 2. caesura in versu comico vix toleranda. scrib. aut *μεταρίπτει* aut *μεταβάλλει.*

384

οὐ μέθυσός ἐσθ'; ὁ γὰρ τριῶν πίνων πλέον
καὶ μὴ μεθυσθεὶς ὑπερέβη πολλῷ μέτρον.

Maximus Conf. apud Wachsmuth. Stud. z. d. gr. Floril. p. 143. 1. *οὐ* et *γάρ* add. Usener. *ἐσθ'* idem] *ἐστιν. πλέον* idem] *πλέων.* 2. *καὶ — μεθυσθεὶς* Usener] *κἂν μεθύσῃ. πολλῷ* Usener] *τὸ. κἂν μὴ μεθυσθῇ φύσεως ὑπερέβη μέτρον* (debebat *φύσεος*) Fr. Schoell.

385

ἐγὼ δ' ἐν ἀνθρώποισι μέχρι τούτου δοκῶ
πράττειν καλῶς, μέχρι ἂν φθονεῖσθαί μοι δοκῶ.

Stobaeus Floril. 38, 5 sine lemmate. indicavit et emend. Cobet. Mnem. VIIII 121. 1. *μέχρι τοῦ* (*του* Vind.). 2. *εὖ πράττειν μέχρις ἂν.* (*δοκῇ* Vind.) *πράττειν καλῶς* etiam Heimsoeth. Ind. Bonn. aest. 1867 v.

386

κεῖται δ' ὁ τλήμων τὸ στόμα παρεστραμμένος,
ὃ τὸν δίμορφον Σωκράτην ἀπώλετο.

Zenobius Milleri 2, 48 (Mélanges 363). 2. perperam *δύσμορφον* Miller. — facile est scribere *ἀπώλεσεν*, sed nihil facit ad fragmentum obscurissimum intellegendum. ictus inusitatus v. 1 (*στομά*) transponendo emendari potest *κεῖται παρεστραμμένος ὁ τλ. τὸ στόμα.* ceterum cf. Meinek. Herm. III 456. propter formam *Σωκράτην* Dindorf. Annal. Fleckeis. XCVII 401 novae comoediae fragmentum tribuit. cf. etiam Nauck. Bullet. Petropol. XIII 374 (*Σωκράτη διώλεσεν*).

387

Λυδοὶ πονηροί, δεύτεροι δ' Αἰγύπτιοι,
τρίτοι δὲ πάντων Κᾶρες ἐξωλέστατοι.

Diogenian. 6, 24. Apostol. 10, 100. proverbium ex comoedia ductum videtur.

388

τοιαῦτα μέντοι πόλλ' ἀναγκαίως ἔχει
πάσχειν, ὅταν λάγνην τὸν ὀφθαλμὸν φορῇς.

Photius *λάγνης· οὐ λάγνος ὑπὸ τῶν Ἀττικῶν λέγεται κτλ.* recte Photium de accusativo *λάγνητα* somniantem (tamquam etiam *ἀδολέσχητα* dici possit) reprehendit Cobet. Mnem. VIII 28. Mnem. nov. III 383. 2. *παρασχεῖν* cod.

389

τὸ γνῶθι σαυτὸν ἐν λόγοις οὐδὲν μέγα,
ἔργῳ δὲ τοῦτο μόνος ἐπίσταται θεός.

Schol. Plat. Alcibiad. I 390 Bekk. *ῥᾴδιον . . τὸ λόγῳ διεξιέναι, παγχάλεπον δὲ τὸ ἔργῳ ἐπιχειρεῖν. καὶ γὰρ λέγεται κτλ.* 2. *τοῦτο μόνος* Mein. Cur. crit. 34] *μόνος τοῦτ'.* alii *μόνος δὲ τοῦτ'.*

390

τί ποτ᾽ ἐστὶ χλωρόν, ἀντιβολῶ, τὸ χρυσίον;
Β. δέδοικ᾽, ἐπιβουλευόμενον ὑπὸ πάντων ἀεί.

Schol. Aristoph. Plut. 204 *καί τις τῶν κωμικῶν φησι κτλ.* Diogen. L. 6, 56 (*Διογένης*) *ἐρωτηθεὶς διὰ τί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας.* Eustath. 812, 56 *τὸ ῥηθῆναι ὠχρὸν εἶναι τὸν χρυσὸν διὰ τὸ πολλοὺς ἔχειν τοὺς ἐπιβουλεύοντας.* indicavit H. Iacobi. Boissonad. Anecd. III 469 *διὰ τί τὸ χρυσίον ὠχρόν ἐστιν; ὅτι πολλοὺς ἐπιβούλους ἔχει* (Nauck.).

391. 392

μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον
πταίειν ἔχοντα καιρὸν ὁμολογούμενον.

Suidas *μὴ πολλάκις κτλ.* (*παίειν*). Suidas *πταίειν· προσκρούειν. καὶ παροιμία· μὴ π. πρὸς τὸν αὐτὸν λ. πτ.* — *ὁμολ.* v. 1. Polyb. 31, 6 *ὁ δὲ* (*Πολύβιος*) *παρεκάλει μὴ δὶς πρὸς τὸν αὐτὸν λίθον πταίειν*... *πολλὰς γὰρ ὑποδεικνύειν ἀφορμὰς τοὺς ἐνεστῶτας καιρούς.* Zenob. 3, 29 *δὶς πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον· ἐπὶ τῶν δεύτερον τοῖς αὐτοῖς περιπιπτόντων*, ubi *εἰσκρούειν* Erasmus metri causa. *αἰσχρὰ προσκρούειν* Mein. Philol. XXV 537, alterum hoc fragmentum comicum esse censens. cf. Diogenian. 4, 19. Greg. Cypr. 2, 15. Apostol. 6, 29. monost. 121 *δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.* 1. *μὴ πρὸς τὸν αὐτὸν πολλάκις πταίειν λίθον* Kuster. *μὴ πολλάκις γὰρ πρὸς τὸν αὐτὸν δεῖ* Mein., ubi *οὐ* pro *μὴ* dicendum erat. ac sic G. A. Hirschig. Ann. crit. 35. fortasse *μὴ πρὸς τὸν αὐτὸν πολλάκις λέγω (suadeo) λίθον πταίειν* — *ὁμολογουμένως.*

393

ψελλόν ἐστι καὶ καλεῖ
τὴν ἄρκτον ἄρτον, τὴν δὲ Τυρὼ τροφαλίδα,
τὸ δ᾽ ἄστυ σῦκα.

Eustathius 1535, 22 *ὁ κωμικὸς τὸ κάππα ἐξελὼν* (ex *ἄρκτος*) *γέλωτα ἐκίνησεν εἰπὼν οὕτω κτλ.* ... *ἀρκεῖ δὲ ἐπισημήνασθαι ὡς οὐ ψελλὰ τὰ εἰρημένα κυρίως, εἰ μή τις πᾶν παιδίον μὴ σαφῶς διαλεγόμενον ψελλίζεσθαι λέγει.* Aristophani haec adsignaverunt Dindorfius (536 p. 215) et Bergkius (II 1195), nulla necessitate.

394

. . περιφέρειν ματτύην καὶ ποδάριον,
καὶ γαστρίον τακερόν τι καὶ μήτρας ἴσως.

Athenaeus 14, 664c *ἄλλος δέ τίς φησιν κτλ.* 1. *καὶ* add. Mein. *ματτύης* commemoratio non est causa cur novae comoediae haec tribuantur. cf. Arist. Nub. 451.

395

. . *ἔοικεν, ἣν ἀνάπτουσιν βροτοὶ*
παρ' ἡλίου κλέπτοντες ἐντέχνως τὸ φῶς.

Clemens Alex. Strom. 5, 5, 29 *ἡ Ἑλληνικὴ φιλοσοφία τῇ ἐκ τῆς θρυαλλίδος ἔοικεν λαμπηδόνι, ἣν ἀνάπτουσιν ἄνθρωποι παρὰ κτλ.* versum 2 ex comico petitum esse indicavit Cobet N. l. 343. etiam priora indidem translata esse arbitror.

396

. . *ἐκείνων οὖν ἀπόσχου τῶν λόγων·*
λῆροι γάρ εἰσι παντελῶς καὶ φλήναφοι.

Aristaenet. Epist. 2, 17 med. 2. *καὶ φλ. π.*

397

εὐθὺς δὲ Φοῖνιξ γίνομαι·
τῇ μὲν δίδωμι χειρί, τῇ δὲ λαμβάνω.

Schol. Pind. Pyth. 2, 125 *οἱ Φοίνικες παλιγκάπηλοι . . . καὶ ὁ κωμικός κτλ.* 1. *δὲ* add. Hemsterh. Arist. Plut. 447. Aristophani tribuit Dindorfius (709).

398

τοῖς γὰρ λάλοισιν ἐξ ἄκρου
ἡ γλῶττα πᾶσίν ἐστι τετρυπημένη.

Lucianus Herc. 5 *μηδὲ τοῦτο θαυμάσῃς εἰδὼς τὴν ὤτων καὶ γλώττης συγγένειαν· οὐδ' ὕβρις εἰς αὐτὸν εἰ ταύτῃ τετρύπηται· μέμνημαι γοῦν, ἔφη, καὶ κωμικῶν τινων ἰαμβείων παρ' ὑμῶν μαθὼν κτλ.* 1. *λάλοισιν* Casaub. Theophr. Char. p. 103 Lips.] *λάλοις.* 2. *τετρυπημένη*] *διατετρημένη* Mein.

399

οὐ σοὶ γάρ εἰσιν οἱ λόγοι·
πολλοῖσιν ἔργοις τοῦτο σοῖς τεκμαίρομαι.

Aristides II 595 Dindf. 1. *οὐ γάρ σοί γε.* 2. *πολλοῖς.*

400

τίς γὰρ ἂν
ἀντὶ ῥαφανῖδος ὀξυθύμι' εἰσορῶν
ἔλθοι πρὸς ἡμᾶς;

Hesychius ῥαφανιδωθῆναι· τοὺς μοιχοὺς ταῖς ῥαφανῖσιν ἤλαυνον κατὰ τῆς ἕδρας κτλ. 1. ἂν add. Pors. Adv. 301. 2. ἀντὶ Pors.] ἀντὶ τῆς. ὀξυθύμι' εἰσορῶν Pors.] ὁρῶν ὀξυθυμίαν. 'si pro raphano moechis crux statuatur, nemo ad nos accedet.' Is. Voss. Catull. p. 43. cf. Eupol. 120. Harpocr. (et Phot.) ὀξυθύμια...ἔνιοι μὲν...ὀξυθύμια λέγεσθαί φασι τὰ ξύλα, ἀφ' ὧν ἀπάγχονται...Δίδυμος δὲ... φησὶν ὀξυθύμια τὰ καθάρματα λέγεσθαι καὶ ἀπολύματα. Pollux 2, 231 ὀξυθύμια τὰ καθάρματα. Bekker. Anecd. 288, 7 ὀξυθύμια· τὰ τῶν οἰκιῶν καθάρσια τὰ ἐν ταῖς τριόδοις τιθέμενα (287, 24 τὰ καθάρματα τῶν νεκρῶν, ἃ δὴ καὶ Ἑκαταῖα). — loquitur mulier.

401

ἅτερος πρὸς τὸν ἕτερον
ὑπαλείφεται τὼ χεῖρέ θ' ὑποκονίεται.

Plutarchus Pomp. 53 ἐπεὶ ἀνεῖλεν ἡ τύχη τὸν ἔφεδρον τοῦ ἀγῶνος, εὐθὺς ἦν εἰπεῖν τὸ κωμικὸν ὡς κτλ. — duo aemuli significantur qui, ut Pompeius et Caesar Crasso mortuo, tertio aemulo sublato statim ad certamen descendunt. Aristophane et Cratino dignum fragmentum iudicat Cobet. V. l.² 130.

402

δέξαι, τέκνον . . . . . . ἔγχεαι·
εἴ τί με φιλεῖς, μικρὸν ἔτι τοῦτο πρόσφαγε.

Diogenes Epist. 29 extr. 2. ἔτι μόνον τουτί. fortasse προσφέρου. ita avi nutricesque infantes adhortari solent.

403

τὸ μὲν λέγειν βροτοῖς
ἡ φύσις ἔδωκε, τὸ δὲ καλῶς λέγειν τέχνη.

Hercul. vol. conl. alt. VIIII fol. 11 ὥστε καὶ τὸ λ. ἡ φ(ύσ)ις ἔδω(κ)εν, τὸ δὲ καλῶς (λ)έ(γ)ειν ἡ τέχνη. comici esse statuit Gomperz. Wien. Stud. 1880 p. 5, qui τὸν μὲν βίον | ἡ φ. ἔδ. τὸ δὲ κ. ζῆν ἡ τέχνη poetae tribuit, quem Menandrum esse suspicatur.

404

ἰσχυρόν ἐστι πλούσιος ἀγνοούμενον
ἔχων κληρονόμον.

Plutarchus Mor. 497d. 2. fortasse κεκτημένος κλ.

405

ἀνθρώπων γέ τοι
ὀφλεῖν γέλωτα κρεῖττον ἢ μέμψιν θεῶν.

Aristides I 2 Dindf. ὡς δ' εἰπεῖν κρεῖττον, εἰ δεῖ, γέλ. ὀφλ. ἢ κτλ. opposito ἀνθρώπων carere vix possumus.

406

πάντα ταῦτα γὰρ
τύχη δίδωσι καὶ παραιρεῖται πάλιν.

Aristides I 778 Dindf. πάνθ' ὅσα τούτου τοῦ γένους ἔχεται, τύχης ἄν τις φήσειεν εἶναι, τῆς καὶ διδούσης ἕκαστα τούτων καὶ παραιρουμένης, ἡνίκ' ἂν καὶ τοῦτο βουληθῇ. unde eiectis additamentis facile quae supra posuimus elicias.

407

ἐπὶ γῆν καταβαλὼν ὡσπερεὶ τοὺς θυλάκους
τοὺς σφόδρα γέμοντας

Dio Chrysost. 8, 286 R. τὸν δὲ Βούσιριν (Ἡρακλῆς) διέρρηξεν ἐπὶ τὴν γῆν κτλ. (ὥσπερ). indicavit Meinekius I 351. *Busirin* scripserunt Cratinus, Antiphanes, Ephippus, Mnesimachus.

408

πρὸς τὸν ἥλιον
διψῶντες ᾄδουσ' οὐδὲν ὠφελούμενοι.

Dio Chrysost. 47, 229 R. ὅμοιος . . τοῖς τέττιξιν· καὶ γὰρ ἐκεῖνοι — ᾄδουσιν ὑπ' ἀνοίας οὐδ. ὠφ.

409

πῶς οὐκ ἀνοίας ἐσχάτης τὸ κακὸν κακῷ
ζητεῖν ἰᾶσθαι;

Libanius IIII 213, 15. ἐσχ. ἀν. κακῷ τὸ κακὸν ἐπιχειρεῖν ἰάσασθαι.

410

ἐν Σπάρτῃ μόνῃ
τυφλός ἐσθ' ὁ πλοῦτος ὥσπερ ἄψυχος γραφή.

Porphyr. De abstin. 4, 4 (162, 4 Nauck.) τοῦτο δὴ τὸ θρυλούμενον ἐν μόνῃ τῇ Σπάρτῃ βλέπεσθαι τυφλὸν ὄντα τὸν πλ. καὶ κείμενον ὥσπερ γραφὴν ἄψυχον.

411

ὥστε μοι δοκῶ
πλεῖν ἢ παλαστῇ γεγονέναι σοφώτερος.

Synes. Epist. 136, 272a. 2. *παλαιστῇ καὶ δακτύλῳ.* duo extrema vocabula eiecit Cobet. Mnem. nov. X 66. cf. Cratin. 133. Philem. 26. *παλαστή* (*ἄνευ τοῦ ῑ*) Phryn. Epit. 295, ubi iam Lobeckius haec ex comoedia excerpta videri adnotaverat.

412

ἡ δ' ἀρετὴ μόνη
καὶ διὰ καλοῦ τοῦ σώματος καταφαίνεται.

Clemens Alex. Paed. 2, 12, 121. fortasse *διὰ παλαιοῦ σ. διαφαίνεται.*

413

παρὰ τοῖς βαρβάροις
φασὶν δεδέσθαι τοὺς κακούργους χρυσίῳ.

Clemens Alex. Paed. 2, 12, 122 (*αἱ γυναῖκες*) *οὐκ ἴσασι τὸ πλημμέλημα οἷόν ἐστι δεσμὰ ἑαυταῖς περιθεῖσαι πλούσια μυρία· καθάπερ καὶ κτλ.* indicavit Nauck. Philol. IIII 244 conl. Dion. Chrys. 79, 433 R. (*παρὰ τοῖς Αἰθίοψι*) *τὸ χρυσίον ἀτιμότερον ἢ παρ' ἡμῖν ὁ μόλυβδος, καί φασιν αὐτόθι τοὺς κακούργους ἐν παχείαις δεδέσθαι πέδαις.* Herodot. 3, 23 *δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας ἐν πέδησι χρυσέῃσι δεδέσθαι. ἔστι δὲ ἐν τοῖσι Αἰθίοψι πάντων ὁ χαλκὸς σπανιώτατον καὶ τιμιώτατον.* ac Plut. Mor. 753 init. *χρυσαῖς ὥσπερ ἐν Αἰθιοπίᾳ πέδαις δεδέσθαι.* Heliodor. Aethiop. 9, 1 extr. *χρυσᾶ* (*δεσμὰ*) *ἐπιβάλλειν· ὅσα γὰρ σίδηρος παρ' ἄλλοις εἰς τὰς χρείας, ταῦτα παρ' Αἰθίοψιν ὁ χρυσὸς νομίζεται.* Suidas *Καιάδας . . . παρὰ δὲ Αἰθίοψιν οἱ κακοῦργοι χρυσαῖς ἁλύσεσιν ἐδέδεντο.*

414

οὐ γάρ μοι σχολὴ
τανῦν· ξενικῷ τῳ γὰρ ἰδιάζω πράγματι.

Bekker. Anecd. 43, 21 *ἰδιάζειν κτλ.* *τανῦν* et *τῳ* add. — *ἰδιάζειν* hic est soli alicui rei vacare.

415

αὐλεῖ Μαριανδυνοῖς καλάμοις θρηνῳδίαν
κρούων ἰαστί.

Schol. Aesch. Pers. 933 *αὐλοὶ Μαριανδυνοὶ ἐπιτηδειότατοι εἰς τὰς θρηνῳδίας, ὅθεν καὶ τὸ περιφερόμενον κτλ.* *θρηνῳδίαν* add. Mein. ed. min. XXIII n. 499, comico haec tribuens.

416

ὀρνιθίων
ὀπτῶν φακῆς τε καὶ πισῶν αὐταῖς χύτραις

Athenaeus 9, 406 b. *ὀρνίθων τε (περιενεχθεισῶν).* trimetrum Dindorfius agnoverat.

417. 418. 419

ἀγρὸν ἔσχ' ἐλάττω γῆν ἔχοντ' ἐπιστολῆς
Λακωνικῆς.

[Longinus] De subl. 38, 4 *καὶ τὰ κωμικά, καίτοι γ' εἰς ἀπιστίαν ἐκπίπτοντα, πιθανὰ διὰ τὸ γελοῖον κτλ.* *ἔσχ'* Portus] *ἔσχα* P. *ἔχοντ' ἐπιστολῆς Λακωνικῆς* Valcken. Theocrit. Adon. p. 256] *ἔχον γὰρ στολῆς. ἔσχε γὰρ ἐλάττω γῆν σκυτάλης Λ.* Faber. *ἀγρὸν ἔσχ' ἐλάττω 'πιστολῆς Λακωνικῆς* Toll. Strabo 1, 36 *εἰσί τινες ὑπερβολαὶ ἐπὶ ὑπερβολαῖς, ὡς τὸ κουφότερον εἶναι φελλοῦ σκιᾶς, δειλότερον δὲ λαγὼ Φρυγός, ἐλάττω δ' ἔχειν γῆν τὸν ἀγρὸν ἐπιστολῆς Λακωνικῆς.* quae omnia ex comicis poetis derivata suspicatur Mein. — cum 419 Apollodor. com. 6 contulit H. Iacobi V CCCXLII. cf. Leutsch. Apost. 9, 97a. Horat. C. 3, 9, 22 *levior cortice.*

420

ἀλλ' ὡσπερεὶ
ἥρως ἐν ἀσπίδι ξενίσαι σε βούλομαι.

Zenobius 1, 64 (*ὥσπερ*)· *ἐπὶ τούτων εἴρηται, οἳ τοῖς αὐτῶν ἔργοις ἢ τέχναις χρώμενοι τοὺς φίλους εὐεργετοῦσιν, παρόσον οἱ ἥρωες τὸ παλαιὸν ἔνοπλοι ὄντες ἐξενίζοντο.* indicavit Meinek. Philol. XV 539.

421

ἐγὼ μὲν ἠρίστησα, νὴ τὴν Ἄρτεμιν,
μάλ' ἡδέως.

Hierocl. et Philagr. Philogel. 226 *λιμόξηρος κωμῳδίας ὑποκριτὴς τὸν ἀγωνοθέτην πρὸ τοῦ εἰσελθεῖν ἄριστον ᾔτει. τοῦ δὲ ἐπιζητοῦντος διὰ τί προαριστῆσαι θέλει, 'ἵνα' ἔφη 'μὴ ἐπιορκοῦντες λέγωμεν· ἠρίστησα κτλ.'* — *ἐπιορκῶν λέγω· ἐγὼ μὲν ἠρ.* Cobet. N. l. 8.

422

τῇ κλίμακι
διαστρέφονται κατὰ μέλη στρεβλούμενοι.

Etymolog. m. 200, 56 κλῖμαξ δέ ἐστιν εἶδος ὀργάνου βασανιστικόν (-οῦ)· οἷον τῇ κλίμακι διαστρέφονται· οἷον τὰ μέλη στρεβλούμενοι. κατὰ pro οἷον τὰ Mein.

423

ἀγάλματα
χρυσοῦ 'στ' ἀπέφθου, τοῖς Παταίκοις ἐμφερῆ.

Suidas ἀπέφθου χρυσίου· τουτέστι τοῦ πολλάκις ἑψηθέντος, ὥστε γενέσθαι ὄβρυζον. χρυσί' ἔστ' ἄπεφθα τοῖς Παταικοῖς ἐμφερῆ (ita Bernhardy pro χρυσί' ἄπεφθά τε τοῖς κτλ.). χρυσίαις ἄπαιφθα A. χρυσίαις ἄπεφθα C. (uterque om. τε). Bekk. Anecd. 423, 23 ἄπεφθον χρυσίον (excidit interpretatio). lucem adferre videtur Herodot. 3, 37 ἔστι γὰρ τοῦ Ἡφαίστου τὤγαλμα (τὸ ἐν Μέμφι) τοῖσι Φοινικηίοισι Παταΐκοῖσι ἐμφερέστατον, τοὺς οἱ Φοίνικες ἐν τῇσι πρῴρῃσι τῶν τριηρέων περιάγουσι. ὃς δὲ τούτους μὴ ὄπωπε, ἐγὼ δέ οἱ σημανέω. πυγμαίου ἀνδρός μίμησίς ἐστι. sunt igitur *Pataeci* dei navium tutelares. Hesych. Πάταικοι· θεοὶ Φοίνικες, οὓς ἱστᾶσι κατὰ τὰς πρύμνας (πρῴρας) τῶν νεῶν. nullius pretii sunt quae adnotavit Bernhardy. Herodoti verbis cum Suidae glossa compositis non dubitavi scribere ut supra feci. Herodian. I 151, 8 προπαροξύνεται Πάταικος, Φάλαικος κτλ. cf. II 424, 18.

424

. . . . . ποταμὸν δὲ φεύγων ἀγνοεῖς
εἰς τὴν θάλατταν ἐμπεσών.

Aristides II 472 Dindf. π. φ. — ἐμπίπτων, ἀνὴρ ὁ σκώπτων ἐρεῖ. 'agnosco tragici sententiam'. Reiskius. est comici. videtur proverbium fuisse.

425

οὔτ' ἀλφίτοισι χαίρομεν·
πλήρης γὰρ ἄρτων ἡ πόλις.

Athenaeus 3, 113a ταῦτα σιτία Κρονικά ἐστιν, ὦ ἑταῖροι, ἡμεῖς γὰρ οὔτ' ἀλφίτοισι κτλ. 1. ἡμεῖς γὰρ οὐκέτ' Dobr. Adv. II 300. Athenaeus ut saepe suae orationi poetae verba accommodaverat, qui fortasse non scripsit ἡ πόλις, sed ἡ σιπύη. cf. Arist. Plut. 806.

426

ἀπεσκοτώθης, φίλτατε,
οἶνον σπάσας τοσοῦτον.

Athenaeus 10, 446b. 'videntur haec comici poetae esse'. Mein. *οἶνον σπάσας* Mein.] *σπάσας οἶνον.*

427

ἀμφότερον εὑρεῖν εὐτυχοῦντ' οὐ ῥᾴδιον
ἄνθρωπον.

Theophrastus Char. 20 *καὶ ἀμφότερα δὴ οὐκ ἔχοντα οὐ ῥᾴδιον ἄνθρωπον* [*σνλ*] *λαβεῖν.* ita ut scripsimus M. Haupt. Op. III 499, tritam aliquam sententiam illis verbis contineri censens. '*λαβεῖν* vitiosum esse videtur. quae duo illa sint sine quibus simul felix homo non facile reperiri dicitur non decerno. possunt plura cogitari tantum apta quantum quae describitur *ἀηδία* permittit'. comici esse puto.

428

ἀκρόπολις
πόρρωθεν ἀστράπτουσ' ἀπὸ πάσης εἰσόδου

Aristides I 771 Dindf. *ἃ δ' εὐθὺς εἰς ὀφθαλμοὺς ἔρχεται, ἀκρ. μὲν αὕτη τοσαύτη τὸ μέγεθος κτλ.* Pergamenam arcem dicit Aristides, Atheniensem sine dubio comicus, a quo haec mutuatus est. cf. 340.

429

καλὸν μένειν ἐφ' ἧς τετύχηκε τάξεως
ἕκαστον.

Lucianus Iudic. voc. 4 *καλὸν γὰρ ἕκαστον μένειν κτλ.*

430

γαστέρας
αὐταῖσι μήτραις καὶ καλῶν ζωμῶν πλέας

Athenaeus 9, 376d *καὶ τῶν ᾠῶν τὰ χρυσᾶ, ἔτι δὲ ὀρνίθων κτλ.* comici versum esse Dindorfius adnotaverat. 1. *γαστέρας* C] *γαστέρες* A. 2. *καὶ πλέας* om. C. *πλέας* Schweigh.] *πλέες* A.

431

οὕτως ἔρως ἰσχυρὸς ἐντέτηκέ μοι
τῆς πατρίδος.

Libanius IIII 260, 5. *ἰσχυρὸς ἔρως.*

432

ἔστι γὰρ
τὰ πολλὰ τοῖς πολλοῖσι τοῦ δείπνου χάριν.

Clemens Alex. Paed. 2, 1, 5 ἔστι γὰρ ὡς ἀληθῶς κτλ. πολλοῖσι Klotz.] πολλοῖς.

433

εἶμι γὰρ
ἐπ' αὐτὸν ἤδη τὸν κολοφῶνα τοῦ λόγου.

Gregorius Cypr. Leid. 2, 17 ἐπὶ μεγάλων καὶ ἀναντιρρήτων καὶ μεγάλην ἰσχὺν ἐχόντων. ἱστόρηται γὰρ τῶν ἐν 'Ασίᾳ πόλεων ἐκκλησιαζουσῶν καὶ ψήφους καταβαλλομένων μηδὲν τέως ἰσχύειν αὐτάς, εἰ μὴ καὶ ἡ τοῦ Κολοφῶνος καταβληθεῖσα τὸ κῦρος τοῖς ἐψηφισμένοις ἐδίδου. perperam Leutschius 'scribe τἄρ'', scilicet ut fiat tetr. troch. eadem Append. prov. 2, 15, nisi quod praebet εἶμι γὰρ ἤδη ἐπ' αὐτὸν κτλ. Gregor. Nazianz. Orat. I 5c εἶμι γὰρ — τοῦ λόγου. cur comoediae abiudicet Nauckius Bullet. Petrop. XII 516 non video: nam usi sunt eo proverbio multi. Plat. Leg. 2 extr. οὗτος...κολοφὼν ἐπὶ τῷ..λόγῳ ῥηθέντι εἰρήσθω. Euthydem. 301e κολοφῶνα ἐπιτίθης τῇ σοφίᾳ, ubi cf. Heindorf. Aristid. 2, 98 Dindf. εἶμι δ' ἐπ' αὐτὸν ἤδη τὸν κ. τῶν Πλάτωνος ῥημάτων. Liban. II 541, 8 ἥκω δ' ἐπ' αὐτὸν [ἤδη] τὸν κολοφῶνα τῶν κακῶν, quod fortasse alterum est fragmentum. aliter usitatissimum proverbium interpretatur Strabo 14, 643 et rursus aliter Gregor. Cypr. 2, 86. Schol. Aristid. 627, 10. cum Gregor. 2, 17 consentit Schol. Plat. Theaetet. 451 Bekk.

434

ἀνδρὶ γὰρ
πεινῶντι κλέπτειν ἔστ' ἀναγκαίως ἔχον.

Macarius 2, 14. Mant. prov. 1, 16. Suidas ἀνδρὶ πεινῶντι. — γὰρ add. Burneius, tetrametrum troch. esse censens.

435

ὀξύτερον . .
οἱ γείτονες βλέπουσι τῶν ἀλωπέκων.

Append. prov. 4, 31 ἐπὶ τῶν λανθάνειν μὴ δυναμένων. cf. Plat. com. 204. potest esse tetr. troch.

436

. . . . αὐτοὶ καθ' ἑαυτῶν τὴν κόνιν
ἀμώμενοι 'φάνησαν.

Schol. Hermog. Walz. Rhet. IIII 204 *πολλάκις τινὲς ἔξω τοῦ προκειμένου λέγειν ἔνια φιλοτιμηθέντες αὐτοὶ καθ' ἑαυτῶν, φασίν, κτλ.* Append. prov. 3, 34 *καθ' ἑαυτοῦ τὴν κόνιν ἀμᾶται,* nulla adiecta interpretatione.

437

ὁ μέν τις ἀμπέλους
τρυγῶν ἄν, ὁ δ' ἀμέργων ἐλάας . . .

Eustathius 838, 55 (ex Pausania) *ἀμέργειν ἤγουν καρπολογεῖν, οἷον κτλ.*

438

εἶτα δὴ
εἰς πόλιν ἄξεις τήνδε τὴν ὀνώνιδα;

Eustathius 1788, 21 *ἡ παρὰ τῷ κωμικῷ ὄνωνις, ἧς χρῆσις φέρεται παρὰ τοῖς τεχνικοῖς τό κτλ. . . . ὄνομα δὲ βοτάνης ἡ ὄνωνις, δι' ἧς ἐπ' ἀλογίᾳ ἴσως ὁ κωμικός τινα σκώπτει καὶ ῥᾳθυμίᾳ, ὡς τοῦ ὄνου καὶ νωθροῦ ὄντος.* — *εἰς τὴν πόλιν* Dindf. *εἰς πόλιν ἀπάξεις* Mein. inter Aristophanea recepit Dindorfius p. 215 (n. 537).

Theophr. H. pl. 6, 5, 4 *φύεται (ἡ ὄνωνις) ἐν τῇ γλίσχρᾳ καὶ γανώδει καὶ μάλιστα ἐν τῇ σπορίμῳ καὶ γεωργουμένῃ, δι' ὃ καὶ πολέμιον τοῖς γεωργοῖς. καὶ ἔστι δυσώλεθρος. ὅταν γὰρ λάβῃ χώρας βάθος, ὠθεῖται κάτω εὐθὺς καὶ καθ' ἕκαστον ἔτος ἀποφύσεις ἀφεμένη εἰς τὰ πλάγια εἰς τὸ ἕτερον ὠθεῖται κάτω.* cf. H. pl. 6, 1, 3. 6, 5, 3. Plut. Mor. 44e *ἀνὰ τρηχεῖαν ὄνωνιν | φύονται. .ἄνθεα λευκοΐων.* Plin. N. h. 21, 98 *ononis . . . aratro inimica vivaxque praecipue.* delectantur ea asini. est *ononis arvensis,* Fraas Synops. pl. 50. 1. Herodian. I 96, 19 *Ἄδωνις καὶ ὄνωνις, εἶδος ἀκάνθης, βαρύνονται.* II 761, 6 *νεᾶνις νεάνιδος ... ὀνῶνις ὀνώνιδος· ὄνομα δὲ τοῦτο ἀκάνθης.* '*ὄνωνις* fortasse rectius'. Lentz. '*und diese wilddiestel willst du in die stadt bringen?*'

439

Μυκονίων δίκην
ἐπεισπέπαικεν εἰς τὰ συμπόσια.

Suidas *ἐπεισπέπαικεν· εἰσεπήδησεν, εἰσῆλθεν. Ἀριστοφάνης Πλούτῳ* (805). *καὶ αὖθις κτλ.* et *Μυκώνιος γείτων . . . καὶ ἑτέρα παροιμία· Μυκωνίων δίκην κτλ. εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια.* Athenaeus 1, 7f *περὶ Περικλέους φησὶν Ἀρχίλοχος ὁ Πάριος ποιητὴς (Κρατῖνος ἐν Ἀρχιλόχοις* Hecker Philol. V 483) *ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια Μυκονίων δίκην.* Iulian. Misopog. 349d *ἡ λεγομένη Μυκόνιος ἀγροικία τε καὶ ἀμαθία καὶ ἀβελτερία.* cf. Cratin. 328. Apollod. Caryst. 12. Machon. 2. — pluralis

numerus (*τὰ σ.*) non satis concinit cum tempore perfecto: fortasse *τὸ συμπόσιον.* cf. 515 et Archiloch. 103 cum eis quae adnotavit Bergk. Aristophani tribuit Sternbach. Stud. Vindob. VIII 247. 8, nulla necessitate.

440

καλοῦ
γήρως θεμέλιον σωμάτων εὐεξία.

Plutarchus Mor. 8 c *κ. γὰρ — ἡ ἐν παισὶν τῶν σ. εὐεξία.*

441

ὦ τάλας ἐγώ,
τὸ μηδὲ τούτων ἕνα γενέσθαι.

Athenaeus 12, 536 e (*Φύλαρχος*) *Πτολεμαῖόν φησι τὸν δεύτερον . . . κατατεινόμενον ὑπὸ ποδάγρας . . ὡς κατεῖδε . . . τοὺς Αἰγυπτίους . . . τὰ τυχόντα προσφερομένους ἐπί τε τῆς ἄμμου χύδην ἐρριμμένους* (*εἰπεῖν*) *κτλ.* comici videntur esse. Hauptium haec alicubi tractare memini, sed locum reperire non potui.

442

σὲ γὰρ δεῖ τήμερον
χρηστὸν φανῆναι μᾶλλον ἢ (*δεινὸν λέγειν*).

Libanius I 455, 12 *δεῖ γάρ σε — ἢ ῥητορικόν.* cf. Arist. Ach. 440. 1.

443

χαλκεὺς οἷά τις
γέμων καπνοῦ τε καὶ μαρίλης

Suidas *μαρίλη· ἀμαυρὸν πῦρ. ὁ χνοῦς καὶ τὸ λεπτότατον τῶν ἀνθράκων κτλ. τε* add. Mein. *οἷα* pendet a verbo omisso. tetrametrorum troch. reliquias agnoscere sibi videbatur Bernhardy . . . . . . *χαλκεὺς οἷά τις γ. καπνοῦ | καὶ μαρίλης.* Themist. 298, 10 *ἀνθρακέως τινὸς ἢ σιδηρέως, καπνοῦ γέμοντος καὶ μαρίλης* (Bernh.).

444

πλέον δυοῖν σοι χοινίκων ὁ δεσπότης
παρέχει.

Choerobosc. 312, 6 *χοῖνιξ χοίνικος πανταχοῦ συστέλλει τὸ ῑ, οἷον . . . καὶ πάλιν κτλ. σοι*] *σε* Ven. — comico tribuit Gaisford. III 217.

445

. . . πουλύποδος δίκην
αὐτὸς σεαυτὸν καταφαγών

Hesychius. excidit interpretatio. πουλ. — σεαυτὸν K.] πολ. — ἑαυτόν. cf. Pherecr. 13. Alcaei com. 36.

446

δεῖται προφάσεως ἡ πονηρία μόνον.

Aristoteles Rhet. 1, 12 (1373a 3) ὥσπερ γὰρ ἡ παροιμία πρ. δ. μ. ἡ π. cf. Diogenian. 7, 87. Greg. Cypr. 3, 47.

447

ἔχει τελευτήν, ἧσπερ εἵνεκ' ἐγένετο.

Aristoteles Phys. ausc. 2, 2. διὸ καὶ ὁ ποιητὴς γελοίως προήχθη εἰπεῖν κτλ. εἵνεκ' K.] οὕνεκ'. εὐριπίδης ὁ ποιητής cod. F. 'comoediae probabiliter adscripsit Mein.' Nauck. Tr. gr. fr. x.

448

ἂν πολλὰ βάλλῃς, ἄλλοτ' ἀλλοῖον βαλεῖς.

Aristoteles De divin. in somn. 2 (463b 21) ὥσπερ λέγεται κτλ Plut. Mor. 437 extr. οἱ πολλὰ βάλλοντες ἐπιτυγχάνουσι πολλάκις cf. Apostol. 2, 87 (βάλῃς).

449

ὡς τοῖς ἐς ᾅδου βουλομένοις οὐδεὶς φθόνος.

Aristoteles Demetr. De elocut. 225 εἰ δὲ πρὸς ἁπάσας οἴχεται γᾶς φυγὰς οὗτος, ὥστε μὴ κατάγειν, δῆλον ὡς τοῖς γε εἰς ᾅδου κατελθεῖν β. κτλ. ex comoedia videntur fluxisse. de ellipsi cf. Arist. Ran. 1279. — Aristophanes ter εἰς ᾅδου, sed cf. Meisterhans Gramm. inscr. p. 100 n. 785.

450

τὰ δ' εἰς τὸ πρόσθεν ἀδυνατεῖ μύλης ὕπο.

Erotian. 12, 15 Klein. Διονύσιος Νικάνορα τὸν κατὰ Σέλευκον ἱστορῶν φησι κτλ. τὸ πρόσθεν Daremb.] τ' οὔμπροσθεν V. — μύλη dicitur ἡ ἐπιγονατίς Erot. 12, 9. *progredi non bene potest propter genu laesum.*

451

ἀνὴρ ἄριστος τἄλλα πλὴν ἐν ἀσπίδι.

Plutarchus Compar. Nic. et Crassi 3 καὶ τοῖς σπουδάζουσι περὶ

αὐτὸν ἐδόκει, κατὰ τὸν κωμικόν, ἀνὴρ ἄριστος εἶναι κτλ. Crassum dicit Plutarchus, Niciam fortasse comicus.

452

ἐν οἷς τὸ νικᾶν βλαβερόν, ἡττᾶσθαι καλόν.

Plutarchus Mor. 10a οὐ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττ. ἐπίστασθαι καλόν, ἐν οἷς τὸ ν. βλ.

453

οἴνῳ τὸν οἶνον, κραιπάλῃ δὲ κραιπάλην

Plutarchus Mor. 127f τὴν παροιμίαν...ὡς οἴνῳ δὴ τὸν οἶνον, κραιπάλῃ δὲ τὴν κραιπάλην ἐξελῶντας. fortasse φησὶν ἡ παροιμία | οἴνῳ — κραιπάλην | δεῖν ἐξελαύνειν. cf. Antiphan. 300 et adesp. 494.

454

ἅμας ἀπῄτουν· οἱ δ᾽ ἀπηρνοῦντο σκάφας.

Plutarchus Mor. 512f τὸν βουλόμενον ἐμμελῶς ἀποκρίνασθαι δεῖ... τὴν προαίρεσιν ἀκριβῶς καταμαθεῖν τοῦ πυνθανομένου, μὴ γένηται τὸ κατὰ τὴν παροιμίαν κτλ. cf. Zenob. 1, 83 cum eis quae adnotavit editor. Diogenian. 1, 72. Greg. Cypr. 1, 45.

455

τὸ φάρμακόν σου τὴν νόσον μείζω ποιεῖ.

Plutarchus Mor. 523e φιλαργυρίαν οὐ σβέννυσιν ἀργύριον... ἀλλ᾽ ἔστιν εἰπεῖν πρὸς τὸν πλοῦτον, ὡς πρὸς ἰατρὸν ἀλαζόνα κτλ. Horat. Carm. 2, 2, 13 *crescit indulgens sibi dirus hydrops.*

456

πενία δὲ τοῦτ᾽ οὐκ ἔστιν, ἀλλ᾽ ἀπληστία.

Plutarchus Mor. 524d πενία γὰρ οὐκ κτλ.

457

στρωμνὰς ἁλουργοὺς καὶ τραπέζας πολυτελεῖς

Plutarchus Mor. 527b ὡς γὰρ Ἀγάθων τὸν αὐλὸν ἀπέπεμψεν ἐκ τοῦ συμποσίου πρὸς τὰς γυναῖκας... οὕτως ἀποπέμψειας ἂν καὶ στρωμνὰς ἁλουργοὺς καὶ τραπέζας πολυτελεῖς. scr. ἁλουργεῖς.

458

χρηστῆς δὲ φύσεως οἷον ἐξανθήματα

Plutarchus Mor. 528d πάθη ψυχῆς ἐστιν οὐ χρηστά, χρηστῆς κτλ.

459

πρὸς καππάριον ζῇς δυνάμενος πρὸς ἀνθίαν.

Plutarchus Mor. 668 b *ὁ δὲ τὸ στιχίδιον τοῦτο ποιήσας κτλ. τί ποτε βούλεται;* Plin. N. h. 13, 127 *capparis firmioris ligni frutex, seminisque et cibis vulgati.* cf. Antiphan. 62. Timocl. 23, 2. Philem. 98, 5. Philippid. 9, 6. scribendum videtur *κάππαριν.*

460

Δελφοῖσι θύσας αὐτὸς ὀψωνεῖ κρέας.

Plutarchus Mor. 709 a *ἄλλως ἡμῖν προσπαίζουσιν οἱ λέγοντες κτλ.* Append. prov. 1, 95 (*οὐ φαγῇ* pro *ὀψωνεῖ*) *ἐπὶ τῶν πολλὰ δαπανώντων, μηδενὸς δὲ ἀπολαυόντων. παρόσον τοὺς ἐν Δελφοῖς θύοντας συνέβαινε διὰ τὸ πλῆθος τῶν ἑστιωμένων αὐτοὺς μηδενὸς γεύεσθαι.*

461

τουτὶ μὲν ἤδη πρὶν Θέογνιν γεγονέναι.

Plutarchus Mor. 777 c *τὸ δὲ λέγειν ὅτι δύο λόγοι εἰσὶν . . . ἕωλόν ἐστι καὶ ὑποπιπτέτω τῷ κτλ.* ibid. 395 e *ἢ τοῦτο μὲν ᾔδεις πρὶν Θ. γ. κατὰ τὸν κωμικόν.* 'Theognin intellego Megarensem.' Mein.

462

χαρᾶς γὰρ οὕτω γόνιμον οὐδὲν ὡς χάρις.

Plutarchus Mor. 778 d. *οὐδὲν οὕτω γόνιμόν ἐστιν.* argutiae comicae.

463

οὐ διὰ τραπέζης οὐδ' ἐφ' ἑστίας φίλους

Plut. Mor. 816 b *φιλεῖν ἅπαντας, ὡς οὐ διὰ τρ. ἢ κώθωνος οὐδ' ἐφ' ἑστ. . . . φίλους γεγονότας.*

464

δειπνῶμεν, ἵνα θύωμεν, ἵνα λουώμεθα.

Plutarchus Mor. 1071 d *ὅμοια ληροῦσι τῷ λέγοντι κτλ.* nugari dicit eos qui ambulationes, sectiones, alia id genus ita tractent, tamquam corporis sanitas illorum causa data sit, non illa sanitatis causa fiant; neque minus eos qui vivere hominem dicant ut edat, non edere ut vivat. itaque versus qui proxime antecedebat exibat in *ζῶμεν δ' ἵνα | δειπνῶμεν κτλ.* ac fortasse pro *θύωμεν* scrib. *πίνωμεν.* opinio exponitur stultorum istorum.

465

οἱ δ' ἐκ μιᾶς τῷδ' οἰνοχόης πεπωκότες

Plutarchus Mor. 1089a *οἱ Κυρηναϊκοὶ καίπερ ἐκ μ. οἰν. Ἐπικούρῳ πεπωκότες.* non necessarium est etiam comicum de philosophis locutum esse. ceterum cf. Append. prov. 2, 47. 68 cum eis quae adnot. editor.

466

ἐκ τοῦ βοὸς γὰρ τοὺς ἱμάντας λαμβάνει.

Plutarchus Mor. 1090f *ἡ φύσις τῆς σαρκὸς . . . τοῦτο δὴ τὸ παιζόμενον, ἐκ — λαμβάνουσα, τὰς ἀλγηδόνας ἐκ τοῦ σώματος . . . τὸν βίον ἐπισφαλῆ ποιεῖ καὶ φοβερόν.* Macar. 3, 69 *ἐκ τοῦ βοὸς ἡ μάστιξ· λείπει 'καὶ βοῦν δέρει'.* cf. Append. prov. 2, 49.

467

(ἢ) τῆς θαλάττης ἐξαριθμεῖσθαι τοὺς χόας

Aristides I 30 Dindf. *ὥσπερ ἂν εἴ τις ἐξαριθμεῖσθαι βούλοιτο τοὺς χ. τ. θ.* — de voce *τοὺς χόας* cf. Iacobs. Lect. Stob. 6, qui comparat Liban. I 312, 9 *τοὺς χόας τῆς θαλάττης μετρεῖν.* Plat. Theaetet. 173b *οἱ τῆς θαλάττης λεγόμενοι χόες.* Themist. 7, 97c *τῆς θαλάσσης τοὺς χόας.*

468

(*οἶνος*)

ποιεῖ χορευτήν, κἂν ἄμουσος ᾖ τὸ πρίν.

Aristides I 51 Dind. variavit comicus Eurip. Stheneb. 666 N. *ποιητὴν δ' ἄρα | Ἔρως διδάσκει, κἂν κτλ.*

469

οὐκ εἰσενεγκεῖν ἔστιν ὥσπερ χρήματα.

Aristides II 137 *οὐ γὰρ δὴ συνεισεν. γε κτλ.*

470

ὄναρ λέγεις ἢ γρῖφον ἢ οὐκ ἔχω τί φῶ.

Aristides II 198 *ἢ γὰρ ὄναρ κτλ.* non intellegit alter alterius verba.

471

Hesychius *ξυρήσομαι. ἐπειδὴ τὸ τραγικὸν τοῦ Πριάμου πρόσωπον ξυρίας ἐστίν.* Photius et Suidas *πριαμωθῆναι· ξυρηθῆναι· τὸ γὰρ τοῦ Πριάμου πρόσωπον ξυρίας ἐστίν.* Eustathius 1344, 7 *οἱ μεθ' Ὅμηρον καὶ κείρουσιν αὐτόν* (*τὸν Πρίαμον*). *ὅθεν καὶ πριαμωθῆναι τὸ ξυρηθῆναι. ἦν δὲ σκῶμμα, ἐπεὶ ὁ τραγικὸς Πρίαμος ξυρίας εἰσήγετο.* Poll. 4, 133 *ὁ ξυρίας πρεσβύτατος τῶν γερόντων ... τὸ γένειον ἐν χρῷ κουρίας ἐστὶν ὁ ξυρίας, ἐπιμήκης ὢν τὰς παρειάς.*

1124

προδοτίστερον

Photius *λέγουσιν ὡς λαγνίστερον καὶ (κ)λεπτίστερον καὶ πτωχίστερον.*

1125

προδωσίκομπος

Photius *ὁ ὑποσχετικός, ὁ τὰς ἑαυτοῦ ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενος, ἀλλὰ προδιδούς.* cod. *προδοσίκομπος.* Eustath. 710, 12 *προδοσίκομποι κατὰ τοὺς παλαιούς, ὅ ἐστιν εἰς μάτην ὑποσχετικοί, οἱ τὰς ἑαυτῶν ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενοι, ἀλλὰ προδιδόντες.* — *δωσίδικος, προδωσέταιρος,* similia suadent ut *προδωσίκ.* scribatur. cf. Lobeck. Phryn. 770.

1126

προσβωμολοχεῖ

πρὸς χάριν λέγει. Hesychius. *προσβολοχεῖ* cod., emend. Voss. et Kuster.

1127. 1128

πτάκις

Pollux 3, 136 *ὁ ἄψυχος ἰδιωτικόν, καὶ ὁ πτάκις σφόδρα κωμικόν.* Hesychius *πτάκις ἢ πτάκιδες* (*πτακὲς ἢ πτακίδες* cod.) *δειλοί, ἐπτηχότες. καὶ* π τ α κ ι σ μ ό ς. Photius *πτακίδες· δειλοί* (cod. *δεσμοί*). *πτάκις* (*πτάκ* superscr. ς cod.)· *δειλός· ὁ ἐπτηχώς* (sic Cobet. Mnem. VIII 64 pro *ὀπτικώς*). Lobeck. Pathol. prol. 507.

1129

πτερόν

Pollux 10, 127 *τὸ σκιάδ(ε)ιον οἱ κωμῳδ(ι)οποιοὶ καλοῦσιν.*

1130

πύππαξ

Hesychius *τὸ νῦν βόμβαξ λεγόμενον πύππαξ ἔλεγον, ὡς Λυκόφρων ᾠήθη. οὐκ ἔστι δέ. τὸ μὲν γὰρ βόμβαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐπὶ γέλωτος, τὸ δὲ πύππαξ οὐχί.* 'haec ad comicorum usum spectare Lycophronis nomen docet.' Mein. similiter Schol. Plat. Euthyd. extr., sed in fine *τὸ μὲν γὰρ πύπαξ τίθεται καὶ ἐπὶ σχετλιασμοῦ καὶ ἐγκωμίου, τὸ δὲ βόμβαξ οὐκέτι.* Photius *πύππαξ· ἐπίφθεγμα σχετλιασμοῦ.* cf. Cratin. 52.

1131

πυρῆνας

Pollux 6, 45 *ἃς οἱ νῦν θλαστὰς (ἐλάας), ταύτας* π υ ρ ῆ ν α ς *οἱ κωμικοί.*

1132

ῥαβάττειν

Photius *σοβεῖν καὶ τρέχειν καὶ συντόνως ποδοκτυπεῖν.* et continuo idem *ῥαβ. ἀντὶ τοῦ ἄνω κάτω [ἀντι]βαδίζειν.* Hesychius *ῥαβάττειν· ἄνω καὶ κάτω βαδίζειν, τινὲς δὲ τύπτειν καὶ ψόφον ποιεῖν τοῖς ποσὶ καὶ ῥάσσειν.* Bekker. Anecd. 446, 26 *ἀρράβακα· τὴν ὀρχηστρίδα ἢ καὶ τὸν ὀρχηστήν. ἢ καὶ βλάσφημον. ἀπὸ τοῦ ἀρραβάσσειν, ὅ ἐστιν ὀρχεῖσθαι.* haec postrema non credo ex comoedia fluxisse. ceterum cf. Lobeck. Pathol. el. 41 not.

1133

ῥιγεσίβιοι

Bekker. Anecd. 61, 29 *ἐπὶ τῶν πτωχῶν καὶ γυμνῶν, προσποιουμένων δ' ἀσκεῖν τὸ σῶμα.* Pollux 4, 186 *τοὺς ἀεὶ ῥιγῶντας οἱ παλαιοὶ ῥιγεσιβίους ἔλεγον, οὓς οἱ νῦν δυσρίγους. ῥιγοσίβιοι* cod. Bekk., *ῥιγοσιδίους* A Poll., *ῥιγῶσι βίους* B. cf. Aristoph. fr. 92.

1134

σάβυτταν

Photius *σάραβον· τὸ γυναικεῖον αἰδοῖον οἱ κωμικοὶ καλοῦσι. καὶ σάκταν. καὶ σάβυτταν. καὶ σέλινον, καὶ ταῦρον καὶ ἕτερα πολλά.* eadem fere Suidas *σάραβον.* cf. etiam Eustath. 1539, 33 (qui ceteris *δέλτα* addit). Photius *σαβύττης· ξυρήσεως εἶδος.* idem *σάβυττος· τὸ γυναικεῖον αἰδοῖον.* Hesych. *σάβυττος· εἶδος ξυρήσεως εἰς καλλωπισμόν. . . τινὲς δὲ τὸ γυναικεῖον.* — *δέλτα* est Arist. Lys. 151.

1135

σάκταν

Photius. cf. 1134. Hesychius *σάκαν· τὸ τῆς γυναικός.* ac *σάκανδρος* Arist. Lys. 824. unde *σάκαν* etiam Photio reddendum videtur.

1136

σαμάκια

Pollux 5, 101. cf. 1115.

1137

σάραβον

Photius. cf. 1134. cf. Hesych. et Suid. *σάραβον* (*σάραβος*). a nomine pistoris Plataeensis (Posidipp. 29) cognomen illud deductum arbitratur Mein.

1138

σέλινον

Photius. cf. 1134. Hesych. *σέλινον· τὸ γυναικεῖον.*

1139

σισάριον

Pollux 5, 101. cf. 1115. Phot. *σισάριον· χρυσοῦν κοσμάριον σισάρῳ ὅμοιον.* Hesych. *σισάριον· κοσμάριον χρυσοῦν γυναικεῖον, ὡς ἁλυσείδιον.*

1140

σισύμβριον

Pollux 5, 101. cf. 1115.

1141

σισυφίζειν

Bekker. Anecd. 64, 6 *πανουργεύεσθαι καὶ δολιεύεσθαι καὶ δολίως τι πράττειν.*

1142

σιφνιάζειν

Photius 515, 6 et Append. prov. 4, 73 *τὸ ἅπτεσθαι τῆς πυγῆς δακτύλῳ.* Hesychius *σιφνιάζειν· καταδακτυλίζειν. διαβέβληνται γὰρ οἱ Σίφνιοι ὡς παιδικοῖς χρώμενοι. σιφνιάσαι οὖν τὸ σκιμαλίσαι* (Arist. Ach. 444). Bekker. Anecd. 48, 23 *καταδακτυλίζειν· τὸ ἀσελγῶς τῷ δακτύλῳ τῆς τοῦ πέλας ἕδρας ἅπτεσθαι. τοῦτο καὶ σκιμαλίζειν οἱ Ἀττικοὶ λέγουσιν.* haec postrema videntur ad Arist. Eq. 1381 pertinere. *σιφνιάζειν* alia significatione Aristoph. fr. 912.

1143

σκαιεμβατεῖν

Photius *τὸ σκαιῶς καὶ ἀρρύθμως ἐμβαίνειν ὀρχούμενον. σκαιοβατεῖν* Eustath. 1469 init. et Suid.

1144

σκαφέας

Harpocration 127, 15 et Photius 263, 18 *μετοίκιον . . . ἐκάλουν δὲ οἱ κωμικοὶ σκαφέας τοὺς μετοίκους, ἐπεὶ ἐν ταῖς πομπαῖς τὰς σκάφας ἐκόμιζον οὗτοι.*

1145

σκινδακίσαι

Photius *τὸ νύκτωρ ἐπαναστῆναί τινι ἀσελγῶς.* idem *σκίν-*

δαρον· προσκίνημα. καὶ τὸ νύκτωρ ἐπαναστῆναι (ὑπαναστ. cod.) ἀκολάστως σκινδακίσαι. Hesychius σκινδαρεύεσθαι· κακοσχολεύεσθαι, δακτυλίζεσθαι, σκιμαλίζεσθαι. σκινδαρίσαι τὰ αὐτά. σκινδάρ(ε)ιος· ὄρχησις οὕτω καλουμένη. σκίνδαροι· τὰ προσκυνήματα. σκίνδαρος· ἡ ἐπανάστασις νυκτὸς ἀφροδισίων ἕνεκα.

1146

Σκίραψ, *Σκίραφος*

Bekker. Anecd. 1200 (ad 992, 32) ἔστι δὲ ὄνομα κύριον παρὰ τοῖς κωμικοῖς εὑρισκόμενον.

1147

σκορακίζειν

Photius οἷον εἰς κόρακας ἀποπέμπειν· ἀπὸ τούτου γὰρ εἴρηται, ὡς καὶ τὸ οἰμώζειν ἀπὸ τοῦ οἴμοι. cf. Phot. οὐκ ἐσκοράκισεν, σκορακίζονται. Hesych. σκορακίζει et σκορακισμός. Zenob. 5, 90. verbum exstat [Demosth.] 11, 11, sed a comico aliquo fictum videtur. cf. πατερίζειν, παππάζειν, ἀδελφίζειν, θυγατερίζειν. Arist. Av. 266 cum eis quae adnotavimus.

1148

σκορδοῦν

Pollux 5, 93. cf. 986 et Hesych. Phot. Lobeck. Pathol. prol. 148 not.

1149

σκυζᾶν

Bekker. Anecd. 12, 15. cf. 930.

1150

σοβαρός

Photius λαμπρός, ἐπαιρόμενος, τολμηρός, αὐθάδης, ἔξω τοῦ δέοντος φερόμενος . . . χρῶνται δὲ τῇ λέξει ταύτῃ συνήθως οἱ κωμικοί (sic Alberti pro κυνικοί).

1151

σοροδαίμων

Bekker. Anecd. 63, 10 ἐπὶ τεθνηκότος τάττεται. δηλοῖ δὲ (fortasse δηλοῦται δὲ καὶ) ὁ ἄξιος ἐν σορῷ δαίμων εἶναι δι' ὑπερβολὴν γήρως. cf. 860 et 1392.

1152

στόρθυγγας

Pollux 2, 28 τὰς συνεστραμμένας μετὰ ῥύπου τρίχας ἢ κωμῳ-

δία στ. καλεῖ. Hesychius *σπόρθυγγες· αἱ συνεστραμμέναι μετὰ ῥύπου τρίχες.* Lobeck. Pathol. el. I 140. '*στόρθυγξ* adpellatur quidquid durum torridumque est et in acutum desinit'. Meinek. Theocr.[3] p. 401 not.

1153

στρατύλλαξ

Cicero Ep. Att. 16, 15, 3 *videtur στρατύλλαξ ille deiectus de gradu.* indic. Meinek. *Stratullax* est servus Truculenti Plautini. cf. Ritschl. Opusc. III 330. 342. 3.

1154

στροβίλια

Pollux 5, 97. cf. 962.

1155

στρουθίζειν

Eustathius 228, 40 *ὅτι ἀπὸ τῆς στρουθοῦ καὶ στρουθίζειν τὸ εὐτελῶς πως ᾄδειν, δηλοῖ καὶ ὁ κωμικός.* et 1411, 15 *τὸ στρουθίζειν, ὅ φησιν ὁ κωμικός, ἐκ τῆς Ὁμηρικῆς παρῆκται στρουθοῦ.* Phot. *στρουθίζων· τρίζων.* inter Aristophanis fragmenta (717) recepit Dindorfius p. 243.

1156

συβριάζει

σοβαρεύεται, τρυφᾷ. Hesychius. cf. Phrynich. com. 64.

1157

συγκηδεστήν

Pollux 6, 159 *ἡ κωμῳδία καὶ σ.*

1158

συκάστρια

συκοφάντρια. Hesychius.

1159

συκηγορίαν

τὴν ἐν τῷ λέγειν συκοφαντίαν. Hesychius. 'ex comico ut videtur'. Steph. Thes.

1160

Ταρταρίτης

Stephanus Byz. *Τάρταρος. ὁ οἰκήτωρ Ταρτάριος . . . καὶ τὸ κωμικὸν Ταρταρίτης.* Aristophanis *Πυκνίτην* Eq. 42 contulit Mein.

1161

ταῦρον

Photius. cf. 1134 et 635. Hesych. *ταῦρος . . . ἄλλοι δὲ τὸν παιδεραστήν. καὶ τὸ γυναικεῖον.* at Suidas *ταῦρος· τὸ αἰδοῖον τοῦ ἀνδρός. καὶ ἀταυρώτη. ἡ ἄμικτος, ἁγνή* (Aesch. Ag. 244. Arist. Lys. 217. 8).

1162

τερετίζομεν

Photius et Bachmann. Anecd. I 384, 29 *τὸ αὐτὸ μέλος ᾄδομεν.* dixerat poeta aliquis comicus *ταὐτὸ γὰρ τερετίζομεν*, ad quae scholiasta adnotaverat *τὸ αὐτὸ μ. ᾄδ.* neque enim adsentior Nabero. proprie *τερετίζειν* (Phryn. com. 14 et Euphron. 1, 34) dicuntur cicadae. Poll. 5, 89 *εἴποις ἂν . . . τέττιγας τερετίζειν.*

1163

τιλλοπώγων

Bekker. Anecd. 66, 3 *ὁ τὸν ἑαυτοῦ ἀποτίλλων πώγωνα.*

1164

τῖμος

Eustathius 563, 24 et Philemo Lex. 105 *φθογγὴ φθόγγος, χολὴ χόλος, τιμὴ τῖμος, ὡς παρὰ τῇ κωμῳδίᾳ τὸ τίμημα.* 1222, 28 *ἐκ τοῦ τιμή ὁ τῖμος.* sed idem Eustathius 1148, 38 *μή τινα τῖμον εἰσενεγκών, εἰπεῖν κατ' Ἀρχίλοχον* (103 Bergk.). itaque praeter Archilochum etiam comicorum aliquis ea forma usus erat. de qua cf. Lobeck. Pathol. prol. 9.

1165

τοκογλύφος

Bekker. Anecd. 64, 30 *τοκοπράκτωρ· ἀλλὰ καὶ τοκογλύφος.* hoc alterum a comicis mutuati sunt posteriores, veluti Plutarchus et Lucianus.

1166

τολμητίας

Hesychius *προπετής, αὐθάδης, ὑπὲρ τὴν ἑαυτοῦ δύναμιν ἐπιχειρῶν.* Photius *τολμητίας· τολμηρός.* Thomas Mag. 357, 10 *τολμητής, οὐ τολμητίας. ἀνάττικον γὰρ τοῦτο.* scimus tamen quam multa inventa comicorum ab Antatticistis sint reprehensa.

1167

τρικόλ(λ)υβον

νομισμάτιόν τι. Hesychius. Pollux 9, 72 *ἔλεγον δέ τι καὶ τρικόλλυβον οἱ ποιηταὶ σμικρὸν νόμισμα.* comici sine dubio.

1168

τρίπους

Pollux 5, 97. cf. 962.

1169

Τρυμαλῖτις

Ἀφροδίτη. Hesychius. indic. Nauck. cognomen comice fictum, significatione obscaena. Sotad. Plut. Mor. 11a *εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς.*

1170

τρυπαλώπηξ

Bekker. Anecd. 64, 28 *ὁ διὰ πανουργίαν πάντα τρυπῶν καὶ ἐργάζεσθαι δυνάμενος.*

1171

τυλεῖα

Pollux 10, 39 *τὰ τυλεῖα . . . παρὰ τοῖς κωμῳδοῖς ἔστιν.* cf. Eupol. 170.

1172

τυμβογέρων

Pollux 2, 16. cf. 860. Bekker. Anecd. 66, 13 *τυμβογ. ὁ τύμβου χρείαν ἔχων.* Photius *τυμβογέροντες· πέμπτη ἡλικία γερόντων, ὡς καὶ Θεόφραστος. παραπλῆγες καὶ τῇ διανοίᾳ παρηλλαγμένοι.* cf. Arist. Lys. 372. Nauck. Aristoph. Byz. 98.

1173

τυρεύει, τυρεύεται, τυρευθέντα, τυρεῦσαι, τυρεύων, τυρωθέντα

Photius *τυρεύεται καὶ τυρεῖται· συνίσταται καὶ συμπήγνυται.* idem *τυρευθέντα· κινηθέντα, ταραχθέντα.* et *τυρεύων· κατασκευάζων.* Hesychius *τυρεύει· ταράττει, κυκᾷ.* idem *τυρεῦσαι· τὰ αὐτά. καὶ τυρεύων.* et *τυρωθέντα· ταραχθέντα, κινηθέντα.* Bekker. Anecd. 308, 13 *τυρεύειν· τὸ πηγνύναι καὶ συντιθέναι, ἀπὸ τῶν τὸ γάλα πηγνύντων καὶ τυρὸν ποιούντων.* cf. etiam 706 et 998. horum omnium fons est Arist. Eq. 479 *συντυρούμενα.* unde Demosthenes 19, 295 *ὁ δ' ἔνδον ἐτύρευεν.* quod cum reprehendit Pollux 6, 130 (*ἀλλ' οὐκ ἔγωγε ἀποδέχομαι τὸ τυρεύειν*), non tamen, ut opinatur M. Schmidtius in ed. Hes., negat ullum alium Atticum ea voce usum esse. sine dubio comici minorum gentium et Aristophanis et Demosthenis dicta avide adripiebant.

1174

ὑπεγάστριζε

τὸ ἐχόρταζεν ἡ κωμῳδία. Pollux 2, 168.

1175

ὑπερακήκοα

Bekker. Anecd. 69, 24 *οἷον ἄκρως ἀκήκοα.*

1176—1179

Ὑπερευρύβατος, Ὑπερθεμιστοκλῆς, Ὑπερπερικλῆς, Ὑπερσωκράτης

Bekker. Anecd. 67, 20 *Ὑπερθεμιστοκλῆς· καινοτάτη ἡ φωνή. σημαίνει οἷον ὑπὲρ Θεμιστοκλέα τῇ σοφίᾳ. ὅμοιον Ὑπερπερικλῆς καὶ Ὑπερσωκράτης. ἀλλὰ κἀπὶ τοὐναντίου Ὑπερευρύβατος ὁ ὑπερβάλλων Εὐρύβατον* (Aristoph. fr. 184) *πονηρίᾳ. ὑπερευρύβαντος* cod. — indic. Nauckius.

1180

ὑπερμαζεῖ

Etymologic. m. Milleri (Mélanges 293) *ὑπερπλουτεῖ, τρυφᾷ, στρηνιᾷ. μᾶζα γὰρ ἡ τροφή.* Etym. m. 573, 22 *μᾶζα· ἡ τροφή. ὅθεν καὶ ὑπερμαζᾷ, τὸ ὑπερτρυφᾷ, πλουτεῖ, στρηνιᾷ. ὑπερμαζᾷς* est Lucian. Navig. 15 (cf. Thom. Mag. 373, 3 R.).

1181

ὑπεροψωνεῖν

Bekker. Anecd. 67, 32 *τὸ ἀγοράζοντός τινος ὄψον ἕτερον τῇ τιμῇ ὑπερβάλλοντα ὠνεῖσθαι. ὑποψόνην* cod.

1182

ὑπομηλαφῆσαι

ψηλαφῆσαι. Hesychius. comice fictum pro *κρύφα τῶν μήλων* (i. e. *μαστῶν*) *ἅπτεσθαι.*

1183. 1184

φαγέσωρον, φαγεσωρῖτιν

Pollux 6, 42 *φαγέσωρον τὸν ἄπληστον οἱ κωμικοὶ ὠνόμαζον, καὶ τὴν τοῦ τοιούτου γαστέρα φαγεσωρῖτιν.* Hesych. *φαγέσωρ[ι]ον· πολυφάγον.*

1185

φαρυγίνδην

ὡς ἀριστίνδην, σκώπτοντες τὴν γαστριμαργίαν τῶν χορευτῶν Ἀττικοὶ λέγουσιν. Etymologic. m. 788, 38. Photius et Suidas (ubi perperam *φαλαγγίνδην*).

1186

φάσακες

συκοφάνται. Hesychius. comoediae tribuit Passovius. cf. *φάσις, Φασιανός*, similia. *φαύσακες* vel *φαύακες* Mein. Philol. XII 628. at *φάσακες* recte videtur scriptum esse.

1187

φειδαλφιτεῖν

Bekker. Anecd. 69, 32 *τὸ φείδεσθαι τῶν ἀλφίτων, οἷον τροφῆς καὶ σιτίων. φειδαλφιστήν* cod. — Hesychius *φειδαλφιτῆσαι· φειδωλὸν περὶ τὰ ἄλφιτα γενέσθαι.* 'comici poetae?' M. Schmidt.

1188

φθειροκομίδης

φθειρῶν γέμων. Hesychius. 'comicus?' M. Schmidt, *φθειροκομήτης* proponens. fort. *φθειροκοπίδης*, ad analogiam *τῶν Ἑρμοκοπιδῶν*.

1189

φθειροκτονεῖν

Bekker. Anecd. 71, 15 *τὸ τοὺς φθεῖρας κτείνειν. φθερокт.* cod.

1190

φίλετνος

Bekker. Anecd. 70, 21 *ὁ φιλῶν ἔτνος ἐσθίειν.*

1191

φορμοκοιτεῖν

Bekker. Anecd. 70, 5 *τὸ ἐπὶ φορμοῦ καθεύδειν. φορμὸς δέ ἐστι πλέγμα τι ἐκ φλέω. τάττεται ἐπὶ λυπρῶς καὶ κακῶς κοιμωμένων, οὐκ ἐχόντων κνάφαλλον.* comico poetae tribuebat Mein. II 5. cf. Chionid. 1. poterat ea voce austera cynicorum vita, poterat etiam *Phormionis* severitas (ut in Eupolidis *Taxiarchis*) significari.

1192

χαλκιδίζειν

Plutarchus Proverb. 1, 84 *ἐπὶ τῶν γλισχρευομένων. οἱ γὰρ*

ἐν Εὐβοίᾳ Χαλκιδεῖς ἐπὶ φιλαργυρίᾳ ἐκωμῳδοῦντο. Eustathius 279, 18 παροιμιακῶς τὸ γλισχρεύεσθαι· ἐπὶ φιλαργυρίᾳ γὰρ ἐκωμῳδοῦντο οἱ κατ' Εὔβοιαν Χαλκιδεῖς. Hesychius ἀπὸ τῶν κατ' Εὔβοιαν Χαλκιδέων. τίθεται δὲ καὶ ἐπὶ τῶν παιδεραστούντων, ἐπεὶ ἐπλεόναζον παρ' αὐτοῖς οἱ παιδικοὶ ἔρωτες. Suid. χαλκιδίζειν καὶ χαλκιδεύεσθαι· ἐπὶ τῶν γλισχρευομένων. καὶ φικιδίζειν· ἐπὶ τοῦ παιδεραστεῖν, ubi cf. Bernhardy. Plut. Mor. 761a (οἱ Χαλκιδεῖς) τὸ παιδεραστεῖν πρότερον ἐν ψόγῳ τιθέμενοι, τότε μᾶλλον ἑτέρων ἠγάπησαν καὶ ἐτίμησαν. sine dubio utraque significatione comici utebantur. ac fortasse aliquis hominem parcum, qui (amicae opinor) pro auro aes dedisset, χαλκιδίζειν primus dixerat.

1193

χάνος

Pollux 2, 97 ὁ κατάγελως καταχήνη εἴρηται παρὰ τοῖς κωμικοῖς (Arist. Vesp. 575. 6. Eccl. 631), καὶ χάνος δὲ παρ' αὐτοῖς τὸ στόμα.

1194

χελυνοίδης

Bekker. Anecd. 72, 26. cf. 1111.

1195

ὁ χλεύαξ

κωμῳδικώτερον. Pollux 9, 149. indic. H. Iacobi Mein. ed. min. XVIII. ut πλούταξ al.

1196

χναύματα

Pollux 6, 62 οἱ κωμικοὶ ὠνόμαζον τὰ περικόμματα καὶ χναύματα. χναῦμ' est Mnesim. 4, 12, χναυμάτια Teleclid. 1, 14. Aristoph. fr. 224.

1197

χοιρότριψ

Herodianus I 246, 26. cf. 1097 παιδότριψ.

1198

χρεμψιθέατρον

Suidas ἢ ὅτι εἰσιόντες εἰς τὸ θέατρον χρέμπτονται, ἢ ὅτι χρεμπτόμενοι ἐκβάλλονται. Hesychius οἱ εἰσιόντες εἰς θέατρον . . . (desunt reliqua). utriusque est χρεμψιθέατρον, non χρεμψιθέατροι, quod homines docti reponendum esse putaverunt. ʿquas explicationes Suidas commemoravit, earum neutra probabilis est. videtur theatrum

frequentissimum dici, quod spectatores quasi evomat'. Bernhardy. quae interpretatio reliquis multo infelicior est. sed meliorem, quamdiu poetae consilium ignoramus, promere vix quisquam poterit.

1199

ψυχροκομψεύματα

ψυχροφαντάσματα. Hesychius. sic in Thes. l. gr. G. Dindorfius pro *ψυχροκομψώματα* cod. 'comicus' M. Schmidt. cum trimetro ea forma non sit apta, *ψυχροκομψοφάσματα* Meinekius Philol. XII 630, ipse quoque ex comoedia vocem fluxisse statuens.

1200

ὠλεσίοικοι

οἱ ἄσωτοι ὑπὸ Ἀττικῶν. Bekker. Anecd. 318, 9. Hesych. *ὠλεσίοικοι· οἱ ἄσωτοι.* ex Aesch. Sept. 720 non videtur excerptum esse. cf. 848 et 1525.

1201

ὠμοκυδιᾷ

Bekker. Anecd. 318, 19 et Etymolog. m. 822, 32 *ἐπὶ τῇ τῶν ὤμων εὐεξίᾳ μέγα φρονεῖ.* Hesychius *ὠμοκυδιᾶν· ἐπὶ τῇ τῶν ὤμων εὐδοξίᾳ* (*εὐεξ.*) *μέγα φρονεῖν ἢ τῇ τάξει.*

1202

ὠρνεάζετο

Hesychius *μετέωρον ἐπῆρε τὴν κεφαλήν.*

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ ΚΑΙ ΠΑΡΕΓΓΡΑΦΑ

1203

τί κάθῃ; καὶ πίωμεν· οὐ καὶ σιτία
πάρεστιν; ὦ δύστηνε, μὴ σαυτῷ φθόνει.
οἱ δ' εὐθὺς ἠλάλαξαν, ἐν δ' ἐκίρνατο
οἶνος· φέρων δὲ στέφανον ἀμφέθηκέ τις.
ὑμνεῖ δ' αἰσχρῶς κλῶνα πρὸς καλὸν δάφνης
ὁ Φοῖβος οὐ προσῳδά· τήν τ' ἐναύλιον
ὠθῶν τις ἐξέκλαξε σύγκοιτον φίλην.

Plutarchus Mor. 1098 b *οἱ θεράποντες ὅταν Κρόνια δειπνῶσιν ἢ Διονύσια κατ' ἀγρὸν ἄγωσι περιιόντες, οὐκ ἂν αὐτῶν τὸν ὀλολυγμὸν ὑπομείναις καὶ τὸν θόρυβον, ὑπὸ χαρμονῆς καὶ ἀπειροκαλίας τοιαῦτα ποιούντων καὶ φθεγγομένων κτλ.* 1. *τί κάθῃ*] *κλίθητι* Mein. conl. Eurip. fr. 692 N. *καὶ*] *παῖ* Herwerd. Obs. crit. 40. *σιτία* Bergk.] *σῖτα*. 5. *ὑμνεῖ*] *ὑμνεῖτο* Petav. *ὕμνει δέ τις* Bergk. *ὕμνησε δ'* K. Herm. XXII 148. 6. *ὁ Φοῖβος*] *ὑφορβὸς* vel *συφορβὸς* K. in fine *τ' ἐναυλίαν* Bergk. *τε ναυτίαν* K. 7. *ἐξέκλαγξε* Reisk. *ἐξέπληξε* K.

1. *κάθῃ* utique corruptum. 3. *ἐκίρνατο*, ut *κιρνάντες* Aristoph. fr. 683. *ἐγκιρνᾶσιν* Eccl. 841. 6. 'si *Φοῖβος* scolii nomen fuisse statuere liceret, corrigerem *οὐ Φ.*, *οὐ προσῳδά*, *non Phoebus canebatur, non carmina modulata*'. Mein. '*ὁ Φοῖβος ὑμνεῖτο κλῶνα πρὸς καλὸν δάφνης* in comoedia sic erat dicendum: *παιὰν ᾔδετο πρὸς μυρρίνην.*' Cobet. N. l. 48. de quibus cf. quae dixi in Herma XXII 145 sq. 6. '*οὐ προσῳδά* adverbialiter' H. Iacobi Mein. ed. min. XXIII conl. Lob. Soph. Ai. p. 95. 155. 246. '*ἐναύλιον* fors. ianua, ut *ὠθῶν* sit *cum vi inpellens*'. Mein. 7. 'permirum est doricum *ἐξέκλαξε* pro *ἐξέκλησε* (?) et sine dubio corruptum'. Mein.

ad *Tagenistas* Aristophanis olim referebat Bergkius, postea comici esse negavit; inter fragmenta comica recepit Meinekius. ad drama satyricum pertinere censent Fritzschius De Lenaeis p. 16 et cum Herwerdeno Obs. crit. 40 Cobetus N. l. 48. cf. Nauck. Tr. gr. fr. adesp. 346.

1204

γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν.
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σῴζει μόνη.
ὅστις δὲ τρυφερῶς τὴν γυναῖκ' ἄγει λαβών,
συνεργὸν οὗτος ἀντὶ δεσποίνης ἔχει,
εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον.

Stobaeus Floril. 72, 5 '*Ἱππώνακτος* (fr. 72 Bergk.). Apostol. 5, 24 c. 2. *ἔνδον*] *ἕδνον* M. Haupt. Opusc. III 637. 4. *τρυφερῶς* AB] *τρυφερὸς* Trinc. *ἀτρύφερον* Grotius. cf. Eupol. 69. *ἀτρυφέρως* Cobet. Mnem. nov. II 248.

duo diversorum poetarum fragmenta in unum coaluisse (ita ut a v. 4 alterum incipiat) Valckenarius, post v. 4 quaedam excidisse Bergkius, non Hipponacti, sed Hippothoonti haec tribuenda esse Meinekius IIII 714 (cum Bergkio) coniecerunt. quem Hippothoontem tragicum Nauckius (Tr. gr. fr. 643. 4), didacticum fuisse Hauptius censuit. tres posteriores versus Cobeto, tres primi Meinekio comici esse videbantur.

1205

τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένως
εὔπειστος ἀνδρῶν, ὅστις ἐλπίζει θεοὺς
ὀστῶν ἀσάρκων καὶ χολῆς πυρουμένης,
ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα,
χαίρειν ἀπαρχαῖς καὶ γέρας λαχεῖν τόδε;

Clemens Alex. Strom. 7, 6, 34 ἐπεὶ τίς ὧδε μῶρος, κατὰ τὴν ποιητικὴν χάριν, καὶ λίαν κτλ. καὶ χάριν τούτων τοῖς δρῶσιν ἐκτίνειν (sic Sylb. pro ἐκτείνειν). Porphyrius De abstin. anim. 2, 58 (p. 120, 3 Nauck.), Cyrillus c. Iul. 9, 306e. 1. ἀνειμένως Grotius Excerpt. 923] ἀνειμένος Porphyr. et L Clem. 2. εὔπειστος Mein.] εὔπιστος. cf. Lobeck. Soph. Ai. 151. ἐλπίζῃ Cyrill. 3. ὡς ὀστῶν τῶν Porphyr. 4. κυσὶ L Clem. 5. ἀπαρχαῖς Porson. Hec. 41] ἅπαντας Porphyr. Cyr. ἀπάτῃ Clem., sed ἅπαντα L Clem. ἀπαρχῇ Grot. ἀπάταις ἂν Both. Grotius versum sextum χάριν τε τούτων τοῖσι δρῶσιν ἐκτίνειν ex Clementis verbis poetae adscripsit. — 3. cf. Soph. Antig. 1010. Menand. 129, 6.

tragici potius quam comici esse sententia erat Gatakeri Antonin. 10, 8. inter tragicorum adespota (91) recepit Nauckius. quod si recte fecit, v. 5 fortasse scribendum χαίρειν ἂν ἄνταις, ut genitivi v. 3 sint absoluti.

1206

γέρων γέροντι γλῶτταν ἡδίστην ἔχει,
παῖς παιδί, καὶ γυναικὶ πρόσφορον γυνή,
νοσῶν τ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
ληφθεὶς ἐπῳδός ἐστι τῷ πειρωμένῳ.

Plutarchus Mor. 51e ἀρχὴν φιλίας ἔφαμεν εἶναι . . . ὁμοιοπαθῆ διάθεσίν τε καὶ φύσιν, ἐφ' οἷς καὶ ταῦτα εἴρηται κτλ. alii Menandro, alii Euripidi tribuerunt. cf. Nauck. Tr. gr. fr. adesp. 296. 2. γυναικὶ πρόσφορον γυνή est Eurip. Hel. 830. καὶ παιδὶ καὶ γέροντι προσφέρων τρόπους Tr. gr. fr. adesp. 377. cf. Cobet. N. l. 47. ego nihil in his invenio quod non etiam a comico dici potuerit. v. 4 fortasse scrib. ἐπῳδὸς τῷ ταλαιπωρουμένῳ.

1207

πᾶσιν δὲ θνητοῖς βούλομαι παραινέσαι
τοὐφ' ἡμέραν ζῆν ἡδέως· ὁ γὰρ θανὼν
τὸ μηδέν ἐστι καὶ σκιὰ κατὰ χθονός.
μικροῦ δὲ βιότου ζῶντ' ἐπαυρέσθαι χρεών.

Athenaeus 8, 336 b *καὶ ἄλλος δέ τίς φησι (ποιητὴς) τῷ Σαρδαναπάλλῳ παραπλήσιος ὑποτιθέμενος καὶ οὗτος τοῖς μὴ σωφρονοῦσι τοιάδε κτλ.* 1. *πᾶσι* A. 2. *τοὐφ' ἡμέραν* Casaub.] *τοὐφήμερον* A. tragici, fortasse Euripidis, esse putabat Porson Adv. 101. 'temulenti haec philosophia est ex aliquo satyrico dramate.' Cobet. N. l. 48, conl. Eurip. Alcest. 788 sq. Nauck. Tr. gr. fr. adesp. 68.

1208

τρόπος ἐστὶ χρηστὸς ἀσφαλέστερος νόμου.
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
ῥήτωρ δύναιτο, τὸν δ' ἄνω τε καὶ κάτω
λόγοις ταράσσων πολλάκις λυμαίνεται.

Stobaeus Floril. 37, 15 *πειρξ* (superscr. *θι*) A. *Πειρίθου* Trinc. Nauck. Eurip. fr. 600. 1. *ἐστὶ*] *δὲ* Trinc. 2. *διαστρέψῃ* B[1]. 3. 4. *ῥήτωρ* et *λόγοις* transponit Cobet. Mnem. VIIII 134. 4. *λόγος* Mein. Stob. II VI. *σπαράσσων* Valck. Diatr. 200 a. — 'ingenium bonum *nemo* verbis pervertere potest, leges *orator* distorquendo pervertit.' Cob., qui comici esse statuit. post ea quae Valckenarius p. 199 disputavit non video cur Euripidi haec abiudicanda sint.

1209

καὶ γὰρ τὸν ἄλλον ὧδε θνητοῖσιν νόμον
ὄψει διαθρῶν· οὐδὲν ἂν πάντῃ καλὸν
οὐδ' αἰσχρόν, ἀλλὰ ταὔτ' ἐποίησεν λαβὼν
ὁ καιρὸς αἰσχρὰ καὶ διαλλάξας καλά.

Anonym. Diss. antiscept. Orell. Opusc. sent. II 216 *παρεξοῦμαι δὲ καὶ ποίημά τι κτλ.* eadem (om. v. 1) in Fabr. Bibl. gr. V 623. 1. *ὧδε*] *τόνδε* Nauck. Tr. gr. fr. adesp. 16. 2. *διαθρῶν* Valck.] *διαιρῶν*. *ὄψει δὲ διαθρῶν* Herwerd. Exerc. crit. 87, om. v. 1 et interpunctione ante *οὐδέν*. *ἂν*] *ἦν* Nauck. *οὐδὲ ἓν* Herw. *οὐδὲν ὂν*, si interpunctio tollatur et v. 1 segregetur, K. *διαθρεῖν* est Arist. Eq. 543. Nub. 700. ac multo frequentius est simplex.

1210

βίος δ' ἀπράγμων τοῖς γέρουσι συμφέρει·
μάλιστα δ' εἰ τύχοιεν ἁπλοῖ τοῖς τρόποις
ἢ μακκοᾶν μέλλοιεν ἢ ληρεῖν ὅλως,
ὅπερ γερόντων ἐστίν.

Etymologicum m. Milleri (Mélanges 210) *μακκοᾶν. . . οἷον κτλ.* 2 *ἁπλοῖ*] *ἁμνοὶ* K. *ἁπλόοι τρόποις* A. Nauck. Mélanges gréco-rom.

V 178. 9. *ἀμνοὶ τοὺς τρόπους* est Arist. Pac. 935. cf. Eq. 264 et de verbo *μακκοᾶν* Eq. 62. 395. Lucian. Lexiph. 19. Archilocho haec tribuit Nauckius, conl. Georg. Cedren. II 612, 9 *τῆς πρεσβυτικῆς ἁψάμενον ἡλικίας, ᾗτινι συμφέρειν τὴν ἀπραγμοσύνην Ἀρχίλοχος ὁ ποιητὴς ἀπεφήνατο.* quod testimonium quamvis grave esse concedam, tamen sententia non ita comparata est, ut eadem (aliter expressa) non etiam alius poeta uti potuerit. itaque, si *ἀμνοὶ* scribatur, comico tribuerim.

1211

ἀλλὰ ξενῶνας οἶγε καὶ ῥᾶνον δόμους,
στρώννυ τε κοίτας καὶ πυρὸς φλέξον μένος,
κρατῆρά τ' αἶρου καὶ τὸν ἥδιστον κέρα.

Athenaeus 2, 48a, proxime post Anaxandridis fr. 70. *στρώννυ* Mus.] *στρω̃* E. *στρωμνὰς* C. 3. *αἶρου* L] *αἶγου* B. *ἄργου* CE. — ad satyricam fabulam referri iussit Cobetus N. l. 47 extr. Tr. gr. fr. adesp. 63 N. si comicus scripsit, parodia est vel imitatio tragoediae, quales permultae exstant in Antiphanis aliorumque fragmentis. ceterum cf. Eurip. Alcest. 547.

1212

Diogenes Laert. 6, 93 *πρὸς Ἀλέξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη (Κράτης)· καὶ τί δεῖ; πάλιν γὰρ ἴσως ἄλλος Ἀλέξανδρος αὐτὴν κατασκάψει· ἔχειν δὲ πατρίδα ἀδοξίαν καὶ πενίαν ἀνάλωτα τῇ τύχῃ καὶ Διογένους εἶναι πολίτης, ἀνεπιβουλεύτου φθόνῳ.* ex quibus Meinekius hos versus effinxit:

ἔχειν δὲ πατρίδ' ἀδοξίαν ἐπαξιῶ
πενίαν τ', ἀνάλωτα τῇ τύχῃ, καὶ Διογένους
εἶναι πολίτης, ἀνεπιβουλεύτου φθόνῳ.

sed 'fortasse non comici poetae, sed ipsius sunt Cratetis.' Mein. solutam orationem in editione Diogenis exhibet Cobetus. si sunt comici cynicum philosophum haec dicere fingentis, versus 1 sic fortasse scribendus est: *ἐπεύχομαι δὲ πατρίδ' ἔχειν ἀδοξίαν.*

1213

ἵππον τελώνην, συκοφάντην ἀετόν,
βάτραχον σοφιστήν, ὀψοποιὸν ἐμπίδα,
ἀλεκτρυόνα κίναιδον οὐκ ἴδοι τις ἄν.

Lucianus Gall. 27 *τελώνην ἵππον ἢ συκ. βάτρ. ἢ σοφιστὴν κολοιὸν ἢ ὀψοποιὸν κώνωπα ἢ κίναιδον ἀλ. . . . οὐκ ἂν ἴδοις.* versus coniectura non admodum certa restituit Fritzschius, conl. Philem. 89.

1214

(Ἔρως) οὐχ ὁποῖον ζωγράφων
παίζουσι χεῖρες, ἀλλ' ὃν ἡ πρωτοσπόρος
ἀρχὴ τέλειον εὐθὺς —

[Lucianus] Amor. 32 Ἔρως οὐ νήπιον κακόν, ὁπ. — πρωτοσπ. ἐγέννησεν ἀρχὴ τέλειον εὐθὺ τεχθέντα. — dubito tragici sit an comici παρατραγῳδοῦντος.

1215

τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα
δέξαιτ' ἄν; εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας.

Plutarchus Mor. 789 a ὁ γαμεῖν παρασκευαζόμενον γέροντα ἐστεφανωμένον καὶ μυριζόμενον ἀποτρέπων καὶ λέγων τὰ πρὸς τὸν Φιλοκτήτην· τίς δ' ἄν — ἔχεις τάλας, οὐκ ἄτοπός ἐστι. v. 2 Plut. Solon. 20 γέροντι νέαν ἀγομένῳ φαίη τις ἂν ἐμμελὴς ἄρχων ἢ νομοθέτης τὸ πρὸς τὸν Φιλοκτήτην 'εὖ γ' οὖν ὡς γαμεῖν ἔχεις τάλας.' 2. γοῦν Musgr.] γ' οὖν. — ad Strattidis *Philoctetam* referebat Matthiae Eurip. VIIII 269, inter tragicorum adespota (fr. 9) recepit Nauckius. Matthiaeum inpugnat Herwerd. Exerc. crit. 87, quod *soli tragici* utantur vocativi forma τάλας. scilicet discipulus magistrum aemulatur Cobetum N. l. 89, ὦ τάλας tragicis vindicantem. at neque necessario τάλας in hoc versu vocativus est, neque omnino τάλας (voc. casu) comicis ignotum esse concedet qui Theopompi 32, 8 meminerit Σπινθὴρ τάλας, πειρᾷς με. cf. Menand. 420.

1216

τούτων ἁπάντων ἀκρίδας ἀνταλλάσσομαι,
κόγχων δὲ τὸν σέσιλον. Β. ἄπαγ' ἐς τὸν φθόρον.

Athenaeus 2, 63 c λέγονται δέ τινες τῶν κοχλιῶν καὶ σέσιλοι. Ἐπίχαρμος κτλ. 1. ἀνταλλάσσομαι Erfurdt.] ἀνταλλάσσονται CE. ἀντάλλασσε, παῖ Iacobs. Addit. Ath. 50. 'sed Attici poetae esse videntur.' Iac.

1216 b

διψῶντι γάρ τοι πάντα προσφέρων σοφὰ
οὐκ ἂν πλέον τέρψειας ἢ 'μπιεῖν διδούς.

Athenaeus 10, 433 e ὁ Σοφοκλῆς φησι κτλ. (fr. 692 N.). 2. ἢ 'μπιεῖν Pors.] μὴ πιεῖν. ἢ πιεῖν Casaub. comico tribuit Bakhuyzenus De parodia p. 135, inrideri censens Eurip. Med. 299.

1217

οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα.
Β. καὶ τὸν κακῶς πράττοντα; Α. καὶ τοῦτον μένειν.

Clemens Alex. Strom. 6, 2, 7 *ἀκήκοα Αἰσχύλου λέγοντος κτλ.* cf. Aesch. fr. 310 N. v. 1 Sophocli tribuit Stobaeus Floril. 39, 14 (*δεῖ*), sine poetae nomine nulla explicatione addita attulerunt Diogenian. 7, 35. Apostol. 12, 45 (*δεῖ*). v. 2 ita ut supra factum est inter duas personas distributum comico accensuit Nauckius. eundem comicum etiam versu 1 excerpto sive ex Aeschylo sive ex Sophocle usum esse arbitror.

1218

λίθους δὲ χλωροὺς τοῦ τ' ἀπεξενωμένου
ἔκβρασμα πόντου τῆς τε γῆς ἐκψήγματα

Clemens Alex. Paed. 2, 12, 118 init. *λίθους πελιοὺς ἢ χλωροὺς καὶ τῆς ἀπεξενωμένης θαλάττης τὰ ἐκβράσματα καὶ τῆς γῆς τὰ ἐκψήγματα μειρακιῶδές ἐστι τεθηπέναι.* videntur poetae esse, sed fortasse tragici.

1219

ἔγνωκε πλεῖν εἰς τἀπὶ Θρᾴκης χωρία,
ἐκεῖ διαλλαγησόμενος πρὸς τὴν τύχην.

Synesius Epist. 43 p. 181b (656 Hercher.). 'credo Synesii ipsius verba esse, non e comico quopiam desumpta.' Porson. Eurip. Med. 139 (II).

1220

σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ τινα,
πολλὰς προφάσεις δίδωσιν εἰς σωτηρίαν.

Theophilus Autol. II 353e *καὶ πάλιν Εὐριπίδης* (fr. 1074 N.) *κτλ.* 1. *τινα* add. Grotius. *ὁπόταν ἄνδρα τῷ θ. δ.* Nauck. 2. *πολλὴν δίδωσι πρόφασιν* Grot., *προφάσεις καλὰς δίδωσιν* Nauck. sic ut scripta sunt tragici esse non posse adparet.

1221

Eusebius Praep. ev. 10, 4, 27 Dindf. *ἀλώμενοι* (*οἱ Ἕλληνες*) *ὧδε κἀκεῖσε καὶ τὸν βίον ἅπαντα περιτρέχοντες ἀλλοτρίοις πτίλοις σφᾶς αὐτοὺς ἐφαίδρυνον κατὰ τὸν μῦθον.* fabulam Aesopicam significat. sed comici videntur esse (subiecto tamen mutato) haec fere: *τὸν βίον* | *ἅπαντα περιτρέχοντες ἀλλοτρίοις πτίλοις* | *κοσμοῦσιν αὐτούς.*

1222

οὐκ ἂν τις εἴπῃ πολλὰ θαυμασθήσεται,
ὁ μικρὰ δ' εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμον.

Stobaeus Floril. 35, 7 sine lemmate. 2. *χρήσιμον* Vind.] *χρήσιμα.* — potest etiam tragici esse.

1223

ϑεὸς δ' ἐπὶ σμικροῖσιν οὐ ϑερμαίνεται,
ἀλλ' ὡς λέβης τις μείζονος δεῖται πυρός.

Schol. Hom. Il. 3, 414 BVL τὸ ἀνεξίκακον τῆς ϑείας ἐδήλωσε φύσεως κτλ. 1. δ' Nauck. Tr. gr. fr. adesp. 371] γάρ. 2. τις add. Porson. — non adsentior Nauckio tragicorum alicui haec vindicanti: nam comparatio ista potius comicum prae se fert colorem.

1224

ἔδει γὰρ ἡμᾶς τῷ ϑεῷ ϑύειν, ὅταν
γυνὴ κατορύττηται τάφῳ, οὐχ ὅταν γαμῇ.

Gnomolog. Vindob. Ritschl. Opusc. I 570, 54 'senarii e comoedia petiti'. at *Εὐριπίδης* Meliss. Aug. Wachsmuth. Stud. 143. sic ut scripta sunt, neque Euripidis neque comici esse possunt. fortasse *γυνὴ | ὅταν κατορύττηταί ποτ'* (*tandem aliquando*), *οὐχ ὅτ. γ.* sed etiam *γαμῇ* offendit dictum pro *γαμῆται.*

1225

. . . . . νῦν δὲ σωϑείην, ἵνα
διδάγματ' ᾖ μοι ταῦτα τοῦ λοιποῦ χρόνου.

Proverb. Coisl. ap. Leutsch. Diogenian. 6, 90 *νῦν σωϑείην, ἵν' ᾖ μοι δ. ταῦτα τ. λ. χρ. παρὰ τὸν μῦϑον εἴρηται τοῦτο τῆς μανϑανούσης χελώνης ἵπτασϑαι παρὰ τοῦ ἀετοῦ καὶ πεσούσης. ὅμοιον τῷ 'ῥεχϑὲν δέ τε νήπιος ἔγνω.'* Suidas *νῦν σ., ἵν' ᾖ μοι δίδαγμα τοῦτο τ. λ. χρ.*, atque *ἵνα | ᾖ μοι δίδαγμα τοῦτο* Cobet. Mnem. nov. X 143. *σωϑείην δὲ νῦν, ἵν' ᾖ δίδαγμα τοῦτο* Bernhardy. alii in choliambos redegerunt. cf. Lachmann. Babr. 10. ex comoedia derivata esse censet Meinekius Theocr. p. 457.

1226

ἡ Μιλησία
σμάραγδος, ἐμπόλημα τιμηέστατον

Clemens Alex. Paed. 2, 12, 118 *ἀμέϑυστοι καὶ κεραυνῖται καὶ ἰάσπιδες καὶ τοπάζιον ἥ τε Μιλησία σμάραγδος, ἐμπόλημα τιμηέστατον. τιμαλφέστατον* vel *τιμιώτατον* Lobeck. Philol. V 244. *τιμιέστατον* Nauck. Tr. gr. fr. adesp. 82. — tragici an comici sint verba incertum relinquunt Meinekius et Nauckius, satyricae fabulae adsignat Cobet. N. l. 48.

1227

καὶ τὴν καταιγίζουσαν ἐκ μέϑης ζάλην
ῥᾷον φέρουσιν.

Clemens Alex. Paed. 2, 2, 22 (*οἱ πρεσβύτεροι*) *τὴν ζάλην τῶν ἐπιθυμιῶν τὴν καταιγ. ἐκ μ. ῥ. φ.* — tragici an comici sit dubito: certe comicus quodammodo *παρατραγῳδεῖ.*

1228

ὦ γλῶσσα, μέτριον εἴ τι κομπάσαι θέλεις,
ἔξειπε.

Plutarchus Mor. 707 f. potest esse tragoediae fragmentum, sed potius videtur parodia versus tragici: ut non necessarium sit scribere *γλῶττα.*

1229

κακὰ
ἕλκων ἐφ᾽ αὑτὸν ὥστε καικίας νέφος.

Aristoteles Meteor. 2, 6 (364 b 13) *ὁ καικίας οὐκ αἴθριος, ὅτι ἀνακάμπτει εἰς αὑτόν· ὅθεν καὶ λέγεται παροιμία ἕλκων κτλ.* cf. Aristot. Probl. 26, 29 (943 a 33). Theophrast. fr. 5, 7, 37. Plut. Mor. 823 c (88 e). Diogenian. 4, 66. Schol. Arist. Eq. 437. Gell. 2, 22, 4. Apulei. De mund. 14 (congessit Nauck. Tr. gr. fr. adesp. 50). — *κακὰ* add. Schol. Aristoph., *κακὸν* (vel *κακὰ*) Apulei. *ὥσπερ* Aristot. Probl., *ὡς* Gell., *ὡς ὁ* Diogenian. *νέφη* Theophr. Plut. — 'tragici esse versum nolim adfirmare.' Nauck. si comici est, scrib. *ὡς ὁ.*

1230

ὀρῶν ἔνοικοι ναμάτων τ᾽ ἐπίσκοποι
Νύμφαι

Aristides I 10 Dindf. *Πᾶνές τε ὀρ. ἔν. καὶ Νύμφαι ν. ἐπ.* — potest tragoediae esse fragmentum, sed etiam comoediae *παρατραγῳδούσης*, cui nomen *νᾶμα* non prorsus inusitatum est.

1231

ὁ δρῶν τὰ τοῦ μέλλοντος οἴχεται φέρων.

Polybius 31, 21 (coniunct. cum Eur. Phoen. 726 et fr. 357). inter tragica fragmenta (adesp. 358) recepit Nauck.

1232

ἡ δεῦρ᾽ ὁδός σοι τί δύναται νῦν, θεοπρόπε;

Cicero Epist. Att. 15, 11 *mecum ipse κτλ.* et 16, 6 *saepe mecum ἡ — δύναται*; ad tragoediam refert Cobet. Mnem. IIII 125.

1233

τὰ σχήματ᾽ εὐθὺς εἰσιδὼν καὶ τὰ σκύτα.

Erotianus 117, 6 Klein. *σκύτα· τὸ μεταξὺ τῶν τενόντων [καὶ]*

τοῦ τραχήλου...καὶ πάλαι (*πάλιν* Klein.) *κτλ....τινὲς δέ φασι σκύτα λέγεσθαι τὸν νωτιαῖον μυελόν. οἱ δὲ τὸ ἰνίον...τινὲς δὲ σκύτα εἶπον τὸ τῆς κεφαλῆς δέρμα. εἰσιδὼν* Nauck. Allg. Littztg. 1847, 499| *ἰδών*. cf. Archiloch. fr. 121 Bergk. et Hesych. *σκύτα· τὸν τράχηλον. Σικελοί.* Boisson. Anecd. I 239 *σκύτα· ἡ κεφαλή.* in exitu *σκύτη* Nauckius, ad comoediam haec referens. sed in hac semper *τὸ σκῦτος*, non *σκύτος*. fortasse choliambus est.

1234

παχεῖα γαστὴρ λεπτὸν οὐ τίκτει νόον.

Galenus V 878 Kuehn. *πάντων ἐστὶν ἀληθέστατον κτλ.* 'lepidum proverbium ex aliquo comico'. Cobet. Mnem. nov. X 192. dubito equidem propter *νόον*, quamquam neglectae contractionis exempla non desunt, ne in soluta quidem oratione.

1235

μὴ σπεῦδε γῆμαι, πρὶν τελευτήσαντ' ἴδῃς.

Plutarchus Mor. 184 b. *noli in matrimonium ducere* alterius uxorem, *priusquam* maritum *mortuum videris*. apud Plutarchum Eumenes Attalum fratrem his verbis adpellat. quae utrum ex tragoedia an ex comoedia excerpta sint nescio: videtur quidem parodia esse Soph. fr. 596, ex comoedia petita.

1236

δύσμορφα μέντοι τἄνδον εἰσιδεῖν, ξένε.

Plutarchus Mor. 521 a. vetat curiosum *τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι. οὔτε γὰρ δίκαιον οὔτε καλόν, ἀλλ' οὐδὲ ἡδὺ τὸ θέαμα κτλ. τὰ γὰρ πολλὰ τοιαῦτα τῶν ἐν ταῖς οἰκίαις...καὶ σπουδαῖον οὐδὲν οὐδ' ἐπιτερπές.* Dio Chrys. 59, 11 *δυσχερῆ γε μὴν τἄνδον ὁράματα, ὦ ξένε.* quapropter Gatakerus versum ad *Philoctetam* Euripidis (fr. 788 N.) rettulit probabili quidem, sed non certa coniectura.

1237

οὐκ ἔστ' ἐν ἄντροις λευκός, ὦ ξέν', ἄργυρος.

Plutarchus Mor. 533 a. Horat. C. 2, 2, 1 *nullus argento color est avaris abdito terris*. comoediae tribuit A. Kiessling. in ed. Hor., inter adespota tragicorum (320) recepit Nauckius.

1238

σκληράν, ἄκαρπον καὶ φυτεύεσθαι κακήν

Plutarchus Mor. 602 d *αἱρήσεται καὶ νῆσον οἰκεῖν φυγὰς γενόμενος, Γύαρον ἢ Κίναρον σκληρὰν κτλ. κἀμφυτεύεσθαι* Naber. Mnem.

nov. VIII 435, nulla necessitate. ad Eupolidis *Civitates* referebat Mein., 'si comici est.' tragico tribuunt Bergk. P. lyr.[2] II 1076. Nauck. adesp. 324. fortasse Cratini est ex *Seriphiis*.

1239

γλυκεῖ' ὀπώρα φύλακος ἐκλελοιπότος.

Plutarchus Mor. 752a *τὰς ὀφρῦς αἴρει καὶ φιλοσοφεῖν φησι καὶ σωφρονεῖ ἔξω διὰ τὸν νόμον· εἶτα νύκτωρ καὶ καθ' ἡσυχίαν κτλ.* cf. Diogenian. 3, 95 (Vind. 2, 17). Gregor. Cypr. 1, 98 (Mosq. 2, 52). Suidas. — 'e tragoedia derivatum esse probabile est.' Nauck. Tr. gr. fr. adesp. 331. mihi potius comoediae videtur deberi.

1240

οὗτος δ' ἐκείνου φθόγγος ἐξωλέστερος.

Plutarchus Mor. 1076 e *ὁ δ' αὖτ' ἐκ. κτλ. ὅδ' αὖτ'* Nauck. Tr. gr. fr. adesp. 345, qui tragoediae versum vindicat. non minus comoediae deberi potest, mutato tamen *ὁ δ' αὖτ'*, cum *αὖτε* apud comicos rarissimum sit nec codicum fide satis firmatum.

1241

οὐκ ἔστιν αὐτῶν μέτρον ὁ τοῦ βίου χρόνος.

Plutarchus Mor. 1098e *τῶν δὲ πρὸς τὸ καλὸν ὁρμῶν . . . οὐκ ἔστιν κτλ.* Menandri esse coniecit Wyttenbachius, tragicorum fragmentis (adesp. 347) inseruit Nauckius, concedens tamen Menandri esse posse.

1242

ἀκόλαστος ὄχλος ναυτική τ' ἀταξία

Dio Chrysost. 32, 695 R. *τῶν κωμικῶν ἔφη τις ἐπὶ τοῖς τοιούτοις κτλ.* at Eurip. Hec. 607 *ἀκ. — ἀναρχία.* fortasse comicus ex Euripide transtulerat: apud comicos ipsos enim prior vocis *ὄχλος* syllaba produci non poterat (*ὄχλ. ἀκόλ.*).

1243—1248

λιμένες ποθοῦντες τῆς πόλεως τὰς ἀγκάλας

Aristides I 426 Dindf. *ὦ λ. π. τὰς τῆς φιλτάτης πόλεως ἀγκάλας.* Smyrnam dicit terrae motu eversam. 437 *καὶ δὴ λιμένες τε κομίζονται τὰς τῆς φιλτάτης π. ἀγκ.* — cum tota illa Aristidis oratio altiorem prae se ferat spiritum, ipsius verba haec esse crederem, nisi etiam in proximis manifesta adparerent versuum vestigia. *ὦ ναῶν καὶ περιβόλων χάριτες, ποῖ ποτε γῆς ἔδυτε; ὦ κόσμοι παραλίας,*

ὢ πάντα ἐκεῖνα ὀνείρατα. ποῖαι πηγαὶ δακρύων ἱκαναὶ τοσούτῳ κακῷ; ποῖαι συναυλίαι καὶ συνῳδίαι χορῶν πάντων τὴν καλλίχορον καὶ πολυύμνητον καὶ τριπόθητον ἀνθρώποις ἀρκέσουσιν ἀνοιμῶξαι πόλιν; unde praeter integrum dimetrum anapaesticum facile has trimetrorum reliquias restituas, quos, si poetarum sunt, e diversis fabulis excerptos crediderim. νεῶν τε χάριτες καὶ περιβόλων, ποῖ ποτε, | ποῖ γῆς ἔδυτε;...κόσμοι παραλίας, πάντ' ἐκεῖν' ὀνείρατα (ὁράματα?)...συναυλίαι τε καὶ συνῳδίαι χορῶν ... τριπόθητον ἀνθρώποις ἀνοιμῶξαι πόλιν. ceterum cf. adesp. 340. 428.

1249

ὁρᾷς; σὺ κἀμοῦ καταγελᾷς ἐν τῷ μέρει.

Lucianus Gall. 18. σὺ κἀμ. κατ. Fritzschius] κατ. κἀμ. — origo dubia.

1250

παλαιὸς ἀνθρώποις μεμύθευται λόγος

[Lucianus] Halcyon. 1. potest tragici, potest comici esse παρατραγῳδοῦντος. apud Nauckium non repperi.

1251

Qui apud Pseudo-Lucianum exstant senarii in Lucio (1. 4. 15. 22. 24. 28. 30), Hippia (5. 6. 7. 8), Charidemo (7. 9), unde fluxerint perquam dubium est.

1252

Multas quae cum aliis locis tum in Vitis inlustrium virorum exstant de fatis veterum poetarum narratiunculas per varios rivulos ex comoediae fonte fluxisse consentaneum est. sed eae maximam partem ita inmutatae sunt, ut pristina earum forma raro redintegrari possit. illa certe trimetrorum frusta potius quam fragmenta, quae Aeneas Piccolomini (Herm. XVII 344) e Vita Euripidis atque (Studi di filologia greca I 249. 251. 3) ex Plutarcho (Anton. 70. Alcib. 16) et Neanthe (Schol. Arist. Lys. 808) elicuisse sibi videtur, cum praesertim insint quae legibus metricis adversentur (μικρόν al.), nequaquam ita comparata sunt ut ad comoediam tuto referri possint. cf. Mus. Rhen. XXXXIII 49 n. 1.

1253

σῦκον μετ' ἰχθύν, ὄσπριον δὲ μετὰ κρέα.

Athenaeus 3, 80d παροιμίας οἶδα περὶ σύκων λεγομένας τοιάσδε κτλ. (accedit hexameter). cf. Eustath. 1964, 19. δὲ add. et κρέας Mein., 'si scaenici' (comici) 'poetae versus est.' Anal. Ath. 38.

1254

μέλη πάραυλα κἀκρότητα κύμβαλα

Athenaeus 4, 164e ὑπὸ τῆς ἐμφύτου γαστριμαργίας καὶ ἡδυλογίας κολάβρους ἀναγινώσκει καὶ κτλ. Eustath. 1157, 55 παρ' ἑτέρῳ δέ τινι μέλος πάραυλον τὸ ἀπῳδόν, κατὰ τό ὑπὸ ἐμφ. γ. καὶ ἡδυλ. ἀναπέμπει μέλη πάραυλα. — trimetrum esse monuerat Valckenar. Theocr. Adon. p. 225a, Cratino adscribens. Meinekio in ed. min. tragici potius videbatur, satyricae fabulae Cobeto N. l. 48. Nauck. Tr. gr. fr. adesp. 66. cf. quae supra ad 1211 adnotantur. ἀκρ. κ. sunt *cymbala dissonos sonos edentia*, δυσκρότητα. Lobeck. Pathol. el. I 33. Hesych. ἀκρότητα· πολυκρότητα γενόμενα, ὥστε μηδὲ συγκροτεῖσθαι μηδὲ συμπεσεῖν αὐτοῖς, de qua glossa cf. M. Schmidt.

1255

κέρδαιν', ἑταῖρε, καὶ θέρους καὶ χειμῶνος.

Sextus Emp. Adv. dogm. 5, 122 ὁ τὸν πλοῦτον ἀγαθὸν εἶναι προειληφὼς ὀφείλει . . . ἑκάστοτε πρὸς ἑαυτὸν τὸ κωμικὸν ἀναμελετᾶν παράγγελμα κτλ. olim χείματος Mein., postea iambographi esse putabat (Bergk. P. l.[2] II 1049), vel ad Eupolidis *Baptas* referendum, in quibus choliamborum usum fuisse arbitratur. fortasse καὶ θέρους καὶ μὴ θέρους. — Macar. 8, 71 φακῇ δὲ κἂν χειμῶνι κἂν θέρει φακῇ (κἂν θ. κἂν χ. cod.) contulit H. Iacobi V CCCLIIII. Athen. 9, 407a φακῇ δὲ κἂν χ. κἂν θ. καλόν (Chamaeleontis Pontici vers.).

1256

ὡς Πριαμίδαισιν ἐμφερὴς ὁ βουκόλος.

Diogenes Laert. 7, 67 ὅμοιον δέ ἐστιν ἀξιώματι ὃ τὴν ἐκφορὰν ἔχον ἀξιωματικὴν παρά τινος μορίου πλεονασμὸν ἢ πάθος ἔξω πίπτει τοῦ γένους τῶν ἀξιωμάτων, οἷον . . . κτλ. Sextus Emp. Adv. dogm. 2, 73. Πριαμίδαισιν Sext. (πριαμίδεσιν V)] Πριαμίδῃσιν Diog. Euripidi tribuunt Welckerus et Cobet. N. l. 47 'de Paride, qui ignotus suis cum pastorum grege in urbem rure venerat ἐν τῷ Ἀλεξάνδρῳ.' ac sic Nauckius Tr. gr. fr. adesp. 109. cum tamen nihil in eo versu insit quod a comoediae dicendi genere abhorreat, non video cur non possit petitus esse e Cratini *Dionysalexandro* vel Antiphanis *Ganymede* similive fabula.

1257

πατὴρ ἀνουθέτητος παῖδα νουθετεῖ.

Clemens Alex. Protr. 2, 41 ἐνταῦθα δὴ τὸ παροιμιῶδες ἐπιφθέγξασθαι ἁρμόττει κτλ. metri sanandi causa υἱὸν Cobet. Mnem.

XI 337. *ἀνουθέτητος παῖδα νουθ. πατήρ* Nauck. Mus. Rh. VI 170. utrum verum sit cum non constet, etiam comici sit an tragici dubium est.

1258

ἄπαιρε· μή μοι στέφανον ἀμφιθῇς κάρᾳ.

Clemens Alex. Paed. 2, 8, 70. senarium esse Potterus animadvertit, sed fortasse est tragici. quamquam neque *κάρα* neque *ἀμφιτιθέναι* (*ἀμφικεῖσθαι*) a comicorum consuetudine prorsus abhorret.

1259

Μίλητος αὐχεῖ κίταλία δοξάζεται.

Clemens Alex. Paed. 2, 10, 111 *τὸ πολυτελὲς τῆς ἐσθῆτος διελέγχωμεν, ἐπιλέγοντες· τρίχες ἐστὲ προβάτων, κἂν Μ. αὐχῇ κἂν Ἰτ. δοξάζηται.* comicus fortasse commemoraverat *ἔρια, ἐφ' οἷς κτλ.* ut *κίταλία*, Cratin. min. 13 *κιχθύδια.*

1260

ἐπίφθονον χρῆμ' ἐστὶν ἄνθρωπος φύσει.

Philostratus Vit. soph. 1, 21, 1 *φύσει μὲν γὰρ ἐπίφθ. χρ. ἄνθρωποι.* cf. Eurip. Androm. 141 *ἐπίφθονόν τι χρῆμα θηλειῶν ἔφυ.* incertum utrum comici sit an tragici.

1261

χαλεπὸν γενέσθαι λιμὸν ἐπὶ τῷ δράγματι.

Iulian. Misop. 369b *εἰ δὲ τοσαῦτα μέτρα θέρους ἦν παρ' ὑμῖν τοῦ νομίσματος, τί προσδοκᾶν ἔδει τηνικαῦτα, ἡνίκα, φησὶν ὁ Βοιώτιος ποιητής κτλ. λιμὸν* Par. 2964 (Boiss. An. nov. 187)] *τὸν λιμὸν* Voss. *τὸν λοιμὸν* MB. *τῷ δράγματι* V] *τῷ δράχματι* MbF, *δράγματι* Pf, *δράματι* Pe. — indicavit Nauck. comica origo dubia est. *poeta Boeotius* Hesiodus dicitur Themist. 13, 170b, Pindarus Themist. 6, 78a. ac sic uterque haud raro. quis hic significetur non minus obscurum est quam sententia, quae nequaquam satis inlustratur eis quae adnotavit Reiskius. Lucian. Hesiod. 7 *ὕσαντος τοῦ θεοῦ εὐθαλῆ ἔσται τὰ δράγματα.*

1262

τὴν Ἡράκλειαν κειμένην ἀνιστάναι

Synesius Epist. 134 (p. 270d, 721 Herch.) *μὴ ἄλλως ποίει, εἰ μή τι μεταξὺ βέλτιον πέπραγας καὶ πάλιν διανοῇ τὴν Ἡράκλειαν ἀνιστ. κειμ.* neque poetae sit an oratio soluta, neque quae Hera-

clea dicatur constat. si Trachinia illa, proverbium fortunae vicissitudines significat, de quibus Thucyd. 2, 92. 3. cf. etiam Strab. 1, 60 qui terrae motu Heracleam concidisse narrat.

1263

ὅρκων ἐρῶσιν οὐδὲν εὐχερέστερον.

Theophylact. Simoc. Epist. 33. *ἐρῶσιν* Nauck. Tr. gr. fr. adesp. 473] *τοῖς ἐρῶσιν.* non minus comoediae esse potest quam tragoediae.

1264

ἅπανθ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

Stobaeus Floril. 29, 27 sine lemmate. *πόνος* Valcken.] *πόθος.* inter tragicorum fragmenta (adesp. 439) recepit Nauckius. cf. 532.

1265

γυναῖκα θάπτειν κρεῖττόν ἐστιν ἢ γαμεῖν.

Stobaeus Floril. 68, 22 *Χαιρήμονος* A. monost. 95 (*κρεῖσσον*). cf. Philem. 236.

1266

θεοῦ θέλοντος δυνατὰ πάντα γίνεται.

Stobaeus Ecl. 1, 1 (2), 13a 'tragici incerti' Wachsm. Tr. gr. fr. adesp. 396 N. cur non etiam comici esse possit non video. *δυνατὰ* K.] *μετὰ* F. *μεγάλα* vel *κεδνὰ* Mein. *ἀνυτὰ* Nauck. *εὖ τὰ* Heimsoeth. Ind. Bonn. aest. 1867 xx. *εὐκτὰ* Weber. Philol. XXVIIII 468.

1267

οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.

Stobaeus Ecl. 1, 6 (5), 15 Wachsm. *ἅπαντα νικᾷ καὶ μεταστρέφει τύχη. οὐδεὶς — τύχης. Χαιρήμονος* A (fr. 19 N.). alterum versum comici esse suspicatur Nauckius. cf. quae adnotavimus ad Philem. 110. 111.

1268

μὴ τότε φρονήσῃς, ἂν γένῃ μάτην φρονῶν.

Mueller. Hist. min. IIII 367 *ἐκ τοῦ ῥεύσαντος* (*Ὀρφέως*) *αἵματος ἀνεφάνη βοτάνη Κιθάρα καλουμένη· τῶν δὲ Διονυσίων τελουμένων αὕτη κιθάρας ἀναδίδωσιν ἦχον. οἱ δ' ἐγχώριοι νεβρίδας περιβεβλημένοι καὶ θύρσους κρατοῦντες ὕμνον ᾄδουσιν κτλ. — μὴ* M. Haupt.] *καὶ. ἂν γένῃ* H. Iacobi V ccclxx] *ὅταν ἔσῃ.* num comici sit dubito.

1269

ἡ συκάμινος συκαμίνῳ ῥύπτεται.

Append. prov. 3, 13 *πρὸς τοὺς ἐν ἑαυτοῖς τὰ ὠφέλιμα λαμβάνοντας ἐξ ἑαυτῶν.* maculae ex moro maturo contractae suco viridis mori eluuntur. Plin. N. h. 15, 97 *tingunt manus suco matura* (mora), *eluunt acerba.* origo proverbii dubia est.

1270

μάταια τἄλλα παρὰ Κρότωνά γ' ἄστεα.

Mantiss. prov. 2, 2 *ὅτι διέφερεν ὁ Κρότων τῶν ἐπὶ Ἰταλίᾳ πόλεων [ἐν] ἀνδρίᾳ καὶ τῇ λοιπῇ εὐδαιμονίᾳ.* Schol. Theocr. 4, 33 his addit *ὅθεν καὶ εἰς παροιμίαν ἐλθεῖν κτλ.* *Κρότωνος* Vat. 4. 5, unde Duebnerus *παρὰ Κρότων' ἔστ' ἄστεα.* esse potest comoediae ex earum numero quae ad Pythagoristas pertinebant. scrupulum inicit vox *ἄστεα*: apud comicos certe neque *ἄστεα* neque *ἄστη* inveniri memini.

1271

βαρύς, βαρὺς σύνοικος, ὦ φίλοι, βαρύς.

Apollon. Synt. 1, 2 (p. 4, 18 Bekk.) *ἐν οἷς δὶς τὸ αὐτό . . . ἀλλὰ καὶ λέξις· 'Μῶσ' ἄγε, Μῶσα λίγεια' 'βαρὺς σύν. κτλ.'* Walz. Rhet. VI 338 (de epanalepsi agitur) *καὶ ἄλλως· βαρὺς σύν. κτλ.* VIII 516 *ἡ δὲ ἐπίζευξις τὸ αὐτὸ παρονομάζει συνημμένως, ὡς τό βαρύς, βαρὺς σύνοικος.* — comico poetae tribuit Mein. ed. min. XXIII, inter tragicorum fragmenta (adesp. 22) sic ut supra scriptum recepit Nauckius.

1272

οὐκ οἶδ' ὅπως εἰς τούσδ' ἐμπίπτω λόγους.

Walz. Rhet. gr. VIII 674, 6 *ἐπιδιόρθωσις . . . ταὐτὸν τῇ προδιορθώσει, διαφέρει δὲ ὅτι τὴν τοῦ λόγου θεραπείαν ὕστερον τίθησιν, ὡς τό κτλ.* si corrigendum est *εἰς τούσδ' ἐνέπιπτον* (*ἐνέπεσον*) *τοὺς λ.*, comoediae est, sin *εἰς τούσδ' ἐπεμπίπτω* (*ἐγὼ 'μπίπτω*), potest tragoediae esse.

1273

πένητος ἀνδρὸς οὐδὲν ὀλβιώτερον.

Socrat. Epist. 22, 1 *ἦν λόγος ὅτι πένητος πλουσιώτερον οὐδὲν εἴη.* sic ut supra factum est scripsit comici esse existimans Nauck. Mélanges gréco-rom. V 240. 1.

1274

οἶνός μ' ἔπεισε δαιμόνων ὑπέρτατος.

Walz. Rhet. gr. VIII 739. 786. 812 et Boisson. Anecd. III 293

μετωνυμία ἐστὶν ὅταν εἴπωμεν ἀπὸ τῶν εὑρόντων τὰ εὑρήματα καὶ ἀπὸ τοῦ εὑρήματος τὸν εὑρόντα, οἷον κτλ. Com. incert. fr. 47 (O. Ribbeck.² p. 122) *persuasit ánimo vinum, déus qui multo est máximus.* Terent. Adelph. 3, 4, 24 *persuasit . . vinum.* 'comici an tragici poetae versus sit incertum est.' Mein. Nauck. Tr. gr. fr. adesp. 476. 'sunt adulescentuli verba delictum aliquod ebrietate excusantis'. Mein. — metonymia comica potius videtur, sed *ὑπέρτατος* in *trimetro* comico (praeter Arist. Pac. 52) inveniri non memini.

1275

ἁβροείμονές τε καὶ κατηγλαϊσμένοι

Etymologic. m. 4, 15 *ἁβροείμονες κτλ. λαμπροφόροι, ἁπαλοφόροι. ἁβρὸν γὰρ τὸ λαμπρὸν καὶ κοῦφον καὶ τρυφερόν. ἁβροείμονες κατηγλ.* Gud. tragici esse contendit Cobet. N. l. 47.

1276

κἂν αἰγέρων ἔφυσαν εὐγενέστεραι.

Etymologic. m. 28, 39 *αἴγειρος διὰ τῆς ει διφθόγγου. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι, ὡς τό κτλ., ἤτοι εὐθαλέστεραι καὶ εὐθρεπτότεραι. κἂν* Mein.] *καί.* num comici sit admodum dubium. atque subobscura est sententia: de puellis gracilibus et proceris cogitat Mein.

1277

μοχθηρὸς ὢν καὶ τὴν γνώμην ἀχερδούσιος

Etymologic. m. 181, 3 *ἄχερδος· ἡ ἀγρία ἄπιος . . . οἷον κτλ. ἀντὶ τοῦ σκληρός.* cf. Pherecr. 164. *τὴν γνώμην*] *τὸν τρόπον* Mein., *τοὺς τρόπους Ἀχραδούσιος* K. cf. Arist. Eccl. 362, ubi quamquam poeta *Ἀχραδούσιος*, scholia tamen *ἔστι δὲ δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς Ἀχερδοῦς.* cf. schol. 356 (*Θρασύβουλος*) *ἀντιλέγειν μέλλων τοῖς Λακεδαιμονίων πρέσβεσιν . . . εἶτα δωροδοκήσας ἀχράδας προσεποιήσατο βεβρωκέναι. — Πάμφιλος ὁ Ἀχερδούσιος* est Aeschin. 1, 110. scilicet serio pagus ille dicebatur *Ἀχερδοῦς*, comice *Ἀχραδοῦς.* sed dubitat de comica origine Meinekius.

1278

ὕδωρ δὲ πίνει, τὸν δὲ Βίβλινον στυγεῖ.

Etymologic. m. 197, 32 *Βίβλινος οἶνος· οἷον κτλ. ἀπὸ Βιβλίνης οὕτω καλουμένης Θρακίας ἀμπέλου, ἥτις διὰ τὸ εὐθαλὴς εἶναι ἐν Ἑλλάδι μετετέθη.* cf. Cratin. 204. ad Cratini *Pytinen* (cf. hui. edit. I 75) refert Meinekius, ad satyricam fabulam Cobet. N. l. 48. Nauck. Tr. gr. fr. adesp. 126.

1279

ὦ Ζεῦ, γενέσθαι τῆσδέ μ' ἐξάντη νόσου.

Etymologic. m. 346, 42 et Suidas *ἐξάντης*. . .*ἀβλαβὴς καὶ ὑγιής, ὁ ἔξω ἄτης. οἷον κτλ.* — *με τῆσδ'* Suid. et Etym. cod. D. *ἐξάντη* Suid.| *ἐξάντην*. cf. Arist. Ran. 127. Plat. Phaedr. 244e *ἡ (μαντικὴ) μανία* . . *καθαρμῶν τε καὶ τελετῶν τυχοῦσα ἐξάντη ἐποίησε τὸν αὐτὴν (νόσον) ἔχοντα*, i. e. *ὑγιῆ καὶ ἔξω ἄτης* (Tim., cf. Ruhnken. 108). 'fortasse tragicus versus est'. Mein. attamen vocem *ἐξάντης* in eis quas hodie habemus tragoediis inveniri non memini. Nauck. Tr. gr. fr. adesp. 127.

1280

ψυχῆς δακνομένης γὰρ τὰ δάκρυ' ἐξέρχεται.

Etymolog. m. Milleri (Mélanges 81) *δάκρυον· παρὰ τὸ δάκνω* . . . *δακνομένης γὰρ τῆς ψ. ἐξ. τὸ δάκρυον.* non repugnat tam futtilis agnominatio comoediae. potest tamen etiam oratio soluta esse.

1281

ἔξιππα καὶ τέθριππα καὶ ξυνωρίδας

Eustathius 1539, 31 *τὸ τέθριππον, οὗ χρῆσις ἐν τῷ κτλ.* comici sit an tragici dubito.

1282

ὃς τόνδ' ἔχεις τὸν σηκὸν ἵλεως γενοῦ.

Eustathius 1625, 24 *σηκὸς γοῦν, φασίν, ἡρῷον, οἷον κτλ.* 'fortasse tragici poetae versus est, ex simili scaena petitus, qualis est illa apud Sophoclem Electr. 637.' Mein. cf. Cobet. N. l. 47.

1283

ἄψυχον ἄνδρα λαμβάνειν συνέμπορον

Bekker. Anecd. 17, 20 *ἀντὶ τοῦ δειλόν.* tragicorum fragmentis (adesp. 270) inseruit Nauckius.

1284

ἐλαφρὸν παραινεῖν τῷ κακῶς πεπραγότι.

Bekker. Anecd. 38, 7 *ἐλαφρὸν σημαίνει τὸ ῥᾴδιον καὶ κοῦφον. τῷ* add. Bekker. — tragico deberi censet Cobet. N. l. 47. ac recepit Nauckius (adesp. 274). Aesch. Prom. 263 *ἐλαφρὸν*. . .*παραινεῖν νουθετεῖν τε τὸν κακῶς | πράσσοντα.*

1285

οὐδὲν κακὸν γὰρ ῥᾳδίως ἀπόλλυται.

Bekker. Anecd. 53, 24 *ἐπὶ τῶν εὖ πραττόντων πονηρῶν. γὰρ* add. Mein. cf. Macar. 6, 76. — etiam tragici esse potest. Nauck. Tr. gr. fr. adesp. 276.

1286

χωρὶς γὰρ οἰκοῦσ' ἀρεταὶ τῶν ἡδονῶν.

